# ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

**ΜΗΝΙΑΙΟΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ**

Περιέχον ἀνεκδότους Ἀκολουθίας ἁγίων καὶ λοιπὴν Ἐκκλησιαστικὴν καὶ θρησκευτικὴν ὕλην εἰλημμένην ἐκ τῶν διαφόρων Κωδίκων τῶν ἱερῶν Μονῶν τοῦ ἁγίου ὄρους Ἄθω.

ΕΚΔΙΔΟΜΕΝΗ ΥΠΟ

ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ

**ΕΤΟΣ Α.΄ 1936-37**

1937

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ

ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

"ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,,
ΣΕΠΤΕΜΒΡΙΟΣ 1936 ΑΡΙΘ. 1

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ
# ΤΡΥΦΩΝΟΣ
## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ
### ΨΑΛΛΟΜΕΝΗ ΤΗ Α΄ ΦΕΒΡΟΥΑΡΙΟΥ

Συνεπληρώθη καταρτισθεῖσα τελεία ὑπὸ Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου, τῇ αἰτήσει
**ΙΩΑΚΕΙΜ ΜΟΝΑΧΟΥ**
διαμένοντος ἐν τῇ κατὰ τὴν Κερασιὰν τοῦ Ἁγιωνύμου Ὄρους Ἄθω, Κελλίῳ τοῦ Τιμίου Προδρόμου
Παρ' οὗ τύποις ἐκδίδοται

*ΕΝ ΒΟΛΩ*
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
1936

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΦΕΒΡΟΥΑΡΙΟΥ Α.'

## Μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Τρύφωνος τοῦ Θαυματουργοῦ.

### ΕΝ ΤΩι ΕΣΠΕΡΙΝΩι

Μετὰ τὸν Προοιμιακόν, τὸ «**Μακάριος ἀνήρ**». Εἰς τὸ «**Κύριε ἐκέκραξα**» ἱστῶμεν στίχους η.' καὶ ψάλλομεν στιχηρὰ προσόμια προεόρτια β.' καὶ τοῦ Ἁγίου ϛ.'

Προεόρτια

Ἦχος δ.' **Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Ἡ σεπτὴ εὐτρεπίζεται, ἐκκλησία εἰσδέξασθαι, ἐν αὐτῇ τὸν Κύριον ὥσπερ νήπιον, ἐπιδημοῦντα καὶ χάρισι, νοητῶς φαιδρύνοντα, τὸ πιστότατον αὐτῆς, καὶ φιλόθεον σύστημα· ᾧ καὶ κέκραγε: Σὺ εἶ δόξα καὶ κλέος καὶ ὁ κόσμος, τοῦ πληρώματός μου Λόγε, ὁ δι' ἐμὲ σὰρξ γενόμενος.

Ἡ παστὰς ἡ πολύφωτος, καὶ σκηνὴ ἡ ὑπέρτιμος, καὶ ναὸς ὁ ἅγιος καὶ εὐρύχωρος, ἔνδον θαλάμων εἰσάγουσα, τοῦ Ναοῦ τὸν Κύριον, προμνηστεύεται αὐτόν, τῇ σεπτῇ Ἐκκλησίᾳ αὐτοῦ, ἱκετεύουσα, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς κυρίως Θεοτόκον, ταύτην ἀπαύστως δοξάζοντας.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Τοῦ Ἁγίου

Ἦχος α.' **Πανεύφημοι Μάρτυρες**

Τρύφων παναοίδιμε τρυφῆς, ἀκηράτου μέτοχος, ἐν οὐρανοῖς ἐχρημάτισας, διαφανέστατα, γενικοὺς ἀγῶνας, διαθλήσας ἔνδοξε, καὶ μάρτυς ἀληθείας γενόμενος, Χριστὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Τρύφων παναοίδιμε φωτός, ἀϊδίου λάμψεσι, φωτοειδὴς ὅλος γέγονας, καταστρεψάμενος, τὴν ζοφώδη πλάνην, καὶ τοὺς κοσμοκράτορας, τοῦ σκότους καθελὼν θείᾳ χάριτι· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Τρύφων παμμακάριστε χαρᾶς, καὶ ἀγαλλιάσεως, Ἀγγελικῆς κατηξίωσαι, ἀπαρνησάμενος, τὰ τερπνὰ τοῦ βίου, καὶ ψυχῆς στερρότητι, τὰ πάντα παρ᾽ οὐδὲν ἡγησάμενος· καὶ καρτερώτατα, διανύσας τὸ μαρτύριον, νῦν πρεσβεύεις, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερα Προσόμοια τοῦ Ἁγίου.

Ἦχος β.' **Ὅτε ἐκ τοῦ ξύλου.**

Νόμους τεθραμμένος ἱεροῖς, ηὔξησαι ὡς δένδρον παμμάκαρ, ἀειθαλέστατον, καὶ πλουσίους ἤνεγκας, καρποὺς ἐν Πνεύματι, τῶν θαυμάτων τὴν δύναμιν, καὶ τὴν ἐξουσίαν, Τρύφων παμμακάριστε, κατὰ πνευμάτων δεινῶν. Τούτων οὖν τῆς λύμης ἀτρώτους, φύλαττε ἡμᾶς ἀθλοφόρε, τοὺς πανηγυρίζοντας τὴν μνήμην σου.

Πλήρης ὢν ἰσχύος θεϊκῆς, Μάρτυς καὶ φρονήματι θείῳ καλλωπιζόμενος, ἔστης ἀπερίτρεπτος, καὶ ἀκατάπληκτος, τῷ ἀνόμως δικάζοντι, πανσόφως κηρύττων, τὴν ὑπὲρ κατάληψιν τοῦ Λόγου σάρκωσιν, ὅθεν καρτερίᾳ τῶν πόνων, τὸν τῆς ἀνομίας προστάτην, ᾔσχυνας μεγάλως θαυμαζόμενος.



Ἔχων τὴν διάνοιαν ἀεί, Μάρτυς ἀφορῶσαν τῷ κάλλει, τοῦ ἀθλοθέτου σου, πόνοις τοῖς τοῦ σώματος οὐ κατενάρκησας, ἀλλ᾽ ὡς ἄκμων ἀνάλωτος, ὑπέφερες χαίρων, βάσανα πολύπλοκα καὶ πολυώδυνα· ὅθεν τὴν ἀνώδυνον λῆξιν, εὗρες καταλλήλως χορεύων, περὶ τὴν τοῦ Λόγου ὡραιότητα.

Δόξα. Ἦχος β.'

Ὑπερφρονήσας τῶν τῇδε γεηρῶν, παμμάκαρ Τρύφων σεβάσμιε, πρὸς τὸ σκάμμα ἀνδρείως ἔσπευσας· καὶ τῇ πάλῃ δι᾽ αἵματος, σὺ ἐντέχνως Μάρτυς τὸν ὑπερήφανον καθελών, ἐκομίσω τῆς νίκης στέφος. Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐκλιπαρῶν δι᾽ ἡμᾶς, μὴ ἐλλίπῃς ἀθλοφόρε, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον, ὁ αὐτός.

Σήμερον Συμεὼν ἐν ταῖς ἀγκάλαις, τὸν Κύριον τῆς δόξης ὑποδέχεται, ὃν ὑπὸ τὸν γνόφον πρῴην, ὁ Μωϋσῆς ἐθεάσατο, ἐν τῷ ὄρει τῷ Σινᾶ, πλάκας δόντα αὐτῷ. Οὗτος ἐστιν, ὁ ἐν τοῖς Προφήταις λαλῶν, καὶ τοῦ νόμου ποιητής· οὗτός ἐστιν, ὃν ὁ Δαυῒδ καταγγέλλει, ὁ τοῖς πᾶσι φοβερός, ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος: Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τὶς ἀναγ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

γελεῖ ταῦτα ἐν αὐτοῖς ; ἢ τὰ ἐξ ἀρχῆς, τὶς ἀκουστὰ ποιήσει ὑμῖν ; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγὼ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾿ ἀρχῆς ἐγὼ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τὶς ἀποστρέψει αὐτό ; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα.

Ἦχος α΄.

Ἀθλητικῶς ἀριστεύσας, τῇ ὑπὲρ Χριστοῦ ὁμολογίᾳ σου, τὴν ἀθεΐαν ἐμείωσας, Τρύφων παμμακάριστε· σὺ γὰρ ἀνατεθεὶς τῷ Θεῷ, τὴν πρὸς αὐτὸν διάπυρόν σου ἔφεσιν, τοῖς ἔργοις ἐβεβαίωσας, Εὐαγγελικῶς πολιτευσάμενος· τὸ γὰρ δοθέν σοι τάλαντον, οὐκ ἐν τῷ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

βάθει τῆς γῆς κατέκρυψας, ἀλλ᾽ ἀφθόνως μετέδωκας, τοῖς δεομένοις τὴν δωρεάν· καὶ νῦν τὰ ἄνω κατοικῶν βασίλεια, μὴ παύσῃ ἐφορῶν καὶ ἐποπτεύων, καὶ πολυτρόπων ῥυόμενος συμφορῶν, τοὺς ἐκ πόθου προσιόντας σοι.

Ἦχος β΄.

Ἐν νεανικῇ ἡλικίᾳ, πρεσβυτικὴν ἐγεώργησας σύνεσιν, ὡς ἀνάθημα θεῖον· ὑπὲρ πᾶσαν γὰρ τροφὴν γηερὰν, τὸν ἐξ ἱδρώτων ἀληθῆ θησαυρὸν ἐμφρόνως προέκρινας· καὶ τῆς φθειρομένης ζωῆς χωρισθείς, τὸ θανεῖν ὑπὲρ Χριστοῦ, ὡς ἀθανασίας ἀφορμὴν ἡγήσω· διὸ τοῖς ἀντεχομένοις τοῦ σκότους, ὡς υἱὸς φωτὸς ἐβόας: οὐδὲν χωρίσει με τῆς ἀγάπης Χριστοῦ, οὐ βασάνων ἐπαγωγή, οὐ θανάτου βίᾳ· εἰ καὶ τὰς σάρκας μου τέμνετε, ἀλλὰ τὴν ψυχήν μου κοσμεῖτε τοῖς ζωηφόροις στίγμασι, δι᾽ ὧν συνδοξασθήσομαι, τῷ λαμπρῶς με ἁγιάσαντι.

Ἦχος γ΄.

Τὸν χειμάῤῥουν τῆς τροφῆς ἐκ Θεοῦ εἰληφώς, πέλαγος θαυμάτων, ἀνεδείχθης Τρύφων πανεύφημε τῶν αἱμάτων σου γὰρ οἱ κρουνοί, ἐκχυθέντες ἐπὶ γῆς, ὥσπερ μύρον ἐν οὐρανοῖς, τῷ λόγῳ προσηνέχθησαν· ὅθεν ἐδοξάσθης ἐνθέως, καὶ πύργος ἰσχύος, τοῖς ὀρθοδόξοις δέδοσαι· πᾶσαν μὲν βλάβην ἐκτρέπων, θείαν δὲ χάριν πορίζων, παρὰ Χριστοῦ πᾶσι καὶ μέγα ἔλεος.

Ἦχος δ΄.

Ὡς τῆς οὐρανίου τρυφῆς ἐπώνυμος, τὴν κλῆσιν τοῖς ἔργοις σου, Τρύφων ἐπεσφράγισας· σὺ γὰρ ταῖς ἐντολαῖς τοῦ Λόγου ἐντρυφῶν, τὰς ὑπὲρ τῆς ἀληθείας θλίψεις, ὡς ἀπόλαυσιν ἐδέξω ἀγαθῶν· δι᾽ ὧν τῇ Ἐκκλησίᾳ, τὴν τῶν θαυμάτων ἐνέργειαν, ὡς ζωοπάροχον τρυφὴν ἐκαρποφόρησας, ἐν ᾗ καὶ ἡμεῖς ἐντρυφῶντες,



τὰς ἀριστείας τῶν ἄθλων σου, τιμῶμεν βοῶντες: Κύριε, ταῖς τοῦ ἀθλοφόρου σου πρεσβείαις, δώρησαι τῷ λαῷ σου, ἀφθόνως τὸ θεῖόν σου, καὶ πλούσιον ἔλεος.

Δόξα Ἦχος πλ. α΄.

Δεῦτε φιλεόρτων ὁμήγυρις, δεῦτε καὶ τρυφήσωμεν, ἐν τῇ πανσέπτῳ πανηγύρει τοῦ ἀθλοφόρου Χριστοῦ· σήμερον γὰρ ὡς ἑωσφόρος ἤστραψε, καὶ πρὸς ἀκήρατον πανδαισίαν, συγκαλεῖται τοὺς βοῶντας· χαίροις τῶν Ἀποστόλων ὁμόζηλε, καὶ τῶν εὐκλεῶν Ἀναργύρων, ἐγκαλλώπισμα τερπνόν· χαίροις ὁ πλουσίαν τὴν χάριν, παρὰ Χριστοῦ λαβών, καὶ τοῖς αἰτοῦσι παρέχων, δαψιλῶς τὰς εὐεργεσίας· χαίροις τῶν Μαρτύρων ὁμότιμε, καὶ τῶν πνευμάτων τῆς πονηρίας, ὀλοθρευτὰ ἰσχυρέ. Ἀλλ᾽ ὦ Τρύφων ἀθλητὰ ἀήττητε, ἀπάλλαξον ἡμᾶς ἐκ συμφορῶν καὶ κινδύνων, καὶ δώρησαι τοῖς ἀγροῖς ἡμῶν εὐφορίαν τῇ ἱερᾷ ἀντιλήψει σου.

Καὶ νῦν. Προεόρτιον, ὁ αὐτός.

Ὁ παλαιὸς ἡμερῶν, νηπιάσας σαρκί, ὑπὸ μητρὸς Παρθένου τῷ ναῷ προσάγεται, τοῦ οἰκείου νόμου, πληρῶν τὸ ἐπάγγελμα· ὃν Συμεὼν δεξάμενος ἔλεγε: Νῦν ἀπολύεις ἐν εἰρήνῃ κατὰ τὸ ῥῆμά σου τὸν δοῦλόν σου· εἶδον γὰρ οἱ ὀφθαλμοί μου, τὸ σωτήριόν σου Κύριε.

Εἰς τὸν Στίχον. Στιχηρὰ προσόμοια.

Ἦχος πλ. α΄. **Χαίροις ἀσκητικῶν**

Χαίροις ὁ ἐκ προνοίας κληθείς, προγνωστικῶς Τρύφων Μαρτύρων ἀγλάϊσμα· τρυφὴ γὰρ πιστοῖς ἐδείχθης, καὶ ἀρρωγὸς εὐμενής, ὡς Θεοῦ θεράπων γνησιώτατος· διὸ καὶ διέπρεψας, μαρτυρίου τοῖς σκάμμασι, καὶ ἐξ αἱμάτων, ἁλουργίδα ἐξύφανας τὴν μηδέποτε, δεχομένην παλαίωσιν· ἣν περ ἀμφιασάμενος, Κυρίῳ παρέστηκας, ὡς εὐπρεπὴς νεανίας, ὡς ἀθλοφόρος περίδοξος,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὐτούμενος πᾶσιν, ἱλασμὸν καὶ σωτηρίαν, καὶ μέγα ἔλεος.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Χαίροις ὁ θεραπεύσας θερμῶς, τὸν δωρησάμενον, θαυμάτων σοι δύναμιν· ἀγάπης γὰρ ὤφθης λύχνος, καὶ εὐσπλαγχνίας κρουνὸς, καὶ δικαιοσύνης ἐνδιαίτημα, τοῖς πᾶσι τὰς χάριτας, ἐφαπλῶν καὶ ἰώμενος, νόσους ποικίλλας, ἐπικλήσει τοῦ Πνεύματος, οὗ εὐάρμοστον, ἐχρημάτισαν ὄργανον· ὅθεν καὶ ἐμελῴδησας, τυράννων ἐνώπιον, τῆς εὐσεβείας τὸ μέλος, ὡς ἀηδὼν Τρύφων εὔλαλος, καὶ νίκης τὸ στέφος κομισάμενος μὴ παύσῃ, Χριστῷ δεόμενος.

Στίχ. θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ

Πεῖραν καθυποστὰς ἀνδρικῶς, πολλῶν βασάνων, ἀθλοφόρε ὡς ἄσαρκος, τοὺς πόδας ἡλώθης ἥλοις, ὡς πορευθεὶς τὴν ὁδόν, τῶν δικαιωμάτων τοῦ Θεοῦ ἡμῶν· διὸ καὶ ἐτύφλωσας, τὸν τηροῦντα ὡς γέγραπται, Μάρτυς τὴν πτέρναν, ἀκλινῶς εὐοδούμενος, πρὸς οὐράνιον, μακαρίαν τε ἄνοδον· ὅθεν πρὸς τὴν Μητρόπολιν, λαμπρῶς προσεχώρησας, τῶν πρωτοτόκων θεόφρον, ἐμφανιζόμενος πάντοτε, Χριστοῦ τῷ προσώπῳ τοῦ παρέχοντος τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος δ΄

Ἀποστολικὴν κεκτημένος χάριν, ἀθλοφορικὸν διήνυσας στάδιον, Τρύφων ἀξιάγαστε· σὺ γὰρ τῷ Θείῳ πόθῳ χρωθείς, πρακτικῶς Χριστῷ ἠκολούθησας· καὶ πρὸς τὴν ἁμαρτίαν, μέχρις αἵματος ἀντικαθιστάμενος, ἐν οὐρανοῖς ἐκομίσω τὸ ἔπαθλον. Χριστὸν ὑπὲρ ἡμῶν ἱκέτευε, ἀθλητὰ μακάριε.

Καὶ νῦν. Προεόρτιον ὁ αὐτός.

Σήμερον ἡ ἱερὰ Μήτηρ, καὶ τοῦ ἱεροῦ ὑψηλοτέρα ἐπὶ τὸ ἱερὸν παραγέγονεν, ἐμφανίζουσα τῷ κόσμῳ, τὸν



τοῦ κόσμου ποιητήν, καὶ τοῦ νόμου πάροχον· ὃν καὶ ἐν ἀγκάλαις ὑποδεξάμενος, ὁ πρεσβύτης Συμεών, γεραίρων ἐκραύγαζε. Νῦν ἀπολύεις τὸν δοῦλόν σου· ὅτι εἶδόν σε τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ΄. **Ταχὺ προκατάλαβε.**

Τρυφὴν τὴν ἀκήρατον, ἰχνηλατῶν ἐκ παιδός, βασάνους ὑπήνεγκας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ ἤθλησας ἄριστα· ὅθεν τὴν τῶν θαυμάτων, κομισάμενος χάριν, λύτρωσαι πάσης βλάβης τοὺς τιμῶντάς σε πόθῳ, Τρύφων μεγαλομάρτυς, πιστῶν ἡ ἀντίληψις.

Δόξα. Ἕτερον Ἦχος γ΄. **Θείας πίστεως**

Θείου Πνεύματος τῇ χορηγίᾳ, χάριν ἄφθονον τῇ Ἐκκλησίᾳ, ἀναβλύζεις ὥσπερ κρήνη ἀκένωτος, καὶ καταρδεύεις ἡμῶν τὴν διάνοιαν, ἐν τῇ τρυφῇ ἀθλοφόρε τῶν δώρων σου. Τρύφων ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Προεόρτιον. Ἦχος α΄. **Χορὸς Ἀγγελικός.**

Οὐράνιος χορός, οὐρανίων ἁψίδων, προκύψας ἐπὶ γῆς, καὶ φερόμενον βλέπων, ὡς βρέφος ὑπομάζιον, πρὸς ναὸν τὸν πρωτότοκον, πάσης κτίσεως, ὑπὸ Μητρὸς ἀπειράνδρου, προεόρτιον, νῦν σὺν ἡμῖν μελῳδοῦσι, φρικτῶς ἐξιστάμενος.

Ἀπόλυσις

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα.

Ἦχος α΄. **Τὸν Τάφον σου Σωτήρ.**

Ὡς ἥλιος λαμπρός, ἡ ἁγία σου μνήμη, ἐπέστη ἐμφανῶς παναοίδιμε Τρύφων, πιστοὺς σελαγίζουσα ταῖς ἀκτῖσι τῶν ἄθλων σου, καὶ διώκουσα, τὸν σκοτασμὸν τῶν δαιμόνων· ἐν ᾗ ἅπαντες, ὑπὲρ ἡμῶν σε πρεσβεύειν, αὐτοῦμεν πρὸς Κύριον.

Δόξα. Ὅμοιον.

Χρηστότητος Θεοῦ, μιμητὴς ἀνεφάνης προχέων δαψιλῶς, εὐσπλαγχνίας τὴν δρόσον, καὶ νέμων τὰ πρόσφορα, ἀναργύρως τοῖς χρήζουσιν· ὅθεν κάμφθητε ὡς συμπαθὴς οὐρανόθεν, ταῖς δεήσεσι, τῶν προσιόντων σοι Τρύφων, καὶ σῶσον τοὺς δούλους σου.

Καὶ νῦν. Προεόρτιον ὅμοιον.

Ὁ ὢν σὺν τῷ Πατρί, ἐπὶ θρόνου ἁγίου, ἐλθὼν ἐπὶ τῆς γῆς, ἐκ Παρθένου ἐτέχθη, καὶ βρέφος ἐγένετο, χρόνοις ὢν ἀπερίγραπτος· ὃν δεξάμενος, ὁ Συμεὼν ἐν ἀγκάλαις, χαίρων ἔλεγε· Νῦν ἀπολύεις Οἰκτίρμον, εὐφράνας τὸν δοῦλόν σου.

Μετὰ τὴν β΄. Στιχολογίαν. Κάθισμα.

Ἦχος δ΄. **Ταχὺ προκατάλαβε.**

Αἱμάτων τοῖς ῥεύμασι, τῆς ἀθεΐας τὸ πῦρ, σβεσόμενος ἔνδοξε, τῇ τοῦ Χριστοῦ ἀστραπῇ, ἀΰλως ἐξέλαμψας, Τρύφων τῇ Ἐκκλησίᾳ, ὡς φωσφόρος λυχνία, φέγγος ἀθανασίας, καὶ θαυμάτων ἀκτίνας· διὸ καὶ τοὺς ὑμνοῦντας τὴν μνήμην σου φαίδρυνον.

Δόξα. Ὅμοιον.

Σφοδρῶς σπαθιζόμενος, τὸν παλαιὸν πτερνιστήν, καιρίως κατέτρωσας ὡς στρατιώτης Χριστοῦ, τῇ λόγχῃ τῶν ἄθλων σου· ἥλοις δὲ πεπαρμένος, τοὺς ὡ-



ραίους σου πόδας, ἥνυσας ἀκωλύτως, τὴν οὐράνιον τρίβον· καὶ νῦν περιπολεύεις, τὰ ἄνω βασίλεια.

Καὶ νῦν Προεόρτιον ὅμοιον.

Σαρκὶ νηπιάσαντα, ἐξ ἀπειράνδρου Μητρός, χερσὶ γηραλέαις σου, ἀγκαλισθεὶς Συμεών, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἔλαβες τῆς ἐξόδου, τὴν ἀπόφασιν δόξῃ, εἴληφας τῶν θαυμάτων, τὴν ἀέναον χάριν· διὸ ἀξιοχρέως σε πάντες δοξάζομεν.

Μετὰ τὸν Πολυέλαιον. Κάθισμα.

Ἦχος δ΄. **Κατεπλάγη Ἰωσήφ.**

Τὴν τρυφὴν ἐπιποθῶν, τῶν αἰωνίων ἀγαθῶν, ὑπὲρ πλοῦτον καὶ χρυσόν, τοὺς σπαραγμούς σου τῆς σαρκός, περιεποιήσω νοῒ μεγαλόφρονι· ὅθεν τὸν καλόν, τελέσας δρόμον σου, ἔτυχες σοφέ, ὡς πόρρω ἤλπισας, τῆς τοῦ Δεσπότου σου θέας τὴν ἔλλαμψιν, κληρονομήσας μακάριε· ὃν ἐκδυσώπει, Τρύφων σωθῆναι, τοὺς εὐλαβῶς σοι προστρέχοντας.

Δόξα, καὶ νῦν. Προεόρτιον ὅμοιον.

Νηπιάζει δι᾽ ἐμέ, ὁ παλαιὸς τῶν ἡμερῶν, καθαρσίων κοινωνεῖ, ὁ καθαρώτατος Θεός, ἵνα τὴν σάρκα πιστώσῃ μου τὴν ἐκ Παρθένου· καὶ ταῦτα Συμεών, μυσταγωγούμενος, ἐπέγνω τὸν αὐτόν, Θεὸν καὶ ἄνθρωπον· καὶ ὡς ζωὴν ἠσπάζετο καὶ χαίρων, πρεσβυτικῶς ἀνεκραύγαζεν : Ἀπόλυσόν με· σὲ γὰρ κατεῖδον, τὴν ζωὴν τῶν ἁπάντων.

Τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου καὶ τὸ Προκείμενον.

**Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...**

Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου....

Εὐαγγέλιον: τὸ ἐν τῷ ὄρθρῳ τοῦ Ἁγ. Γεωργίου.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ ἀθλοφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἰδιόμελον Ἦχος πλ. β .

Στίχ. Ἐλέησόν με ὁ Θεὸς...

Τρύφων ἀθλοφόρων καλλονή, σπλάγχνα οἰκτιρμῶν ἐνδυσάμενος, τοῖς δεομένοις ἀφθόνως ἐσκόρπισας, τὴν θεϊκὴν δωρεάν· καὶ τοῖς ἐκζητοῦσί σε ἑκὼν ἐπιστάς, ὡς θῦμα λογικόν, καὶ ὁλοκάρπωμα τέλειον, προσηνέχθης τῷ Χριστῷ. Ἀλλά καὶ ἡμῶν μὴ ἐλλίπῃς μνημονεύων, ἐν τῇ πρὸς αὐτόν, οἰκειώσει σου δεόμεθα.

**Κανόνες.** Ὁ Προεόρτιος μετὰ τῶν Εἱρμῶν εἰς ϛ', ὁ δὲ τοῦ μάρτυρος εἰς δ'.

Ὁ Προεόρτιος

Ὠδὴ α.' ἦχος δ' ὁ Εἱρμός.

» Ἄσομαί σοι Κύριε ὁ Θεός μου· ὅτι ὡδήγησαν λαὸν,
» ἐν μέσῳ τῆς θαλάσσης, ἐκάλυψας δὲ ἅρματα, Φαραὼ καὶ τὴν δύναμιν.

Ἄσομαί σοι Κύριε ὁ Θεός μου, τῷ νηπιάσαντι σαρκί, καὶ νόμῳ ὑπακούσαντι, καὶ σώσαντι τὸν ἄνθρωπον δι' ὅν γέγονας ἄνθρωπος.

Ἀγκάλαις δεξάμενος ὁ Πρεσβύτης, τὸν ζωοδότην καὶ Θεόν, τῆς ζωῆς ἀπελύετο βοῶν· Νῦν ἀπολύεις με· κατεῖδον γάρ σε σήμερον.

Τοῖς νόμοις τῆς φύσεως ὑπακούεις, καὶ τοῦ Γράμματος, θεσμοῖς, κατὰ νόμον ὑπείκεις Χριστέ, ὁ πρὶν ὑπαγορεύσας μοι, τὸν νόμον ἐν τῷ ὄρει Σινᾶ.

Θεοτοκίον

Ἄσομαί σοι Κύριε ὁ θεός μου· ὅτι ἐτέχθης ἐκ μητρὸς, Παρθένου ἁγίας, καὶ ταύτην ἀνέδειξας, ἐλπίδα τῶν ψυχῶν ἡμῶν.



Ὁ Κανὼν τοῦ Μάρτυρος, φέρων Ἀκροστιχίδα.
**Τρυφῆς μεθέξειν ἀξίωσόν με Τρύφων.** Θεοφάνους.
Ὠδὴ α.' Ἦχος πλ. δ.' **Ὑγρὰν διοδεύσας.**

Τοῖς ὄντως ἐνθέου ἐν οὐρανοῖς, τρυφῆς ἀπολαύων, ὡς ἀήττητος Ἀθλητὴς, ταῖς σαῖς ἱκεσίαις τὴν ψυχήν μου, τῆς τῶν παθῶν ῥῦσαι συγχύσεως.

Ῥημάτων τῶν θείων ἐνηχηθεὶς, ἐτέλεσας ταῦτα, Παναοίδιμε πρακτικῶς, τὴν ἁγιωσύνην ἀγαπήσας, καὶ σωφροσύνην ἀσπασάμενος.

Ὑπῆρξας τῷ ὄντι ποιμαντικὸς, ποιμαίνων ψυχῆς σου, ἐν σοφίᾳ τοὺς λογισμοὺς ψυχὰς ἐπιστρέφων πλανωμένας, καὶ τῷ θεῷ προσάγων ἔνδοξε.

Θεοτοκίον.

Φωτίζεις με φέγγει τῷ νοητῷ, ἀπαύγασμα δόξης, ἡ τεκοῦσα τὸ πατρικὸν, πανάμωμε, Κόρη, καὶ τὸν ζόφον, τῆς ἁμαρτίας διασκέδασον.

ΚΑΤΑΒΑΣΙΑ: **Χέρσον ἀβυσσοτόκον....**

Προεόρτιος Ὠδὴ γ'. Ὁ Εἱρμός.

» Ἐν Κυρίῳ Θεῷ μου, ἐστερεώθη ἡ καρδία μου· διὸ
» οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν.

Ἀνοιγέσθω ὁ ναός· ὁ τοῦ Θεοῦ γὰρ νῦν ἐπέστη ναός, ναοὺς ἡμᾶς ποιῆσαι, τοῦ Ἁγίου αὐτοῦ Πνεύματος.

Νῦν παρῆλθεν ἡ σκιὰ, καὶ ἀντεισήχθη ἡ ἀλήθεια, τῆς χάριτος ἐλθούσης· νῦν ὑποδέχου τὸν Χριστὸν Συμεών.

Χήρα Ἄννα σώφρων, ἡ μεμονωμένη καὶ γνωστὴ τῷ Θεῷ, νῦν ἀνθομολογείτω, τῷ νηπιάσαντι σαρκὶ δι' ἡμᾶς.

Θεοτοκίον

Τὴν Θεομήτορα Παρθένον, ὀρθοδόξως ἀνυμνήσωμεν· πρεσβεύει γὰρ ἀπαύστως, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Τοῦ μάρτυρος. **Σὺ εἶ τὸ στερέωμα**

Ἤμβλυνας τὴν δύναμιν, τὴν ὑπερήφανον ἔνδοξε Μάρτυς Χριστοῦ, τὴν ἐκ τοῦ Ὑψίστου, ἐνδυσάμενος δύναμιν.

Σάρκα περικείμενος, ὀφρὺν τὴν ἄσαρκον ἔσβεσας, τοῦ δυσμενοῦς, καὶ σεσαρκωμένον, Θεὸν Λόγον ἐκήρυξας.

Μόνη φυγαδεύονται, τῇ παρουσίᾳ σου πνεύματα, τὰ πονηρά, Πνεύματος Ἁγίου, διωκόμενα χάριτι,

Θεοτοκίον

Ἔχων σε βοήθειαν, οὐκ αἰσχυνθήσομαι Πάναγνε, Μήτηρ Θεοῦ· ἔχων σε προστάτιν, τῆς ζωῆς μου σωθήσομαι.

ΚΑΤΑΒΑΣΙΑ: **Τὸ στερέωμα τῶν ἐπὶ σοὶ πεποιθότων.....**

Κάθισμα τοῦ μάρτυρος. Ἦχος δ.΄ **Ταχὺ προκατάλαβε**

Τῶν πόνων μακάριε, κατατρυφῶν τῆς σαρκός, τὴν θείαν καὶ ἄπονον, ἐν Παραδείσῳ τρυφήν, ἀξίως ἀπείληφας, στέφος ἀθανασίας, ἐκ Θεοῦ δεδεγμένος· ὅθεν καὶ ἰαμάτων, ποταμοὺς ἀναβλύζεις, τοῖς πόθῳ καταφεύγουσι, Μάρτυς τῇ σκέπῃ σου,

Δόξα, καὶ νῦν. Προεόρτιον

Ἦχος α.΄ **Τοῦ λίθου σφραγισθέντος**

Θησαυρὲ τῶν αἰώνων, ἡ ζωὴ τῶν ἁπάντων, δι᾿ ἐμὲ νηπιάσας, ὑπὸ νόμου ἐγένου, ὁ πάλαι χαράξας ἐν πλαξί, τὸν νόμον ἐν τῷ ὄρει τῷ Σινᾶ, ἵνα πάντας ἀπαλλάξῃς, ἐκ τοῦ νόμου πάλαι δουλείας. Δόξα τῇ εὐσπλαγχνίᾳ σου Σωτήρ· δόξα τῇ βασιλείᾳ σου· δόξα τῇ οἰκονομίᾳ σου μόνε φιλάνθρωπε.



Προεόρτιος. Ὠδὴ δ΄. Ὁ Εἱρμός.

»Τοὺς οὐρανοὺς ἡ ἀρετή σου κατεκάλυψε, καὶ ἡ γῆ » ἐπληρώθη τῆς σῆς δόξης Χριστέ· διὸ ἀπαύστως »κράζομεν. Δόξα τῇ δυνάμει σου Κύριε.

Αἱ τάξεις τῶν Ἀγγέλων ἐξεπλάγησαν, ἐν ταῖς ἀγκάλαις τοῦ Πρεσβύτου θεασάμεναι, τὸν σὺν Πατρὶ καὶ Πνεύματι ὑμνούμενον, ὡς Υἱόν, καὶ Θεὸν ἡμῶν.

Τὸ ἡμῶν ἀτελὲς οἰκειούμενος, ὁ παντέλειος Θεὸς τῇ κατὰ νόμον προσαγωγῇ, τὸ τέλειον τῆς χάριτος ἡμῖν ἐδωρήσατο.

Ὡς βρέφος ἐν ἀγκάλαις δεχόμενος, καὶ Θεὸν τῷ πνεύματι θεώμενος, ὁ Συμεὼν σωτήριον τοῦ κόσμου, τὸν Χριστὸν ἀνεκήρυττε.

Μωσέως τιμιώτερος γέγονας, τοῦ δεξαμένου νόμον ἐν τῷ ὄρει Σινᾶ· ὅτι Χριστὸν τὸν Κύριον ἀγκάλαις σου Πρεσβύτα ἐβάστασας.

Θεοτοκίον

Ἡ Ἄννα προφητεύουσα τὸ μέλλον, τὸν ἐκ τῆς μήτρας σου Θεὸν προανηγόρευσε· διὸ ἀπαύστως πρέσβευε, σωθῆναι Θεομῆτορ τοὺς δούλους σου,

Τοῦ Μάρτυρος. **Εἰσακήκοα Κύριε**

Θεωμένους κατέπληξας, Μάκαρ τοὺς τυράννους, τῇ καρτερίᾳ σου· τὰς βασάνους γὰρ ὑπέμεινας, ὡς ἐν ἀλλοτρίῳ πάσχων σώματι.

Ἐνετρύφας Μακάριε τοῖς τῶν ἀλγηδόνων πόνοις νυττόμενος· νῦν τρυφᾷς δὲ καθαρώτερον, ἀϊδίου δόξης ἐμφορούμενος.

Ξεομένου τοῦ σώματος, ταῖς τῶν σιδηρῶν ὀνύχων ὀξύτησιν, ἐνευροῦτό σου Θεσπέσιε, τῆς ψυχῆς ὁ τόνος θείᾳ χάριτι.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Θεοτοκίον

Ἐπὶ σὲ τὴν ἐλπίδα μου, πᾶσαν ἀνατίθημι Μητροπάρθενε· τὴν ψυχήν μου διαφύλαξον, ἡ Θεὸν τεκοῦσα τὸν Σωτῆρά μου.

ΚΑΤΑΒΑΣΙΑ: **Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου...**

Προεόρτιος. Ὠδὴ ε΄. Ὁ Εἱρμός.

» Ὁ ἀνατείλας τὸ φῶς, καὶ φωτίσας τὸν ὄρθρον, καὶ » δείξας τὴν ἡμέραν, δόξα σοι Ἰησοῦ, Υἱὲ τοῦ » Θεοῦ, φιλάνθρωπε δόξα σοι.

Ἐν τῇ τοῦ νόμου σκιᾷ, τὸν τῆς χάριτος λόγον, τρανῶς ἐχρηματίσθη, Συμεὼν ὁ δίκαιος, σωματικῶς τὸν Χριστὸν δεξάμενος.

Οὗτος εἰς πτῶσιν φησί, καὶ ἀνάστασιν κεῖται· εἰς πτῶσιν τῶν ἀπίστων, καὶ πιστῶν ἀνάστασιν, ὁ Συμεὼν, ἄρτι προφήτευσε.

Θεοτοκίον

Θεοκυῆτορ Ἁγνή, τὸν Υἱόν σου δυσώπει, λυτρώσασθαι κινδύνων, καὶ πάσης περιστάσεως, τοὺς σὲ δοξάζοντας, Θεοτόκε ἄχραντε.

Τοῦ μάρτυρος. **Ὀρθρίζοντες βοῶμέν σοι**

Ἰνδάλματα τῆς πλάνης κατήργησας, Ἀθλοφόρε· εἰκόνι λατρεύειν γάρ, Θεοῦ τοῦ ὄντως ἠγάπησας.

Νενίνηκας γενναίως τὸ φρόνημα, τοῦ τυράννου, τὸ ἄθεον Πάνσοφε, Χριστοῦ τῇ πίστει νευρούμενος.

Θεοτοκίον

Ἀνέκφραστος ἡ σύλληψις γέγονε, σοῦ Παρθένε, ὁ τόκος ἀπόρρητος, διαμεμένηκεν ἄχραντε.

ΚΑΤΑΒΑΣΙΑ: **Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς...**

Προεόρτιος. Ὠδὴ ς΄. Ὁ Εἱρμός.

» Ὡς Ἰωνᾶν τὸν Προφήτην, ἐλυτρώσω τοῦ κήτους « Χριστὲ ὁ Θεός, κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων ἀνάγαγε καὶ σῶσόν με μόνε φιλάνθρωπε.



Ἐχρηματίσθη Πρεσβύτης, μὴ θανεῖν, πρὶν ἰδεῖν τὸν Δεσπότην Χριστόν· ἀγκάλαις δὲ σήμερον φέρει καὶ τοῦτον προσδεικνύει παντὶ τῷ λαῷ Ἰσραήλ.

Τὸν Ποιητὴν τῶν αἰώνων, ὁ Πρεσβύτης ὡς βρέφος δεξάμενος, Θεὸς προαιώνιον ἔγνω, καὶ φῶς ἐθνῶν καὶ δόξαν τοῦ Ἰσραὴλ τὸν Χριστόν.

Νῦν Συμεὼν προφητεύει, νῦν ἡ Ἄννα ἀνθομολογεῖ τῷ Θεῷ· ὁ μὲν τῇ Μητρὶ καὶ Παρθένῳ, ἡ δὲ τῷ ἐκ Παρθένου ἀναδειχθέντι σαρκί.

Θεοτοκίον.

Ὢ μακαρία κοιλία, πόθεν ταύτην τὴν δόξαν ἐβλάστησας; Θεὸς τὸ τεχθὲν ὦ Παρθένε, καὶ φῶς ἐθνῶν, καὶ δόξα καὶ ἀπολύτρωσις.

Τοῦ Μάρτυρος. **Ἱλάσθητί μοι Σωτήρ.**

Ξηράνας τὰς μυσαράς, σπονδὰς καὶ κνίσσης μιάσματα, μανίας εἰδωλικάς, σοῖς αἵμασιν ἔνδοξε, κατήρδευσας ἅπαντα, τὰ τῆς Ἐκκλησίας, εὐγενῆ Τρύφων βλαστήματα.

Ἰχῶρες μαρτυρικοί, ὡς μύρον εὐωδιάζουσι· τὸ αἷμα τῶν ἀθλητῶν, πηγάζει ἰάματα· ἡ κόνις τοῦ σώματος, ψυχὰς ἁγιάζει, τῶν πιστῶς θεραπευόντων αὐτούς.

Θεοτοκίον.

Ὡς ἔμψυχος κιβωτός, ἐδέξω Λόγον τὸν ἄναρχον· ὡς ἅγιον ἱερόν, τὸν Κτίστην ἐχώρησας, ὡς θρόνος πυρίμορφος, φέρεις τὸν Δεσπότην, Θεομῆτορ πάσης κτίσεως.

ΚΑΤΑΒΑΣΙΑ: **Ἐβόησέ σοι ἰδὼν ὁ πρέσβυς**

Κοντάκιον, Ἦχος πλ. δ΄. **Ὡς ἀπαρχάς.**

Τριαδικῇ στεῤῥότητι, πολυθεΐαν ἔλυσας, ἐκ τῶν περάτων ἀοίδιμε, τίμιος ἐν Κυρίῳ γενόμενος· καὶ νικήσας τυράννους, ἐν Χριστῷ τῷ Σωτῆρι, τὸ στέφος

Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἴληφας τῆς μαρτυρίας σου, καὶ χαρίσματα θείων ἰάσεων, ὡς ἀήττητος.

Ὁ Οἶκος.

Ἱεράν πανδαισίαν προτίθεται φιλεόρτων τὸ σύστημα σήμερον, Προεόρτια σύμβολα φέρουσαν, τοῦ Κυρίου τεσσαρακονθήμερον τὴν ἐκ Παρθένου φρικτὴν γέννησιν, καὶ Πρεσβύτου σεπτοῦ ἐναγκάλισιν, καὶ σεπτοῦ Ἀθλοφόρου μνημόσυνα· δι' αὐτὸν γάρ τὸν Χριστὸν, τελειοῦται νικητικῶς, ὡς ἀήττητος.

**Συναξάριον.**

Μὴν Φεβρουάριος ἔχων ἡμέρας κή.

εἰδέ ἐστι Βίσεκτος κθ΄.

Ἡ ἡμέρα ἔχει ὥρας ια΄. καὶ ἡ νὺξ ὥρας ιγ΄.

Τῇ Α΄ .τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Τρύφωνος.

Στίχοι.

Σὺ δὲ Τρύφων τί; τὸ ξίφος θνήσκω φθάσας,
Καιρὸς δὲ τίς σου τοῦ τέλους; Νουμηνία.
Ἐν Φεβρουαρίοιο Τρύφων πρὸ τομῆς θάνε πρώτῃ.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

Προεόρτιος. Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

»Ὁ τῶν Πατέρων Θεὸς μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ »δώρησαι ἡμῖν, ἐν παῤῥησίᾳ βοᾶν σοι· Εὐλο»γητὸς εἶ ὁ Θεός.

Ὁ ἐνοικήσας Θεὸς, ἐν γαστρὶ τῆς Παρθένου, ἐν ἀγκάλαις Συμεών, ὥσπερ ἐν θρόνῳ πυρίνῳ, σήμερον ἐνθρονίζεται.

Σὺ τὸ γεῶδες ἡμῶν, προσλαβόμενος Λόγε ἐνηπίασας σαρκὶ, καὶ νομικῶν καθαρσίων, μετέσχες ὥσπερ νήπιον.



Ἡ σώφρων Ἄννα ἡμῖν, προφητεύει τὸ μέλλον, καὶ προλέγει μυστικῶς, τὴν τῶν ἐθνῶν προσδοκίαν, καὶ Ἰσραὴλ τὴν λύτρωσιν.

Θεοτοκίον.

Χαῖρε ἡ ἄσπορος γῆ, ἡ τὸν Λόγον ἐκ μήτρας, δίχα σπέρματος ἀνδρὸς, σεσαρκωμένον τεκοῦσα, ἡ σκέπη τῶν ψυχῶν ἡμῶν.

Τοῦ Μάρτυρος. **Οἱ ἐκ τοῖς Ἰουδαίας.**

Στεφηφόρος χορεύεις, τοῖς χοροῖς τῶν Μαρτύρων συνευφραινόμενος τὴν πλάνην γὰρ νικήσας, ἐν λόγῳ ἀληθείας, ἀναμέλπεις γηθόμενος· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὁ Δεσπότης τῶν ὅλων, τῶν αὐτοῦ παθημάτων στέφει τὸν Μάρτυρα· καὶ τοῦτον ἐναυλίζει, σκηναῖς ἐπουρανίοις, κεκραγότα καὶ λέγοντα: Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Νέον φέρουσα βρέφος, τὸν πρὸ πάντων αἰώνων Θεὸν Πανάμωμε, ἐκ σοῦ σωματωθέντα, μὴ παύσῃ δυσωποῦσα, τοῦ σωθῆναι τοὺς ψάλλοντας· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

ΚΑΤΑΒΑΣΙΑ: **Σὲ τὸν ἐν πυρὶ δροσίσαντα..**

Προεόρτιος. Ὠδὴ ή. Ὁ Εἱρμός.

»Τὸν Βασιλέα Χριστόν, ὅν ὡμολόγησαν οἱ αἰχμάλω»τοι Παῖδες, ἐν τῇ καμίνῳ λέγοντες μεγάλῃ τῇ φωνῇ· Πάντα τὰ ἔργα ὑμνεῖτε ὡς Κύριον.

Τὸν δι' ἡμᾶς καθ' ἡμᾶς, βρέφος γενόμενον, ὑπὸ νόμον ἀχθέντα, ἵνα τοῦ νόμου πάντας ἀπαλλάξῃ τοῦ γραπτοῦ, πάντα τὰ ἔργα ὑμνεῖτε ὡς Κύριον.

Ἰδών σε φῶς νοερόν, Συμεὼν ὁ Πρεσβύτης, ἀγκάλαις ὑπεδέξατο βοῶν· Νῦν ἀπολύεις με Λόγε, πρὸς τὴν ἐν τῷ πνεύματι ζωὴν ἐκ τῆς προσκαίρου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Τὸν πρὸ αἰώνων Θεόν, τὸν εὐδοκήσαντα δι' ἡμᾶς νηπιάσαι, καὶ ἐν χερσὶ δεχθῆναι τοῦ πρεσβύτου Συμεών, πάντα τὰ ἔργα ὑμνεῖτε ὡς Κύριον.

Θεοτοκίον.

Τὸν Βασιλέα Χριστόν, ὅν ἡμῖν ἔτεκεν ἡ Παρθένος Μαρία, καὶ μετὰ τόκον ἔμεινε Παρθένος ἁγνή, πάντα τὰ ἔργα ὑμνεῖτε ὡς Κύριον.

Τοῦ Μάρτυρος. **Ἑπταπλασίως κάμινον.**

Μέχρι τομῆς καὶ καύσεως, μέχρις αἵματος χύσεως, μέχρι καὶ θανάτου, τελευταῖον ἤθλησας, ἀντικαθιστάμενος, πρὸς ἁμαρτίαν Μάρτυς Χριστοῦ· νῦν δὲ τῆς ζωῆς, τῆς ἐν Χριστῷ κρυπτομένης, λαβόμενος κραυγάζεις· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἐπὶ τῆς γῆς ἠγώνισαι, δυσσεβέσι μαχόμενος, πρὸς ἀπατηλήν, καὶ Θεομάχον πλάνησιν, πικρῶς ἀναγκάζουσιν· ἐν οὐρανεῖς σὲ Τρύφων τρυφᾷς, στεφανηφορῶν, καὶ σὺν Ἀγγέλοις κραυγάζων· Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τυρανικὴν διήλεγξας, ἀθεότητα πάνσοφε, καὶ δαιμονικὴν θεομαχίαν ἔσβεσας, ῥοαῖς τῶν αἱμάτων σου, τὸν ἐν Τριάδι ἕνα Θεόν, ἀξιοπρεπῶς καὶ καθαρῶς ἀναγγέλλων, καὶ σέβων καὶ κραυγάζων· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ῥήμασι σοῖς ἑπόμενοι, μακαρίζομεν Πάναγνε, σὲ τὴν μακαρίαν, τὴν σαρκὶ γεννήσασαν, τὸν ὄντως μακάριον, τὸν φῶς οἰκοῦντα ἄδυτον, καὶ φωταγωγὸν καὶ φωτοδότην Δεσπότην· ὃν Παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.



ΚΑΤΑΒΑΣΙΑ: **Ἀστέκτῳ πυρὶ ἑνωθέντες...**

Προεόρτιος Ὠδὴ Θ΄. Ὁ Εἱρμός.

»Μεγαλύνομεν πάντες, τὴν φιλανθρωπίαν σου, Κύριε
»Σωτὴρ ἡμῶν, ἡ δόξα τῶν δούλων σου, καὶ στέ-
»φανος τῶν πιστῶν, ὁ μεγαλύνας τὴν μνήμην τῆς Τε-
»κούσης σε.

Ὁ πλάξιν ἐγχαράξας, τὸν τοῦ γράμματος νόμον, χερσὶν ἀγκαλίζεται, Πρεσβύτου ὡς νήπιον, καὶ ἁγιόγραφον ἡμῖν, ὑπαγορεύει νόμον τὸ Εὐαγγέλιον.

Σήμερον ἐν τῷ ναῷ, Συμεὼν ὁ πρεσβύτης, ἀγκάλαις ἐδέξατο, Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ ἐβόησε λέγων· Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα.

Τῶν Ἀγγέλων αἱ τάξεις, ἐν σαρκὶ κατιδοῦσαι τὸν Κτίστην τὸν ἴδιον, ὡς βρέφος γενόμενον, ἀγκάλαις τοῦ Πρεσβύτου, τοῦτον ἐν φόβῳ ὑμνοῦσαι ἐδόξαζον.

Συμεὼν Θεοδόχε, τοῦ Κυρίου αὐτόπτα, καὶ νόμου καὶ χάριτος, ἀρχὴ καὶ συμπέρασμα, μνείαν ποιοῦ καὶ ἡμῶν, τῶν τιμώντων τὴν σεπτήν σου μετάστασιν.

Θεοτοκίον.

Χαῖρε πάνσεμνε Ἁγνή, παρθενίας καύχημα, καὶ τοῦ κόσμου ἡ χαρά, Μαρία Μήτηρ καὶ δούλη, τοῦ Σωτῆρος Χριστοῦ· αὐτὸν δυσώπει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τοῦ Μάρτυρος. **Σὲ τὴν ἀπειρόγαμον.**

Ὑπὲρ τὰ ὁρώμενα, αἱ τῶν Μαρτύρων προσδοκίαι, πλήρης ἀθανάτου λήξεως, καθορᾶται ἡ τούτων ἐλπίς, πλήρης θυμηδίας καὶ χαρᾶς, καὶ φαιδρότητος ἀνεκφράστου· ὅθεν ἀξίως μακαρίζονται.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Φῶς ἐγένου δεύτερον, φωτὶ τῷ πρώτῳ προσπελάσας, αἴγλῃ τῇ αὐτοῦ πυρσούμενος, καὶ μορφούμενος Τρύφων σοφέ, καὶ ταῖς αὐτοῦ χορηγουμέναις, ἐλλάμψεσι διαλάμπων· ὅθεν σε πάντες μακαρίζομεν.

Ὤφθης ἀκατάπληκτος, ἐν τοῖς ἀγῶσιν Ἀθλοφόρε· ὤφθης ἀληθῶς ἐπώνυμος, τῆς ἐνθέου καὶ θείας τρυφῆς· ἧς νῦν ἀπολαύων, καὶ τρανῶς ἐνηδόμενος, σωτηρίαν τοῖς σὲ τιμῶσιν ἡμῖν αἴτησαι.

Θεοτοκίον.

Νέκρωσον τὸ φρόνημα, Θεογεννῆτορ τῆς σαρκός μου· ζώωσον ψυχῆς τὴν νέκρωσιν, ἐνεργείᾳ τῆς ὄντως ζωῆς, τῆς ἐκ σοῦ τεχθείσης κατὰ σάρκα, δι᾽ ἄφατον εὐσπλαγχνίαν, καὶ σωτηρίαν τῶν ὑμνούντων σε.

ΚΑΤΑΒΑΣΙΑ: Θεοτόκε ἡ ἐλπίς.. **Ἐν νόμῳ σκιᾷ...**

Ἐξαποστειλάριον.

**Ὁ οὐρανὸν τοῖς ἄστροις.**

Ὁ τῶν πασχόντων ῥύστης, καὶ εὐσεβούντων προμηθεύς, Τρύφων ὁ μέγας ὑμνείσθω, ὡς στρατιώτης τοῦ Χριστοῦ ὃν εὐμενῶς ἱλεοῦται, τοῖς πρὸς αὐτὸν προσιοῦσιν.

Ἕτερον. **Ἐν Πνεύματι τῷ ἱερῷ.**

Τρυφῆς κατεμφορούμενος, παραδόξου καὶ θείας, Ἀγγέλοις ὁμοδίαιτος, ἐχρημάτισας μάκαρ, τὰς χῆνας νέμων ἐν νάπαις, πρὸς Θεοῦ ἀπείληφας, τὴν χάριν τῶν ἰαμάτων, Τρύφων Μεγαλομάρτυς, θεραπεύων τῶν βροτῶν, τὰς ἀσθενείας καὶ νόσους.

Προσόμοιον ὅμοιον.

Τὸν παῖδα προσκομίσασα, ἡ πανάμωμος Κόρη, ἐν ἱερῷ τετέλεκε, τὰ τοῦ νόμου· καὶ τοῦτον, ἀγκάλαις



ὡς ἐδέξατο, Συμεὼν ὁ δίκαιος, ἀντέφησε τῇ Παρθένῳ: Οὗτος κεῖται εἰς πτῶσιν, καὶ ἀνάστασιν πολλῶν, καὶ ὡς σημεῖον ἐν κόσμῳ.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος πλ. δ΄. **Ὢ τοῦ παραδόξου θαύματος!**

Τρύφων ἀθλητὰ μακάριε, τῷ σαρκωθέντι Θεῷ, καὶ ἀγκάλαις ὡς νήπιον, βασταχθῆναι ἥκοντι, τοῦ πρεσβύτου προσέφερες, καθάπερ ζεῦγος τρυγόνων ἄμωμον, ψυχὴν καὶ σῶμα πόνους ἀθλήσεως· ὢ τῆς ἀρίστης σου, προφορᾶς θεόληπτε! δι᾽ ἧς φθαρτῶν, καὶ ῥεόντων ἤλλαξας, τὰ μὴ κενούμενα.

Τρύφων ἀθλοφόρε ἔνδοξε, ὥσπερ τρυφὴν ἀληθῆ, τὴν πτωχείαν ἠγάπησας, τοῦ σαρκὶ πτωχεύσαντος, καὶ τὸν κόσμον πλουτίσαντος, περιουσίαν μνηστευομένην σοι, τῆς βασιλείας τοῦ Παντοκράτορος· ἧς ἐπιβέβηκας, σταλαγμοῖς αἱμάτων σου, ὡς ἐν βαφαῖς, θείας ὡραιότητος, περιρρεόμενος.

Τρύφων ἀθλητὰ πανεύφημε, τὸν ζωοδότην Χριστόν, ὁλικῶς ἐνδυσάμενος, ἄνθος τῆς νεότητος, καὶ ἀκμὴν τὴν τοῦ σώματος, τῇ γῇ ἀπέθου καθάπερ, πρόσκαιρα, καὶ ἀνυψώθης πρὸς τὰ αἰώνια, ταῖς τῶν ἀγώνων σου, χρυσαυγέσι πτέρυξι, καὶ τῷ φωτί, χαίρων κατεσκήνωσας, τῆς ἄνω λήξεως.

Τρύφων ἀθλοφόρε ἔνδοξε, χριστομιμήτου στοργῆς, θησαυρὸς ἀνεξάντλητος, γεγονὼς τοῖς τρόποις σου ἐλεεῖς τοὺς ἱκέτας σου· ὅθεν μὴ παύσῃ ἡμᾶς λυτρούμενος, ἀσθενημάτων καὶ πάσης θλίψεως, καὶ παρεχόμενος, ἀμπελῶσι πάντοτε, καὶ τοῖς καρποῖς, καὶ ἀρούραις ἄνωθεν, τὴν εὐλογίαν σου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Δόξα. Ἦχος β'.

Τῆς ἀθλοφορικῆς σου χάριτος, κατατρυφῶντες τῶν δωρεῶν, χρεωστικῶς τὴν μνήμην σου, Τρύφων ἑορτάζομεν· ὅτι ἀντιλήπτωρ ἄγρυπνος, καὶ φύλαξ θερμότατος, πέλεις ἡμῶν ἀθλητά· τοὺς γὰρ πολλούς σου καμάτους, ὁ πλούσιος δοτὴρ ἀμειβόμενος, πηγήν σε θαυμάτων, εἰς πολλῶν περιποίησιν εἰργάσατο· δι' ὧν ὥσπερ ἥλιος ἐκλάμπων, τῶν εὐεργεσιῶν τὰς ἀκτῖνας, καταθάλπεις τοὺς τιμῶντάς σε, καὶ πρεσβεύεις Κυρίῳ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Προεόρτιον ὁ αὐτός.

Ὁ Κτίστης οὐρανοῦ καὶ γῆς, ἐν ἀγκάλαις ἐβαστάζετο, ὑπὸ ἁγίου Συμεών, τοῦ πρεσβύτου σήμερον· αὐτὸς γὰρ ἐν Πνεύματι Ἁγίῳ ἔλεγε : Νῦν ἠλευθέρωμαι· εἶδον γὰρ τὸν Σωτῆρά μου.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τυπικά, ἡ γ'. Ὠδὴ τῆς ἑορτῆς, καὶ ἡ ϛ'. τοῦ Ἁγίου.
. Ἀπόστολον καὶ Εὐαγγέλιον ὅρα μηνολόγιον.

Κοινωνικόν.

**Εἰς μνημόσυνον αἰώνιον...**

Μεγαλυνάρια.

Ἴχνεσιν ἑπόμενος ἀκλινῶς, Τρύφων ἀθλοφόρε, τοῦ φανέντος ἐπὶ τῆς γῆς, τῶν αὐτοῦ χαρίτων δοχεῖον ἀνεδείχθης, καὶ ἱεροῖς ἀγῶσι Μάρτυς διέπρεψας.

Φύλαττε ἐκ βλάβης τε καὶ φθορᾶς, ἡμῶν τὰς ἀμπέλους, καὶ τοὺς κήπους καὶ τὰ φυτά, ὡς μεγίστην χάριν, λαβὼν παρὰ Κυρίου, καὶ διώκε θηρία Τρύφων τὰ φθείροντα.

Δίστιχον.

Τρύφων ἀληθοῦς ἀξίωσον τρυφῆς με
Γεράσιμον μέλψαντα Σὰς ἀριστείας.

**Γ. Μ. Μ.**

**ΚΑΛΛΙΤΕΧΝΙΚΟΝ**
**ΕΚΔΟΤΙΚΟΝ ΤΥΠΟΓΡΑΦΕΙΟΝ**
**ΣΩΤ. Ν. ΣΧΟΙΝΑ**
**ΕΝ ΒΟΛΩ. - ΚΟΡΑΗ 47.**

Ἀναλαμβάνει παντὸς εἴδους ἐκτυπώσεις διαφόρων βιβλίων μὲ πᾶσαν ἐπιμέλειαν καὶ προσοχήν.

Ἀναλαμβάνει τὴν διόρθωσιν τῶν δοκιμίων ΥΠΕΥΘΥΝΩΣ διὰ τοὺς μὴ δυναμένους νὰ παρακολουθήσωσι τὴν ἔκδοσιν.

**ΠΑΡΕΧΕΙ ΕΥΚΟΛΙΑΣ ΠΛΗΡΩΜΗΣ ΕΠΙ ΕΓΓΥΗΣΕΙ**

Γενικῶς δὲ παρέχει πᾶσαν τὴν δυνατὴν εὐκολίαν εἰς τοὺς θελοντας νὰ φέρωσι τὰ ἔργα των εἰς τὸ φῶς.

"ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,, ΑΡ. 2

# ΑΚΟΛΟΥΘΙΑ
## Εἰς τὸν Ἅγιον Ἱερομάρτυρα
# ΣΥΜΕΩΝ
## ΤΟΝ ΣΥΓΓΕΝΗ ΤΟΥ ΚΥΡΙΟΥ

Σὺν αὐτῷ δέ, καὶ εἰς πάντας τοὺς Ἁγίους τοὺς ἔχοντας τὴν τοιαύτην ἐπωνυμίαν ἤτοι: τὸν Θεοδόχον Συμεών, τὸν Στυλίτην, τὸν Νέον Θεολόγον, τὸν Θαυμαστορίτην, τὸν διὰ Χριστὸν σαλόν, τὸν ἐν Περσίδι Ἐπίσκοπον, τὸν τῆς Μονῆς Φλαμουρίου ἡγούμενον, τὸν τῆς Χιλιανδαρίου κτίτορα, τὸν Μεταφραστήν, τὸν Δίκαιον, τὸν Ὅσιον, τὸν Μάρτυρα, τὸν Εὐλαβῆ, τὸν Παλαιόν, τὸν Ὁμολογητὴν Θεοφόρον καὶ τὸν Τραπεζούντιον Νεομάρτυρα.

ΕΤΙ ΔΕ

**καὶ ἀνάγνωσιν, ἥτις ἀναφέρει ἐν περιλήψει τὰ περὶ ἑκάστου πρακτικά. καὶ ταῦτα, κατ' αἴτησιν τοῦ Πανοσιωτάτου ἐν Ἱερομονάχοις κυρίου Συμεὼν Ζωγράφου τοῦ ὑπὸ τὴν προστασίαν τοῦ Πανιερωτάτου Ἁγίου Μοσχονησίου.**

**Συνετάχθη δὲ ἡ παροῦσα ἀκολουθία παρὰ τοῦ ὁσιωτάτου κυρίου ΝΗΦΩΝΟΣ ΜΟΝΑΧΟΥ ΑΓΙΟΡΕΙΤΟΥ τῷ 1879 ἔτει κατὰ μῆνα Ἰανουάριον.**

**Νῦν δὲ ἀντεγράφη παρὰ τοῦ ἐν μοναχοῖς ἐλαχίστου Συμεὼν ἁγιορείτου κατὰ μῆνα Φεβρουάριον τοῦ 1879 ἐν ὑπ' τῇ Ἄθωνι ἐρήμῳ τοῦ Ἁγίου Βασιλείου τοῦ Μεγάλου.**

Νυνὶ δὲ παρὰ Σπυρίδωνος Λαυριώτου ἰατροῦ πρὸς ἔκδοσιν τύποις.

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται
ΥΠΟ
**ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ**
ΝΟΕΜΒΡΙΟΣ 1936

1936
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ **ΣΩΤ. Ν. ΣΧΟΙΝΑ**
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΠΡΟΓΝΩΣΤΙΚΟΝ

Δεξάμενος τὴν φροντίδα τοῦ συντάξαι καὶ ρυθμῆσαι τὴν παροῦσαν Ἀκολουθίαν, κατὰ τὴν αἴτησιν τοῦ ῥηθέντος οἰκοδεσπότου, βάσιν ποιούμενος ἀείποτε εἰς δύο ἀρχάς, κυρίως δὲ εἰς μίαν ἤτοι: πρῶτον εἰς τὸν Ἅγιον Συμεὼν τὸν συγγενῆ τοῦ Κυρίου, ὡς ὅτι ἡ μνήμη αὐτοῦ ἐστι σήμερον καὶ δεύτερον εἰς τὸν θεοδόχον Συμεών, ὡς ἀρχαιότερον πάντων, οὕτως ἐποίησα. Ὅθεν εἰς μὲν τὸν Μέγαν ἑσπερινόν, ὅ ους ἀναφέρω κατ᾽ ὄνομα, καὶ εἰς τὰς δύο στάσεις τῶν τροπαρίων, εἰς δὲ τὸ Δοξαστικόν, τοὺς κυριωτέρους, νοουμένων καὶ τῶν λοιπῶν. Εἰς τὴν λιτὴν ἀναφέρω αὐτοὺς κατ᾽ ὄνομα εἰς τὰ τρία ἰδιόμελα, εἰς δὲ τὸ Δοξαστικὸν οὐδένα ἀναφέρω, ἀλλὰ κοινόν. Ὁμοίως ἀναφέρω αὐτοὺς ὀνομαστί, εἰς τὰ τρία τῶν Ἀποστίχων προσόμια, τοὺς δύο δὲ πρώτους εἰς τὸ Δόξα, νοουμένων καὶ τῶν λοιπῶν. Ἀπολυτίκιον ἐκλεξάτω ὁ οἰκοκύριος ἓν ἐκ τῶν τριῶν, ὧν ἐσχάτως συνέταξα ἐν τῷ τέλει τοῦ ἑσπερινοῦ, ἅτινα κατὰ μὲν τὸ ὕφος τοῦ μέλους εἰσὶν ὅμοια, κατὰ δὲ τὸν τρόπον οὐδεποσῶς. Εἰς τὰς τρεῖς στάσεις τῶν Καθισμάτων, ἀναφέρω ὅλους ὁμοῦ κατ᾽ ὄνομα. Εἰς τοὺς Κανόνας ἡ μὲν α´ ᾠδὴ ὅλους περιέχει κατ᾽ ὄνομα ὁμοίως καὶ ἡ γ´., ἡ δὲ δ´. καὶ στ´. περιέχουσιν ὅλους ὁμοῦ ἕνα ἐν ἑκάστῳ τροπαρίῳ. Τὸ Κοντάκιον καὶ ὁ Οἶκος τοὺς κυριωτέρους ἀναφέρουσιν. Ἡ δὲ ζ´ καὶ ἡ η´ ἕνα ἐν ἑκάστῳ τροπαρίῳ ἀναφέρει, πλὴν τοῦ τελευταίου, ἡ δὲ θ´. ὅλους ἀναφέρει κατ᾽ ὄνομα. Τὰ ἐξαποστειλάρια κοινὰ καὶ οἱ Αἶνοι. Τὸ δὲ Δόξα, ὅλους ἀναφέρει αὐτοὺς κατὰ τὸ ἐπίθετον. Τὰ δὲ εἰς τὴν λειτουργίαν ἀναφέρουσιν ὅλους αὐτοὺς ὀνομαστί. Συνέταξα πρὸς τούτοις καὶ λόγον μιᾶς μικρᾶς ἀναγνώσεως, ἐρανισθεὶς αὐτὸν ἐκ τῆς βιογραφίας ἑκάστου μικρὰν περίληψιν.

(Σημ. Τὴν βιογραφίαν τοῦ δικαίου Συμεών, τοῦ Μάρτυρος, τοῦ Ὁσίου καὶ τοῦ ὁμολογητοῦ Θεοφόρου, τούτων τῶν τεσσάρων, οὐδὲ βιογραφίαν εἰς πλάτος εὗρον οὐδὲ συναξάριον, οὐδὲ ὑποσημείωσιν, οὐδὲ ἄλλην τινὰ μαρτυρίαν, πλήν, εἰ καὶ οὐχ εὗρόν τι, οὐκ ἀφῆκα αὐτοὺς ἀμνήμους, ἀλλ᾽ ὅλους ἐξίσου καὶ τοὺς δέκα ἑπτὰ συνέταττον εἰς τὰ τροπάρια, ἐπειδὴ τόσον ὁ Συναξαριστής, ὅσον καὶ τὸ Μηναῖον, Ἁγίους διαλαμβάνει καὶ μαρτυρεῖ αὐτούς).

## ΜΗΝΙ ΑΠΡΙΛΙΩ ΚΖ´.

Ἀκολουθία εἰς τὸν Ἅγιον Συμεὼν τὸν συγγενῆ τοῦ Κυρίου, μεθ᾽ οὗ συνεορτάζομεν καὶ τοὺς λοιποὺς Ἁγίους, τοὺς εἰς αὐτὸ τὸ ὄνομα Συμεὼν εὑρισκομένους, ἐν ὅλῳ τῷ ἐνιαυτῷ.

---

### ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

**Ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.**

**Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Χαίροις θεοδόχε Συμεών, χαίροις τὸν Χριστὸν ὁ βαστάσας, βρέφος γενόμενον· χαίροις καὶ σὺ ἔνδοξε, ὁ τοῦ Χριστοῦ ἀγχιστεύς, μιμητὴς ἰσαπόστολος, σοφὸς ἱεράρχης, Συμεὼν μακάριε, καὶ Μάρτυς ἔνδοξε· χαίροις Συμεὼν τε στυλίτα, ὁ τὴν τοῦ ἐχθροῦ στηλιτεύσας, πᾶσαν τὴν κακίαν τῇ ἀσκήσει σου.

Τόν τε τῆς Περσίδος Συμεών, τὸν ἱερομάρτυρα ὕμνοις, τιμῶ τὸν ἔνδοξον, καὶ ἁγιώτατον, ἄλλον τιμῶ Συμεών, τὸν ἀσκήσει ἐκλάμψαντα, καὶ τοῦτον ἐν στύλῳ καὶ ἐν ὄρει πρότερον, τῷ θαυμαστῷ ὡς εἰκός, σὺν τῷ καλουμένῳ Δικαίῳ, ἀλλὰ καὶ τὸν Ὅσιον μέλπω, Ὁμολογητὴν καὶ ἄλλον Μάρτυρα.

Νέον θεολόγον Συμεών, τὸν ἐν γῇ φανέντα ὡς ἄλλον, βροτὸν οὐράνιον, πῶς ἐάσω ἄμνημον, τὸν μνήμης ἄξιον, πῶς δὲ καὶ τὸν θεοφόρον, τὸν πράξεσι μέγαν, Συμεὼν ἀγέραστον, ἐάσω σήμερον· ὡς διὰ Χριστὸν μωρὸς ὤφθη· ἀλλὰ καὶ τὸν ἕτερον μέλπω, ὕμνοις Συμεὼν τὸν εὐλαβέστατον.

Ὕμνοις Συμεὼν τὸν παλαιόν, καὶ Μεταφραστὴν μέλπω θείοις, νῦν Συμεὼν τὸν σοφόν, ἀλλὰ καὶ τὸν κτίτορα, τῆς Χιλιανδαρίου Μονῆς, Συμεὼν θείοις ᾄσμασιν, ὑμνῶ σὺν ἑτέρῳ, τῷ τε Νεομάρτυρι, καὶ τῷ ἐξάρχοντι, τῆς σεπτῆς Μονῆς Φιλοθέου, θείῳ Συμεῶνι, οὓς πίστει, ἀνυμνολογοῦντες μακαρίζομεν.

**Δόξα. Ἦχος πλ. β´**

Μάρτυρες Χριστοῦ καὶ ἱεράρχαι, ὅσιοι καὶ Δίκαιοι, οἱ φερωνυμίᾳ ἐν Χριστῷ συνδούμενοι, καὶ τὸν χορὸν τοῦτον συγ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κροτήσαντες, ἰδίως τῷ αὐτῷ Χριστῷ εὐηρεστήσατε, σώφρονες γενόμενοι, ὡς τῇ κλήσει καὶ τῇ πράξει, τῷ αὐτῷ μὴ παύσητε πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἑορταζόντων, τὴν ἁγίαν ἡμῶν μνήμην σήμερον.

**Καὶ νῦν. Τῆς ἑορτῆς.**

**Εἰς τὸν στίχον.** Στιχηρὰ προσόμοια

**Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.**

Ὕμνοις τοὺς ὑμνητὰς, Χριστοῦ τοῦ θεανθρώπου, τιμήσωμεν ἐνθέοις, τοὺς κλήσει τε καὶ πράξει, ὁμοίους ὡς ὁμόφρονας.

**Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

Θεῖος τῶν προφητῶν, χορὸς καὶ ἀποστόλων, ἱεραρχῶν ὁσίων, καὶ τῶν Δικαίων ἅπας, ὑμῶν τῇ δόξῃ γάνυται.

**Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.**

Χαίρετε τοῦ Χριστοῦ, αὐτόπται καὶ οἰκεῖοι, σὺν τοῖς λοιποῖς καὶ πᾶσιν, ὅτι τῆς θείας δόξης, τυγχάνετε καὶ κρείττονες.

**Δόξα ὅμοιον.**

Πατέρα καὶ Υἱὸν καὶ θεῖον Πνεῦμα, πάντες, δοξάζοντες τιμῶμεν, τὸν ἕνα ἐν τριάδι, Θεὸν τὸν προαιώνιον.

**Καὶ νῦν.**

Μήτηρ σὺ τοῦ Θεοῦ, Μαρία Θεοτόκε, μὴ παύσῃ τοῦ πρεσβεύειν, ὑπὲρ τῶν σὲ τιμώντων, σὺν πᾶσι τοῖς Ἁγίοις σου.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκια καὶ ἀπόλυσις.

---

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.**

Σήμερον φαιδρῶς ἀγάλλονται, φιλεόρτων τάξεις μάκαρ ἐν τῇ μνήμῃ σου, οἰκεῖόν σε τοῦ Χριστοῦ, κατανοήσασαι, καὶ μάρτυρα κραταιόν, καὶ Ἱεράρχην αὐτοῦ ἰσαπόστολον, μιμούμενος γὰρ σοφέ, τὸν σὸν Δεσπότην Σταυρῷ, προσωμίλησας, καὶ νῦν Συμεὼν τὸ χαῖρε, δέχῃ καὶ τὸν στέφανον, ἐκ χειρὸς τοῦ αὐτοῦ σου, συγγενοῦς τοῦ σὲ δοξάσαντος.



Χαίροις Συμεὼν θεόσοφε, θεοδόχε χαίροις, ὡς Θεοῦ μυστήριον, προέγνως δι᾽ ἀρετῆς, αὐτοῦ γενόμενος, οἰκεῖος καὶ ἐραστής, καὶ ἱερεύς, καὶ προφήτης σοφώτατος, καὶ τοῦτον ἐν τῷ ναῷ, ὡς ὑπομάζιον βρέφος ἐβάστασας, ταῖς ἀγκάλαις καὶ ἐβόας· νῦν κἀμὲ ἀπόλυσον, ἐν εἰρήνῃ σὸν δοῦλον, σὲ γὰρ εἶδον τὸν Σωτῆρά μου.

Ὕμνοις Συμεὼν τὸν ἔνδοξον, θείοις τὸν Στυλίτην, πάντες εὐφημήσωμεν, ὡς γνήσιον τοῦ Χριστοῦ, καὶ μέγαν ὅσιον, σὺν τούτῳ καὶ Συμεών, τὸν ἐν τῷ ὄρει καὶ στύλῳ ἀσκήσαντα, καὶ δίκαιον Συμεών, σὺν τῷ ὁσίῳ καὶ μάρτυρι μέλψωμεν, σὺν τῷ νέῳ Θεολόγῳ, τοὺς τοῦ λόγου κήρυκας, ἀνυμνήσωμεν πάντες, ὡς ἡμῶν φρουροὺς καὶ πρέσβεας.

**Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Συγγενὴς ἐχρημάτισας, Συμεὼν τοῦ Κυρίου σου, καὶ αὐτὸν ἐδόξασας θείοις μέλεσι, τοῖς σοῖς θεόπτα μιμούμενος, αὐτοῦ τὰ παθήματα, καὶ τὸν θάνατον ὁμοῦ, ᾧ μὴ παύσῃ δεόμενος, ἡμᾶς ῥύσασθαι, ἐκ παντοίων κινδύνων καὶ φωτίσαι, τῶν ψυχῶν ἡμῶν τὰς κόρας, ἐν ἀβλεψίᾳ τυγχάνοντας.

Συμεὼν τὸν ἐπίσκοπον, τῆς Περσίδος τιμήσωμεν, καὶ τὸν εὐλαβέστατον θείοις ᾄσμασι, καὶ Συμεὼν τὸν Ἰσάγγελον, μωρίᾳ ὀλέσαντα, τὸν κακίας σοφιστήν, καὶ σὺν τούτοις ὑμνήσωμεν, τὸν συγγράψαντα, τῶν Ἁγίων τοὺς βίους Συμεῶνα, σὺν τῷ παλαιῷ συμφώνως, ὡς τοῦ Κυρίου θεράποντας.

Φιλοθέου τιμήσωμεν, τῆς Μονῆς τὸν ἐξάρχοντα, Συμεὼν τὸν ὅσιον καὶ θαυμάσιον, καὶ τῆς τῶν Σέρβων δομήτορα, Μονῆς· εὐφημήσωμεν, μυροβλύτην Συμεών, καὶ τὸν νέον ἐν μάρτυσι Τραπεζούντιον, Συμεὼν καὶ σὺν τούτοις θεῖον ἄλλον, Συμεὼν τε θεοφόρον, ὁμολογίᾳ κοσμούμενον.

**Δόξα. Ἦχος πλ. α΄.**

Τοὺς τοῦ Χριστοῦ θεράποντας πιστοί, δεῦτε ὕμνοις εὐφημήσωμεν ἐνθέους, Συμεὼν αὐτοῦ τὸν ἀγχιστέα, ἰσαπόστολον, καὶ Μάρτυρα καὶ Ἱεράρχην· σὺν τούτῳ μακαρίσωμεν, τόν τε Δίκαιον καὶ Ἅγιον, Συμεὼν τὸν θεοδόχον, τὸν αὐτὸν Θεὸν ἐν ταῖς ἀγκάλαις, τεσσαρακονθήμερον ὡς βρέφος, ἐν ναῷ βαστάσαντα ὡς κεχρημάτισται· μεθ᾽ οὗ καὶ τοὺς ἐν στύλῳ θαυμαστούς, διανύσαν-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τας τὸν βίον ὥσπερ Ἄγγελοι· καὶ τὸν νέον ἐν ὁσίοις Θεολόγον, σὺν τῷ μωρίᾳ προσποιήσαντι, καὶ σὺν τοῖς ἄλλοις ὁμωνύμοις τοὺς θεόφρονας ἡμῶν προστάτας, τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν τῆς ἑορτῆς.**

Εἴσοδος· Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

**Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.**

Κεφ. ΜΓ΄. 9 Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ καὶ ἀκουσάτωσαν. Γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγὼ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Κεφ. Γ΄. 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Κεφ. Ε΄. 16 Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργήν, εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**Εἰς τὴν λιτήν· Ἰδιόμελα. Ἦχος α΄.**

Τὸν ἀγχιστέα τοῦ Χριστοῦ, Συμεὼν τὸν μάρτυρα καὶ μύστην, καὶ ἰσαπόστολον αὐτοῦ καὶ Ἱεράρχην, ψαλμοῖς καὶ ὕμνοις, εὐφημήσωμεν· οὗτος γὰρ αὐτὸν ἐκμιμηθείς, σταυρικῷ θανάτῳ τὸ ζῆν κατέλιπε· τὸν δὲ πρεσβύτατον καὶ δίκαιον ἐν πᾶσι, Συμεὼν τὸν Θεοδόχον, ἐγκωμίων ᾄσμασι τιμήσωμεν· καὶ τοὺς στυλίτας δύο θαυμαστούς, σὺν τῷ Θεολόγῳ τοὺς ὁσίους, μετὰ τῶν προκρίτων σήμερον ἐγκωμιάσωμεν. Οὗτοι γὰρ παρρησίας τυχόντες πρὸς Θεόν, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσι, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἦχος β΄.**

Τὸν σοφίᾳ θεϊκῇ ἠμφιεσμένον καὶ μωρίᾳ τῇ διὰ Χριστὸν κεκαλυμμένον, Συμεὼν τὸν ἁγιώτατον ὑμνήσωμεν, σὺν τῷ τῆς Μονῆς τῶν Σέρβων μυροβλύτῃ, καὶ δομήτορι τῷ θείῳ Συμεῶνι,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἅμα προεξάρχοντι τῆς Φιλοθέου, ἱερᾶς Μονῆς τῷ ὁμωνύμῳ, τούτοις ἐγκωμίων ὕμνοις καταστέψωμεν, τοὺς πολλὰς ὑπενεγκόντας κακουχίας, ἐξ ἐχθρῶν ὁρατῶν τε καὶ νοουμένων, τούς τε καὶ Θεῷ εὐαρεστήσαντας τῷ μόνῳ καὶ ὑπὲρ ἡμῶν, πρεσβεύοντας ἀπαύστως· τούτους εὐφημήσωμεν ἐν ᾄσμασιν.

**Ἦχος Γ'.**

Ὕμνοις εὐφημήσωμεν ἐνθέοις, νῦν τὸν μεταφράσαντα, τὰς πράξεις τῶν Ἁγίων, Συμεὼν τὸν ἀξιέπαινον, καὶ τὸν ἐν Περσίδι ἱεράρχην, καὶ τὸν Δίκαιον καὶ Μάρτυρα καὶ Ὅσιον, τοὺς ἐν τοῖς Ἁγίοις φερωνύμους τε, καὶ σὺν τούτοις ὁμολογητὴν τὸν θεοφόρον, Συμεών τε, σὺν τῷ παλαιῷ καὶ εὐλαβεῖ τοὺς θείους, καὶ τὸν ἐν ὑστέροις χρόνοις μαρτυρήσαντα, Συμεὼν τὸν Τραπεζούντιον, οὓς ἐν πίστει μακαρίσωμεν.

**Δόξα. Ἦχος δ'.**

Μάρτυρες Χριστοῦ καὶ Ἱεράρχαι, ὅσιοι καὶ δίκαιοι, οἱ φερωνυμίᾳ ἐν Χριστῷ συνδούμενοι, καὶ τὸν χορὸν τοῦτον συγκροτήσαντες, ἰδίως τῷ αὐτῷ Χριστῷ εὐηρεστήσατε, σύμφρονες γενόμενοι, ὡς τῇ κλήσει καὶ τῇ πράξει· τῷ αὐτῷ μὴ παύσητε πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἑορταζόντων, τὴν ἁγίαν μνήμην ὑμῶν, σήμερον.

**Καὶ νῦν τῆς ἑορτῆς.**

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Στιχηρὰ Προσόμοια.

**Ἦχος δ'. Ὁ ἐξ Ὑψίστου κληθείς.**

Πρὸ τοῦ Τιμίου σταυροῦ σου καὶ τοῦ πάθους, πάθος τοῦ Δεσπότου σου, καὶ τὸν Σταυρὸν κατιδών, αὐτοῦ τοῖς ἴχνεσιν ἔσπευσας, ἀκολουθῆσαι, τῇ ἀγχιστείᾳ ἐνσεμνυνόμενος, καὶ τὰς ῥήσεις ἔνδοξε προμελετώμενος, τοῦ ὁμωνύμου σου πάντοτε, τοῦ τε Προφήτου καὶ θεοδόχου μεθ' οὗ ἠξίωσαι, συμβασιλεύεις τῷ Σωτῆρί σου, Συμεὼν ἱεράρχα θεόσοφε, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Τὸν ἐν ὁσίοις στυλίτην Συμεῶνα, τὸν ὑπερπηδήσαντα τοὺς ἀνθρωπίνους θεσμούς, ἐν τῇ ἀσκήσει τιμήσωμεν, σὺν τῷ ἑτέρῳ, θαυμαστορείτῃ τοὺς οὐρανόφρονας, καὶ τὸν προσποιήσαντα μωρίαν μέλψωμεν, νῦν Συμεὼν τὸν θεόφρονα, σὺν τῷ ποιμένι τῷ τῆς Περσίδος Ἱερομάρτυρι, καὶ σὺν ὁσίῳ καὶ τῷ μάρτυρι, Συ-



μεὼν τὸν ἀρχαῖον δοξάσωμεν, καὶ μονῆς Φιλοθέου, καὶ τῶν Σέρβων τοὺς ἐξάρχοντας.

Τὸν Θεολόγον τὸν νέον Συμεῶνα, τίς οὐ μὴ θαυμάσητε, σὺν τῷ ἀλείπτῃ αὐτοῦ, καὶ Συμεών τε τὸν δίκαιον, καὶ θεοφόρον, ὁμολογίᾳ καλλωπιζόμενον καὶ τὸν Τραπεζούντιον, νέον ἐν μάρτυσι, τίς μὴ ὑμνήσῃ ἐν ᾄσμασι, καὶ τὸν τὰς πράξεις, τὰς τῶν Ἁγίων καλῶς ἐκδώσαντα, τίς μὴ δοξάσῃ καὶ αἰνέσηται· τὰς αὐτῶν ἀριστείας καὶ τρόπαια, δι' ὧν ἔτυχον δόξης, ἐν Χριστῷ συναγαλλόμενοι.

**Δόξα. Ἦχος πλ. δ'.**

Θεοδόχε Συμεὼν Χριστοῦ προφῆτα, τίς τῶν μεγαλείων σου μὴ ἐντρυφήσῃ; ὃν γὰρ οἱ πρὸ σοῦ ἐκήρυξαν προφῆται, τοῦτον σὺ ἐναγκαλίσαι κατηξιώθης, ὡς βρέφος ὑπομάζιον, τεσσαρακονθήμερον ἐν τῷ ναῷ. Διὸ καὶ χαίροις, σὺν τῷ ὁμωνύμῳ σου καὶ συγγενεῖ αὐτοῦ τοῦ κηρυχθέντος Χριστοῦ, Ἱεράρχῃ τε καὶ μάρτυρι καὶ μύστῃ καὶ σὺν τῇ λοιπῇ χορείᾳ τῶν Ἁγίων, ὁμωνύμων τοῦ τῇ κλήσει καὶ τῇ πράξει· μεθ' ὧν μὴ παύσῃ πρεσβεύειν, ὑπὲρ τῶν εὐφημούντων σε.

**Καὶ νῦν. Τῆς ἑορτῆς.**

**Ἀπολυτίκια. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.**

Χριστοῦ τὸν ἀγχιστέα ἱεράρχην καὶ Μάρτυρα, τόν τε Συμεὼν εὐφημοῦμεν, σὺν τῷ θεοδόχῳ ἐν ᾄσμασι, καὶ νέον θεολόγον Συμεών, τοὺς δύο τε στυλίτας σὺν αὐτοῖς, καὶ τοὺς ἄλλους ὁμωνύμους, νῦν τῆς αὐτῆς χορείας διὸ βοῶμεν· Δόξα τῷ ἁγιάσαντι ὑμᾶς, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ δεδωκότι πρὸς ἡμᾶς φρουροὺς καὶ φύλακας.

Ἕτερον ὅμοιον.

Τοὺς ὁσίους Πατέρας ὁμωνύμους, τοὺς πέλοντας, ὁμολογητὰς καὶ δικαίους, ἱεράρχας καὶ μάρτυρας, τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, μιμούμενοι αὐτῶν τὰς ἀρετάς, οἱ φιλόθεοι καὶ τούτων ἐρασταί, κραυγάζοντες ὁμοφώνως· Δόξα τῷ ἁγιάσαντι ὑμᾶς, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι δι' ὑμῶν πᾶσιν ἰάματα.

**Ἕτερον. Ἦχος α'. Τοὺς τρεῖς μεγίστους φωστῆρας.**

Τὸν τοῦ Χριστοῦ ἀγχιστέα Συμεὼν εὐφημήσωμεν, σὺν τῷ θεοδόχῳ ἐν ὕμνοις, Στυλίτας δύο θεόφρονας, καὶ Συμεών τε θεο-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λόγον τὸν νέον, σὺν ἑτέροις, δύο τοὺς τῆς Μονῆς Φιλοθέου καὶ τῆς τῶν Σέρβων ἐξάρχοντας, ὑμνήσωμεν σὺν τούτοις, καὶ τὸν τῆς Περσίδος ἐπίσκοπον, σὺν τῷ Δικαίῳ τῷ πάνυ, καὶ τὸν Συμεὼν Τραπεζούντιον, ἅμα Συμεῶνι σοφῷ τῷ σαλῷ, σὺν τοῖς ἄλλοις ὁμοῦ νῦν τιμήσωμεν, αὐτοὶ γὰρ τῷ Σωτῆρι, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσι.

Τὰ λοιπὰ τοῦ Ἑσπερινοῦ καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα.

**Ἦχος α΄. Τὸν τάφον σου.**

Χορείαν εὐκλεῆ, κροτουμένην ἐνθέως, ἐξ ἄθλων ἱερῶν, ἐξ ἀσκήσεων, πόνων, ἐξ ἔργων ἁγιότητος, προφητῶν καὶ ὁσίων τε, ἣν ἐδόξασεν, ὁ τῶν ἁπάντων Δεσπότης, ταύτην σήμερον, ὕμνοις ἐνθέοις τιμῶμεν αὐτῶν οἱ συνώνυμοι.

**Δόξα. Ὅμοιον.**

Δοχεῖον τοῦ Θεοῦ, θεοδόχε ἐδείχθης, πρεσβύτα Συμεών, καὶ προφῆτα Κυρίου· διὸ καὶ συναγάλλῃ νῦν, ἱερεῖ ὁμωνύμῳ σου, ἀξιάγαστε, ὁρῶν ὃν εἶδες ὡς βρέφος, Θεὸν τέλειον, καὶ ποιητὴν τῶν αἰώνων, ὃν τρέμει τὰ σύμπαντα.

**Καὶ νῦν. Τῆς ἑορτῆς.**

Μετὰ τὴν β΄ στιχολογίαν. Κάθισμα.

**Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

Τὸν στυλίτην Συμεών, τὸν ἐν ὁσίοις θαυμαστόν, ὕμνοις θείοις ἀνυμνῶ, σὺν τῷ ἑτέρῳ Συμεών, τῷ θαυμασίως ἐν στύλῳ καὶ ἐν τῷ ὄρει, λίαν καρτερῶς, ἐξασκήσαντι, καὶ σὺν αὐτῷ, τόν τε Δίκαιον, καὶ τὸν τοὺς βίους ἅμα τῶν Ἁγίων, πόθῳ πολὺ μεταφράσαντα, αὐτούς τε πάντας, ὕμνοις γεραίρω, τοὺς τοῦ Χριστοῦ μου θεράποντας.

**Δόξα. Ὅμοιον.**

Θεολόγον Συμεών, τὸν νέον πόθῳ ἀνυμνῶ, τὸν δοξάσαντα Θεόν, καὶ δοξασθέντα ὑπ' αὐτοῦ, καὶ τὸν μυρία ἀρίστῃ



προσποιηθέντα, ἄλλον Συμεών, τὸν καταισχύναντα, ἔργοις ἀγαθοῖς, πόνοις ἀσκήσεως, τὸν σοφιστὴν καὶ κτίστην τῆς κακίας, καὶ Συμεὼν νεομάρτυρα, τούτους ἐν ὕμνοις, μέλπω τοῖς θείοις, καὶ ἱεροῖς μελῳδήμασι.

**Καὶ νῦν. Τῆς ἑορτῆς.**

Μετὰ τὸν πολυέλαιον. Κάθισμα.

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Περσίδος τὸν πρόεδρον, τὸν θαυμαστὸν Συμεών, ἀξίως τιμήσωμεν ὡς ἱεράρχην Χριστοῦ, καὶ μάρτυρα ἔνθεον, ἕτερόν τε σὺν τούτῳ, Συμεὼν τὸν ἀρχαῖον, ἅμα τε τῷ Ὁσίῳ, καὶ τῷ Μάρτυρι ὕμνοις, γεραίρομεν τὸν ὄντως εὐλαβῆ, ὑπὲρ ἡμῶν τοὺς πρεσβεύοντας πάντοτε.

**Δόξα. Ὅμοιον.**

Μονῆς τὸν δομήτορα, Χιλανδαρίου τιμῶ, τὸν μύρα ἐκβλύσαντα, τὸν θαυμαστὸν Συμεών, σὺν τούτῳ καὶ ἕτερον, μάνδρας τῆς Φιλοθέου, Συμεὼν τὸν προστάτην, ἅμα τῷ Συμεῶνι, θεοφόρῳ γεραίρω, τοὺς πρέσβεας ἡμῶν πρὸς Θεόν, οὓς ὁ αὐτὸς συνεδόξασε Κύριος.

**Καὶ νῦν. Τῆς ἑορτῆς**

Οἱ ἀναβαθμοί. Τὸ πρῶτον Ἀντίφωνον τοῦ δ΄. ἤχου.

**Τὸ Πᾶσα πνοὴ καὶ τὸ προκείμενον.**

**Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

Εὐαγγέλιον. **Τῶν Ἁγίων.**

**Δόξα, ταῖς τῶν σῶν Ἁγίων. Καὶ νῦν, ταῖς τῆς Θεοτόκου**

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ Ἰδιόμελον.

Ἦχος πλ. β΄.

Αὐτόπται Χριστοῦ, Συμεὼν πρεσβῦτα θεοδόχε, δίκαιε καὶ ἱερώτατε αὐτοῦ προφῆτα, καὶ Συμεὼν οἰκειότατε, Μάρτυς ἱεράρχα τοῦ αὐτοῦ καὶ ἰσαπόστολε, παρρησίαν ἔχοντες ἀμφότεροι πρὸς Κύριον, μὴ παύσητε πρεσβεύειν ὑπὲρ ἡμῶν Πατέρες ὄντως Ἁγιώτατοι.

Εἶτα ὁ Κανὼν τῆς ἑορτῆς καὶ τῶν Ἁγίων ὁ παρὼν εἰς ϛ΄.

**Ὠδὴ α΄. ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**

Ἄνω τὸ ὄμμα, τῆς ψυχῆς ἐπάραντες, χάριν ἐδέξασθε, καὶ Θεοῦ σοφίαν, πάνσοφοι γενόμενοι, πατέρες Ἁγιώτατοι, με-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τασχεῖν τῆς αὐτῆς με, ταῖς σαῖς λιταῖς ἀξιώσατε, τὸν ὑμᾶς ὑμνῆσαι βουλόμενον.

Τὸν θεοδόχον Συμεὼν γεραίροντες, τὸν καὶ προφήτην Χριστοῦ, καὶ τὸν ἀγχιστέα, τοῦ αὐτοῦ καὶ μάρτυρα, καὶ ἱεράρχην ἅπαντες, Συμεὼν εὐφημοῦντες, καὶ τοὺς Στυλίτας ὑμνήσωμεν, δύο Συμεῶνας ἐν ᾄσμασι.

Τὸν ἐν Περσίδι Συμεὼν ἐπίσκοπον, Χριστοῦ καὶ μάρτυρα, μετὰ τοῦ Δικαίου, καὶ Ὁσίου στέψωμεν, ἐν ὕμνοις καὶ τὸν Μάρτυρα, Συμεὼν εὐφημοῦμεν, τοὺς τοῦ Χριστοῦ μου θεράποντας, καὶ ἡμῖν προστάτας ὑπάρχοντας.

Θεολογίας τὸν σοφὸν εἰδήμονα, τὸν νέον ᾄσμασι, Συμεὼν γεραίρω, καὶ τὸν μεταφράσαντα, Ἁγίων τὰ ἐπίπονα, Συμεὼν καὶ σὺν τούτοις, Τραπεζουντίων τὸν μάρτυρα, σὺν τῷ παλαιῷ νῦν δοξάσωμεν.

Πῶς μὴ ὑμνήσω Συμεὼν τὸν ὅσιον, τὸν ἑκουσίᾳ βουλῇ, ἐμπαιγμοὺς καὶ ὕβρεις, καὶ κακώσεις φέροντα; ἢ πῶς τοὺς δύο ᾄσμασι, μὴ δοξάσω καὶ ὕμνοις, τὸν Φιλοθέου ἐξάρχοντα, καὶ τὸν τῆς τῶν Σέρβων δομήτορα;

**Θεοτοκίον**

Βασιλευόντων βασιλέα τέξασα, καὶ ποιητὴν τοῦ παντός, ὅθεν Θεοτόκος πέλεις κατ᾽ ἐξαίρετον, ὡς πάλαι προκατήγγειλαν, περὶ σοῦ οἱ προφῆται, οἱ θεηγόροι ἐν Πνεύματι, θείῳ ἐμπνευσθέντες θεόνυμφε.

Καταβασία: **Ἀναστάσεως ἡμέρα.**

**Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.**

Τοῦ μυστηρίου σου Χριστέ, τὸ βάθος κατανοήσας, Συμεὼν ὁ σὸς προφήτης προέφη; σὲ ὡς βρέφος καθορῶν, τῇ σῇ Μητρὶ τὰ μέλλοντα, ἅτινα ἐν τῷ πάθει, τῷ σῷ σαφῶς ἐπληρώθησαν.

Σὲ τοῦ Χριστοῦ τὸν μιμητήν, καὶ συγγενῆ κατὰ σάρκα, Συμεὼν πῶς οὐ τολμήσω ὑμνῆσαι; ἢ πῶς μὴ τοὺς θαυμαστούς, Στυλίτας δύο σήμερον, ἀμνήμους τε ἐάσω, οὓς ἡ Τριὰς ἐθαυμάστωσεν.

Τὸν θεολόγον Συμεών, τὸν νέον σὺν τῷ ἀλείπτῃ, τῷ αὐτῷ ἀνευφημῶ Συμεῶνι, καὶ τὸν ἄλλον Συμεών, τὸν τῆς Περσίδος πρόεδρον, σὺν τῷ Δικαίῳ ἅμα, ὑμνῶ Ὁσίῳ καὶ Μάρτυρι.

Πῶς μὴ ὑμνήσω Συμεών, μωρίᾳ προσποιηθέντα, καὶ τὸν ἔχθιστον ἐχθρὸν καθελόντα; τῶν Τραπεζουντίων δέ, πῶς μὴ αἱ-



νέσω ᾄσμασι, νῦν Συμεὼν καὶ ὕμνοις, τὸν τοῦ Χριστοῦ νεομάρτυρα.

Χιλανδαρίου Συμεών, γεραίρω τὸν μυροβλύτην καὶ δομήτορα Μονῆς θείοις ὕμνοις, καὶ σὺν τούτῳ τὸν Μονῆς, τῆς Φιλοθέου ἕτερον, νῦν Συμεὼν δοξάζω, τὸν τῆς αὐτῆς προεξάρχοντα.

**Θεοτοκίον**

Ὁ ἐν προφήταις ψαλμῳδός, σὲ κιβωτὸν ὀνομάζει, ἁγιάσματος Παρθένε ὁ θεῖος, καὶ κατάκαρπον φυτόν, ἐλαίας οἱ δὲ Δέσποιναν, ἁπάσης γῆς καὶ πόλου, οἱ τοῦ σοῦ κλήρου καλοῦμέν σε.

Καταβασία: **Δεῦτε πόμα πίωμεν.**

**Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Τοὺς Ἁγίους σήμερον, σὺν ἱεράρχαις, ἀθλητὰς αἰνέσωμεν, καὶ τοὺς ὁσίους ἐν ᾠδαῖς, σὺν τοῖς δικαίοις οὓς ἔστεψεν, ὁ στεφοδότης Χριστὸς ὁ φιλάνθρωπος.

**Δόξα. τὸ αὐτό. Καὶ νῦν, τῆς ἑορτῆς.**

**Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.**

Σὲ τὸν σοφόν, ἐν τοῖς ὁσίοις γεραίρομεν καὶ προφήταις, ὃν γὰρ προκατήγγειλαν, ἐπὶ τῆς γῆς, πάντες οἱ πρὸ σοῦ, οὐ κατηξιώθης ἰδεῖν αὐτὸν ὥσπερ νήπιον, λαβεῖν τε σαῖς ἀγκάλαις, καὶ προφητεῦσαι περὶ τούτου, Συμεὼν θεοδόχε μακάριε.

Τὸν Συμεών, τὸν ἱεράρχην καὶ Μάρτυρα, καὶ οἰκεῖον τοῦ Δεσπότου σήμερον ὕμνοις τιμῶ, ὃς ὑπὲρ Χριστοῦ, θάνατον ὑπέστη, ἐπὶ Σταυροῦ ἐκμιμούμενος, αὐτοῦ τε τὸν Σωτῆρα, καὶ ἐδοξάσθη ὑπὸ πάντων, ὡς πρὸ τούτου ὁ θεῖος Ἰάκωβος.

Τῶν ἀσκητῶν, ὄντως ὑπέρτερος γέγονας, ἐν τῷ στύλῳ, Συμεὼν ἱστάμενος, ἄνευ τροφῆς, ὕπνου καὶ ποτοῦ, νήφων καὶ δοξάζων, τὸν ποιητήν σου καὶ Κύριον, καὶ δαίμονας διώκων, καὶ πᾶσαν νόσον θεραπεύων, τῶν πρὸς σὲ συνελθόντων μακάριε.

Ὁμοιωθεὶς, τῷ ἀνωτέρω θεσπέσιε, ὁμωνύμῳ, ἤσκησας θεάρεστα ἐν θαυμαστῷ ὄρει ἀληθῶς, εἶτα καὶ ἐν στύλῳ, τροφῇ ἀφθάρτῳ τρεφόμενος, ὡς ἐξ ἐπαγγελίας, οὐ γεννηθῆναι ἠξιώθης, Συμεὼν καὶ γραφῆναι ὡς Ἄγγελος.

Σὲ τοῦ Χριστοῦ, τὸν Ἱεράρχην καὶ μάρτυρα, ἐν Περσίδι, Συμεὼν τὸν ἔνδοξον, ὕμνοις τιμῶ, τὸν ὑπὲρ αὐτοῦ, θλίψεις ἐνεγκόντα, τοῦ μαρτυρίου καὶ θάνατον, ἐπὶ ἀσεβεστάτου, τοῦ βασιλέως Σαβωρίου, καὶ τὸ στέφος λαβόντα τὸ ἄφθαρτον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Θεοτοκίον

Θρόνον Θεοῦ, μεγαλοφώνως προέφησε, Ἡσαΐας, ἐν ἁγίῳ Πνεύματι, ὁ δὲ σεπτὸς Ἰεζεκιήλ, πύλην κεκλεισμένην, ἡμεῖς δὲ πάντες οἱ τρόφιμοι, τοῦ κλήρου σου Παρθένε, σὲ προστασίαν ἐκβοῶμεν, Θεοτόκε καὶ ὅρμον σωτήριον.

Καταβασία: **Ἐπὶ τῆς θείας φυλακῆς.**

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.**

Συμεὼν τὸν μωρίαν, περιβεβλημένον ὡς τρίβωνα ἔξωθεν, ἔνδοθεν δὶ ὅλον, τὴν σοφίαν Θεοῦ περικείμενον, πῶς αὐτὸν ἀφῶμεν, ἀνεγκωμίαστον τὸν ὄντως, παθοκτόνον καὶ μέγαν ἀρίσταρχον.

Θεολόγος ὁ νέος, Συμεὼν τιμάσθω ἐν ὕμνοις καὶ ᾄσμασιν, ὅς παρ' ἡλικίαν, ἔτι ὢν τῆς προκρίτοις ἠξίωται, τοῦ Θεοῦ Ἁγίοις, καὶ περιὼν τῇ ἡλικίᾳ, ὅλος φῶς προσευχόμενος δέδεικται.

Πῶς ἐάσω ἐνταῦθα, νῦν τὸν παλαιὸν Συμεὼν ἀμνημόνευτον; ὅστις ἐν σπηλαίῳ, διὰ μόνων βοτάνων ἐτρέφετο, ἀλλὰ καὶ συνέβη, δύο Μονῶν γενέσθαι κτίτωρ, καὶ τοῖς ἔργοις φανεῖσθαι ἰσάγγελος.

Πῶς καὶ τοῦτον ἐάσω, τὸν μεταφραστὴν Συμεῶνα ἀγέραστον, ὅστις τῶν Ἁγίων, τῶν πλειόνων τοὺς βίους συνέγραψεν, ἐν πολλῇ σοφίᾳ, καὶ ἀρετῇ γὰρ οὗτος ὅλον, τὸν αὐτοῦ βίον διέβη ὡς ὅσιος.

Συμεὼν ἄλλον μέλπω, τὸν τῆς Φιλοθέου μονῆς προεξάρχοντα, τὸν πολλὰ παθόντα ἐξ αὐτοῦ τοῦ ποιμνίου ἀνήκουστα, ὅς καὶ μονοχίτων, καὶ ἀνυπόδητος διῆλθε, τὸν αὐτοῦ βίον τὸν ἅπαντα δίαυλον.

### Θεοτοκίον

Περὶ σοῦ ὁ προφήτης, ὁ Δαβὶδ Θεοτόκε προανεφώνησε, τῷ τὰ μεγαλεῖα, σοὶ ποιήσαντι μόνῳ Παντάνακτι, Σοί φησι παρέστη, ἱματισμῷ ἐκ δεξιῶν σου, ἡ Βασίλισσα μόνη πανάχραντος.

Καταβασία: **Ὀρθρίσωμεν ὄρθρου βαθέως.**

**Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι Σωτήρ.**

Χιλανδαρίου Μονῆς, ὑμνῶ τὸν θεῖον δομήτορα, τὸν ὅσιον Συμεών, ἀσκήσει βιώσαντα καὶ μῦρα ἐκβλύσαντα, θεῖα καὶ εὐώδη, ὑπὲρ νάρδου καὶ κινάμωμον.



Συγχαίρει καὶ Συμεών, ὁ νεομάρτυς ἐν πνεύματι, ὃς ἠξιώθη τιμῆς, τοῦ εἶναι εἰς ἔπαινον, χορείας τῆς ἄνωθεν, τῶν νεομαρτύρων καὶ ἁγίων πάντων σύσκηνος.

Τὸν δίκαιον Συμεών, τὸν Ὅσιον καὶ τὸν Μάρτυρα, ἀλλὰ καὶ τὸν εὐλαβῆ, ὡς ἄλλον τιμήσωμεν, τοὺς πέντε θεόφρονας, τοὺς κροτοῦντας ταύτην, τὴν παροῦσαν θείαν σύναξιν.

Τὴν σύναξιν τῶν σοφῶν, ἐνταῦθα ὕμνοις τιμήσωμεν, μαρτύρων καὶ προφητῶν, ὁσίων δικαίων τε, Θεὸν τοὺς δοξάσαντας ἀρεταῖς παντοίαις, καὶ πρὸς τοῦτον ἐκδημήσαντας.

Πατέρα καὶ τὸν Υἱόν, καὶ θεῖον Πνεῦμα δοξάσωμεν, Τριάδα τὴν ἑνικήν, καὶ μίαν τρισήλιον, θεότητα, ἄναρχον, ἣν δοξολογοῦντες, τῶν πταισμάτων ἀπολύμεθα.

### Θεοτοκίον

Προφήτης ὁ Σολομών, ἐν τῷ τοῦ ᾄσματος ᾄσματι, πλησίον καὶ ἀδελφήν, καλεῖ σε ἐν Πνεύματι, οἱ δὲ καὶ προστάτιδα, σοῦ τῆς κληρουχίας, σὲ οἱ τρόφιμοι κηρύττομεν.

Καταβασία: **Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς.**

Κοντάκιον. Ἦχος πλ. δ΄. **Τῇ ὑπερμάχῳ.**

Τὸν ἀγχιστέα τοῦ Χριστοῦ ἱερομάρτυρα· νῦν Συμεὼν τὸν ἰσαπόστολον ἐν ᾄσμασι, καὶ ἐν ὕμνοις εὐφημήσωμεν σὺν τοῖς ἄλλοις, Ἱεράρχαις τε, ὁσίοις καὶ τοῖς μάρτυσι, τοὺς προστάτας καὶ φρουροὺς ἡμῶν καὶ πρέσβεας, τούτους κράζοντες, μιμηταὶ Χριστοῦ χαίρετε.

### Ὁ οἶκος.

Ἄγγελοι μετ' ἀνθρώπων, καὶ βροτοὶ μετ' Ἀγγέλων, ὑπάρχετε Χριστοῦ θεοφόροι· τὸν γὰρ ἄσαρκον σοφοὶ ἐχθρόν, καταβεβληκότες ὡς ἀνίσχυρον, προτρέπετε καὶ νῦν σοὺς ὑμνητάς, ταῦτα ἐκβοᾶν, ὑμνεῖν καὶ λέγειν.

Χαίρετε φίλοι τοῦ Ζωοδότου· χαίρετε λύχνοι παντὸς ἀνθρώπου.
Χαῖρε Συμεὼν Θεοδόχε μακάριε· Χαῖρε Συμεὼν τοῦ Χριστοῦ ἰσαπόστολε.
Χαίρετε Στυλῖται ὅσιοι, Συμεὼν καὶ Συμεών· χαῖρε τῆς Περσίδος πρόεδρε ἱεράρχα Συμεών.
Χαῖρε ὅτι μωρία ἑκουσίως ὑπέστης· Χαῖρε ὅτι σοφίας τοῦ Θεοῦ ἠξιώθης.
Χαίρετε σὺν Ἀγγέλων ὁμότιμοι, χαίρετε σὺν μαρτύρων ὁμόσκηνοι.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Χαῖρε πληθὺς ὁμωνύμων Ἁγίων· χαίρετε νῦν ἐν Χριστῷ τῷ Κυρίῳ.

Μιμηταὶ Χριστοῦ χαίρετε.

Τῷ αὐτῷ μηνὶ κζ΄ μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος καὶ ἰσαποστόλου Συμεὼν Ἀρχιεπισκόπου Ἱεροσολύμων, συγγενοῦς τῷ κατὰ σάρκα τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Σὺν αὐτῷ δέ, καὶ τὴν Σύναξιν πάντων τῶν ὁμωνύμων αὐτοῦ.

Στίχοι

Ἀδελφὰ πάσχει Συμεὼν τῷ Κυρίῳ. Ξύλῳ κρεμασθεὶς ὡς ἀδελφὸς Κυρίου·
Ἄσμασι στέφω Χριστέ μου τοὺς σοὺς δούλους· ὁμωνύμους τε ὑπάρχοντας τοὺς πάντας.
Ξύλῳ ἑβδομάτῃ Συμεὼν πάγη εἰκάδι μακρῷ.
(καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ).

Ὠδὴ ζ΄. **Θεοῦ συγκατάβασιν.**

Τῷ γήρᾳ καμπτόμενος, καὶ τὸν Χριστὸν ὡς βρέφος, πρὸς σὲ θεωρῶν, Συμεὼν τοῦτον χαίρων, ἐνηγκαλίσω ἐν τῷ Ναῷ ἑστηκώς, καὶ πρὸς αὐτοῦ ἀτενίσας τε ἔψαλλες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Χριστοῦ ἰσαπόστολος, ἱερομάρτυς καὶ ἀγχιστεὺς γεγονώς, Συμεὼν ἀνεδείχθης, καὶ μιμητής τε τοῦ πάθους καὶ τοῦ θανάτου αὐτοῦ, καὶ τῷ Σταυρῷ ἀναρτώμενος ἔψαλλες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῷ στύλῳ ἱστάμενος, καὶ τὸν ἐχθρόν σου καταβαλὼν ἀνδρικῶς, Συμεὼν θεοφόρε, δόξης ἐνθέου κατηξιώθης σαφῶς, καὶ τῆς αὐτῆς ἀξιούμενος ἔψαλλες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Σαφῶς ἐκμιμούμενος, τὸν πρὸ σοῦ ἐν ἀγῶσιν ὅλῃ ψυχῇ, Συμεὼν ἐν τῷ ὄρει, τῷ θαυμαστῷ, καὶ ἐν στύλῳ ἀγῶνας μακρούς· ἀγωνισθεὶς τῷ Σωτῆρί σου ἔψαλλες. Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Περσίδος τὸ καύχημα, σὺ ἀνεδείχθης ἱερουργὲ Συμεών, ἐν αὐτῇ γὰρ τὸν λόγον τῆς ἀληθείας ἀνακηρύττων σαφῶς, καὶ ἐκτμηθεὶς τῷ Σωτῆρί σου ἔψαλλες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.



**Θεοτοκίον**

Δαβὶδ ὁ προπάτωρ σου, ἀνατολήν σε καὶ δύσιν οὗτος καλεῖ, οἱ δὲ νῦν σου οἰκέται, οἱ ἐν τῷ ὄρει καὶ πάσῃ γῇ φοιτηταί, Δέσποιναν πάντες ἀεί σε κηρύττομεν, καὶ προστασίαν ἡμῶν καὶ ἱλασμὸν πρὸς Θεόν.

Καταβασία: **Ὁ παῖδας ἐκ καμίνου ρυσάμενος.**

**Ὠδὴ** η΄. Ἑπταπαλασίως κάμινον.

Διὰ τῆς σῆς θεόσοφε, βίβλου πάτερ τοὺς ἔμφρονας, ἐγερεῖς τοῦ ὕπνου καὶ πρὸς τὴν ἐγρήγορσιν, στηρίζεις τοὺς κάμνοντας, καὶ περιέλεις τὸ τῶν παθῶν, κάλυμμα σοφέ, ὦ Συμεὼν θεολόγε, καὶ πάντας ἐκδιδάσκεις τοῦ βοᾶν καὶ συμψάλλειν, Χριστὸν ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Αὐτοθελήτως ἔσπευσας, κακουχεῖσθαι μακάριε, Συμεὼν ἐν μέσῳ, τῆς Ἐμέσης πόλεως, καὶ φέρειν ἐπώδυνα, ἐκ τοῦ λαοῦ, διὰ τὸν Χριστόν· ὅθεν εὐχαρίστως, τῷ Σωτῆρι ἐβόας· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Χιλανδαρίου γέγονας, τῆς Μονῆς κτίτωρ Ὅσιε, καὶ αὐτῆς οἰκήτωρ, Συμεὼν καὶ εὔθετος, Θεῷ Παντοκράτορι, καὶ ἡγιάσθης ἐν τῷ αὐτῷ, καὶ ἁγιασθείς, σὺν τοῖς ἁγίοις κραυγάζεις· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τῆς φιλοθέου γέγονας, προεξάρχων πανάριστος, Συμεὼν τρισμάκαρ, ὑποστὰς τὰ πάνδεινα, καὶ ἔξω γενόμενος, τῆς τε τοῦ Ἄθω διαγωγῆς, οὐκ ἐκστὰς ποσῶς, ἀλλ' ὑπερέβης τοὺς πάντας, ἀσκήσει καὶ ἐβόας· ἱερεῖς ἀνυμνεῖτε· λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν Συμεὼν τὸν δίκαιον, καὶ τὸν Ὅσιον ᾄσμασιν, ἄλλον Συμεῶνα, ἀνυμνῶ τὸν Μάρτυρα, καὶ βίους τὸν γράψαντα, τοὺς τῶν Ἁγίων νῦν Συμεών, ὕμνοις εὐφημῶ, σὺν εὐλαβεῖ Συμεῶνι καὶ τῷ Τραπεζουντίῳ, γεραίρω Συμεῶνι, σὺν ὁμολογητῇ τε, τῷ ἄλλῳ θεοφόρῳ.

**Θεοτοκίον**

Μεμνηστευμένην κράζει σε, θεηγόρος ἐν Πνεύματι, ὁ Λουκᾶς Παρθένε, ἐν Εὐαγγελίῳ τε, αὐτὸς μακαρίαν σε, καὶ Μα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ριάμ, καὶ ἐν γυναιξί, πάλιν ὁ αὐτός· εὐλογημένην καλεῖ σε· ἡμεῖς δὲ προστασίαν, φρουρὸν καὶ θείαν σκέπην, καὶ μόνην σωτηρίαν καλοῦμέν σε τοῦ κόσμου.

Καταβασία : **Αὕτη ἡ κλητή.**

**Ὠδὴ θ.΄ Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.**

**Μεγάλυνον ψυχή μου σὺν τῷ θεοδόχῳ νῦν τὸν ἀγχιστέα, Χριστοῦ καὶ ἱεράρχην καὶ μάρτυρα καὶ μύστην.**

Τὸν ἔνδοξον πρεσβύτην νῦν Συμεών, Θεοδόχον ὑμνῶ, ὃς ἠξίωται βρέφος ἰδεῖν, καὶ ἐναγκαλίσασθαι τὸν Χριστόν, σὺν τούτῳ καὶ τὸν ἔνδοξον, ὕμνοις μεγαλύνω τὸν συγγενῆ, αὐτοῦ καὶ ἱεράρχην, νῦν Συμεὼν ὃς τέλος, ἐπὶ σταυροῦ χαίρων ἐδέξατο.

**Μεγάλυνον ψυχή μου, σὺν τῷ τῆς Περσίδος, καὶ τῷ ἐν Δικαίοις δύο τοὺς στυλίτας, ὁσίους θεοφόρους.**

Στυλίτας δύο μέλπω ὕμνοις σεπτοῖς, ὁμωνύμους μεγίστους τῇ χάριτι, καὶ Συμεών, τὸν ἐν τῇ Περσίδι γῇ εὐφημῶ, ὃς διὰ ξίφους εἴληφε, τέλος τὸ μακάριον ἐν Χριστῷ, καὶ ἄλλον δὲ σὺν τούτοις, γεραίρω Συμεῶνα, τὸν ἐν δικαίοις ὄντα δίκαιον.

**Μεγάλυνον ψυχή μου, σὺν τῷ θεοφόρῳ καὶ ἀθλητῇ Ὁσίῳ τὸν προσποιηθέντα διὰ Χριστὸν μωρίαν.**

Τὸν Ὅσιον γεραίρω νῦν Συμεών, καὶ σὺν τούτῳ τὸν Μάρτυρα ᾄσμασι καὶ Συμεών, ἄλλον μεγαλύνω τὸν ἐν Χριστῷ, μωρίαν ὑπομείναντα, καὶ τὰς κακουχίας τε τὰς πολλάς, καὶ τὸν ὁμολογίας, καὶ θεοφόρον ὕμνοις, τὸν Συμεὼν ὑμνῶ καὶ ᾄσμασι.

**Μεγάλυνον ψυχή μου, σὺν τῷ Θεολόγῳ, καὶ τῷ αὐτοῦ ἀλείπτῃ, τὸν Μεταφραστήν τε, καὶ Παλαιὸν τῇ κλήσει.**

Τὸν νέον θεολόγον νῦν Συμεών, πῶς ἐάσω ἐνταῦθα ἀγέραστον; σὺν τῷ αὐτοῦ, θείῳ τε ἀλείπτῃ, καὶ Συμεών, τὸν παλαιὸν ἐν ᾄσμασι, μέλπω καὶ τὸν ἕτερον Συμεών, Μεταφραστὴν τὸν ὄντως, οὓς ὁ Θεὸς τῶν ὅλων, ἐν θαυμασίοις συνεδόξασε.

Δόξα.

**Μεγάλυνον ψυχή μου, τὸν τῆς Φιλοθέου Μονῆς καὶ τῆς τῶν Σέρβων, σὺν τῷ Τραπεζουντίῳ νεαθλητῇ τῷ θείῳ.**

Μονῆς Χιλανδαρίου τὸν Συμεών, πῶς ἐάσω καὶ τοῦτον ἀγέραστον; καὶ Συμεών, τὸν τῆς Φιλοθέου πρωταρχηγόν, τιμῶ καὶ Τραπεζούντιον, νῦν τὸν νεομάρτυρα Συμεών, τοὺς πρέσβεις



τῷ Κτίστῃ, ὑπὲρ τῶν ὁμωνύμων, καὶ δοξαζόντων τούτους ᾄσμασι.

**Καὶ νῦν.**

**Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων, Μαρίαν τὴν Παρθένον.**

Αἱ κλήσεις σου Παρθένε πολλαὶ εἰσί, καὶ οἱ τίτλοι καὶ πᾶσαι αἱ χάριτες· διὸ ἡμεῖς, σοῦ τὴν θείαν σύλληψιν εὐφημεῖν, ἐκ πόθου οὐ παυόμεθα, οἱ τρυφῶντες ταύτης σου ἐναργῶς, δι᾽ ἧς τῆς σωτηρίας, ἡμῶν ὑπῆρξε θέμα, τῶν πιστευόντων καὶ τιμώντων σε.

Καταβασία: **Ὁ ἄγγελος ἐβόα. Φωτίζου, φωτίζου.**

Ἐξαποστειλάριον. **Ἐν πνεύματι τῷ ἱερῷ.**

Τὸν ἔνδοξον Χριστοῦ ὑμνῶ, Συμεὼν ἀγχιστέα, καὶ τοὺς λοιποὺς ἐν ᾄσμασιν, ὁμωνύμους τοὺς ταύτην, κροτοῦντας θείαν σύναξιν, ἱεράρχας μάρτυρας, ὁσίους τε καὶ δικαίους, τοὺς θεράποντας Χριστοῦ, καὶ πρεσβευτὰς ὑπὲρ πάντων, τῶν εὐφημούντων ἐκ πόθου.

Ἕτερον. **Σαρκὶ ὑπνώσας ὡς θνητός.**

Τοὺς ὁμωνύμους σήμερον, καὶ Ἁγίους πατέρας, καὶ ἱεράρχας μάρτυρας, καὶ τοὺς λοιποὺς τοὺς τὴν αὐτήν, κροτοῦντας θείαν σύναξιν, ὕμνοις ἀεὶ τιμῶμεν, αὐτοὺς καὶ ἐν ᾄσμασιν.

**Καὶ νῦν τῆς ἑορτῆς.**

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος πλ. α΄. **Τῶν οὐρανίων ταγμάτων.**

Τοὺς οὐρανίους ἐν ὕμνοις, βροτοὺς αἰνέσωμεν, καὶ ἐπιγείους νόας, τοὺς ὁσίους πατέρας, τὸν θεῖον τοῦ Δεσπότου συνασπισμόν, ὃν αὐτὸς ἐθαυμάστωσε, καὶ ἠξιώσατο θείας περιωπῆς, τοῦ φρουρεῖν ἡμᾶς καὶ σκέπειν τε.

Τοὺς ἱεράρχας Κυρίου, καὶ θείους μάρτυρας, τοὺς ὁμολογητάς τε, καὶ δικαίους ὁσίους, τοὺς ταύτην συγκροτοῦντας τὴν ἱεράν, καὶ πανάγιον σύναξιν, ἀνευφημεῖν οὐ παυόμεθα ἐν ᾠδαῖς, καὶ γεραίρειν θείοις ᾄσμασιν.

Ἀγγελικῶς τὸν παρόντα, βίον ἀνύσαντες, τὸν ἄληκτον ἐν πόλῳ βίον εὕρατε ὅθεν, ἀγγέλοις συμπαρίστασθε τῷ Χρι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

στῷ, ἱεράρχαι πανόλβιοι, καὶ ἀθληταὶ σὺν ὁσίοις ὑπὲρ ἡμῶν, ἐντυγχάνοντες ὁμώνυμοι.

Ὅμιλος θεῖος τῶν ὧδε, Χριστοῦ Ἁγίων ὁμῶν, σήμερον ἐκ δικαίων, καὶ μαρτύρων κροτεῖται, ὁσίων προφητῶν τε Ἱεραρχῶν, ὁμωνύμων οἷς λέγομεν· ὑπὲρ ἡμῶν μὴ ἐλλείπητε τῷ Χριστῷ, τοῦ πρεσβεύειν θεοδόξαστος.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον συγκαλεῖται ἡμᾶς, ὁ τοῦ Χριστοῦ συγγενὴς καὶ ἱεράρχης Συμεών, εἰς ἑόρτιον πανήγυριν τῆς μνήμης αὐτοῦ· σὺν τούτῳ δὲ καὶ πάντες οἱ αὐτοῦ ὁμώνυμοι, ὅ,τε θεοδόχος καὶ προφήτης Χριστοῦ, σὺν τῷ ἐν Περσίδι ἀθλητῇ καὶ Ἱεράρχῃ. Δεῦτε οὖν φιλέορτοι, καὶ τοὺς σὺν αὐτοῖς ἐν ὕμνοις σήμερον τιμήσωμεν, τόν τε Δίκαιον καὶ Ὅσιον, σὺν τῷ Ὁμολογητῇ καὶ μάρτυρι Κυρίου, τούς τε δύο στυλίτας, σὺν τῷ νέῳ Θεολόγῳ καὶ τῷ εὐλαβεῖ· τὸν διὰ Χριστὸν σαλόν τε, καὶ Μεταφραστὴν σὺν τῷ ἀρχαίῳ, τόν τε τῆς τοῦ Φιλοθέου προεξάρχοντα Μονῆς, καὶ τὸν τῆς τῶν Σέρβων μέγιστον δομήτορα, σὺν τῷ Τραπεζουντίων Νεομάρτυρι· οὓς ἐκ πόθου τιμῶντες μεγαλύνομεν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ συνήθη τῶν ἑορτῶν τοῦ Πεντηκοσταρίου.

---

## ΛΟΓΟΣ ΣΥΝΟΠΤΙΚΟΣ

Διαλαμβάνων ἐν περιλήψει τῆς ἀπὸ τοῦ ἁγίου Συμεὼν τοῦ θεοδόχου βιογραφίας πρῶτον, ἕως τοῦ ὑστέρου Συμεὼν νεομάρτυρος τοῦ Τραπεζουντίου, ὅσοι εὑρίσκονται ἐν τῷ αὐτῷ ὀνόματι.

Βλέπομεν ὅτι κατὰ διαφόρους τρόπους ἐργάζεταί τις τὸ ἀγαθόν, καὶ εὐαρεστεῖ τὸν Θεόν, ὡς καὶ ὁ Θεὸς κατὰ διαφόρους τρόπους δοξάζει τοὺς ἁγίους αὐτοῦ, βλέπομεν τοῦτο εἰς τοὺς βίους τῶν ἁγίων, καὶ ὅτι πάντες οἱ ἅγιοι τὰς ἐντολὰς τοῦ Θεοῦ ἐφύλαξαν καὶ τὰς ἀρετὰς κατώρθωσαν. Ἐποίησαν δὲ τοῦτο, οὐχὶ πάντες κατὰ τὸν αὐτὸν τρόπον, ἀλλὰ πολυτρόπως. Καὶ πάλιν βλέπομεν ὅτι καὶ ὁ Θεὸς ἐδόξασεν αὐτοὺς καὶ ἐθαυμάστωσεν, οὐχὶ μονοτρόπως, ἀλλὰ πολυτρόπως. Ἐκ τούτου ἐξάγομεν, ὅτι πᾶς ἄνθρωπος χρέος ἔχει τοῦ ἐργάζεσθαι τὸ ἀγαθόν, καὶ ἀποφεύγειν τὸ πονηρόν. Καὶ ἡμεῖς οὖν ἀδελφοί, βουληθέντες ἵνα ἑορτάσωμεν τὴν μνήμην τοῦ ἁγίου Ἱερομάρτυρος καὶ ἰσαποστόλου Συμεών, συγγενοῦς ὄντος τοῦ Κυρίου κατὰ τὸ ἀνθρώπινον, οὐκ ἔστιν ἔξω τοῦ πρέποντος, ἐὰν παραλάβωμεν καὶ τῶν λοιπῶν ἁγίων Συμεώνων, ἀρχόμενοι ἀπὸ τοῦ πρώτου, ἕως τοῦ ὑστέρου· ἀλληλένδετοι γάρ εἰσιν οὗτοι κατὰ τὸν αὐτὸν τρόπον, διότι εἰ καὶ ἐρωτεύει ὁ Θεοδόχος, κατὰ τὴν ἀρχαιότητα καὶ ἀξίαν, ἀλλ᾽ οὐκ ὀλίγον τούτου Συμεὼν ὁ συγγενὴς τοῦ Κυρίου· τί δὲ ἐκ τούτου ἐξάγομεν; ὅτι οἱ λοιποὶ ἅγιοι, ὅσοι τοῦ αὐτοῦ ὀνόματος, βάσιν ποιούμενοι εἰς τοὺς ἀνωτέρω δύο, τὸ αὐτὸ παρέλαβον ὄνομα. Δίκαιον λοιπὸν κατὰ πάντα ἐστίν, ἵνα ἑορτάζωμεν σὺν τῷ συγγενῇ τοῦ Κυρίου, καὶ σὺν τῷ θεοδόχῳ, πάντας ὁμοῦ τοὺς ἔχοντας τὴν αὐτὴν κλῆσιν ἁγίους, ἱεράρχας, μαρτυρας καὶ ὁσίους. Καὶ ἐπειδὴ ὡς εἴρηται, ἀρχαιότερος πάντων ἐστὶν ὁ αὐτὸς θεοδόχος, ἰδοὺ ἐξ αὐτοῦ ἀρχόμεθα τῆς διηγήσεως καὶ ἀκούσατε.

1. Οὗτος οὖν ὁ ἅγιος καὶ θεοδόχος Συμεών, κατὰ τὴν γνώμην τοῦ ἁπλοῦ Δαμασκηνοῦ, εἷς τῶν 70 διδασκάλων ὑπάρχων ἑβραίων, τῶν μεταγλωττισάντων τὴν παλαιὰν Γραφὴν ἐκ τῆς ἑβραϊκῆς εἰς τὴν ἑλληνικὴν διάλεκτον, χρόνους πολλοὺς πρὸ Χριστοῦ ἐγεννήθη· εἰ καὶ πολλοὶ πολλὰ λέγουσι περὶ τούτου· ἡμεῖς ὅμως τοῦτο συμπεραίνομεν, ὅτι ἔζησε πολὺ περισσότερον, ἀφ᾽ ὅτι ἔζων οἱ τοῦ τότε καιροῦ ἄνθρωποι. Ἐκλεκτότερος δὲ ὑπῆρχεν οὗτος τῶν λοιπῶν 70 διδασκάλων, καὶ διὰ τοῦτο προωρισμένος ἦν ἐκ Θεοῦ εἰς ὑπουργείαν τοῦ μυστηρίου τῆς ἐνσάρκου τοῦ Θεοῦ οἰκονομίας, διὸ καὶ ἔζησεν ὑπὲρ ἄνθρωπον, ἕως οὗ ὀφθαλμοφανῶς εἶδε τὴν ἔκβασιν, καὶ τὸν Χριστὸν ὡς βρέφος ἐβάστασεν ἐν τῷ ἱερῷ προσφερόμενον τεσσαρακονθήμερον, καὶ τὰ μέλλοντα προεφήτευσε τῇ αὐτοῦ Μητρὶ Θεοτόκῳ Μαριάμ, καὶ ἐδοξάσθη ὡς δίκαιος καὶ ἅγιος, καὶ ἱερεὺς καὶ προφήτης, καὶ ἤδη δοξάζεται ἐν οὐρανοῖς καὶ παρρησίαν μεγίστην ἔχει πρὸς αὐτὸν Χριστὸν τὸν Θεόν. Εἰς τοῦτο ἔχομεν καὶ μαρτυρίαν τὰ λεγόμενα ὑπὸ τοῦ ἁγίου Πέτρου τοῦ Ἀθωνίτου. Οὗτος ὁ ἅγιος Συμεὼν ἑορτάζεται Φεβρουαρίου 3.

2. Δεύτερον ἐκθέτομεν ἐνταῦθα τὸν συγγενῆ τοῦ Κυρίου ἅγιον Συμεών, τὸν Ἰσαπόστολον καὶ ἱεράρχην τῶν Ἱεροσολύμων, μετὰ τὸν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀδελφόθεον Ἰάκωβον. Οὗτος ἦν υἱὸς Ἰωσὴφ τοῦ μνήστορος, τὸν ὁποῖον ᾠκειοποιήθη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅστις ἠθέλησεν ἵνα ὀνομάζηται ἀδελφὸς αὐτοῦ κατὰ σάρκα, αὐτὸς ὁ Κύριος ἔχρισεν αὐτὸν τὸν Συμεὼν Ἱεράρχην· ἵνα κηρύττῃ τὴν αὐτοῦ ἐπὶ τῆς γῆς παρουσίαν· καθότι μετὰ τὸ γενέσθαι Πατριάρχης, ἀντέστη ὁ ἀοίδιμος τοῖς ἀσεβέσιν, ἐν πόνοις καὶ κόποις ποιμάνας τὸν θρόνον τῶν Ἱεροσολύμων, ὡς γνήσιος μαθητὴς τοῦ Χριστοῦ καὶ Ἀπόστολος, καὶ ὄχι ὡς μισθωτός. Εἶτα ἀφοῦ κατεσκεύασεν ἑαυτὸν ναὸν τοῦ ἁγίου Πνεύματος, κατεκρήμνισε τοὺς ναοὺς τῶν εἰδώλων, καὶ τοὺς πεπλανημένους Ἕλληνας καὶ Ἰουδαίους, εἰς τὸ φῶς τῆς θεογνωσίας ὡδήγησε, καὶ πολλὰ καὶ διάφορα βάσανα ὑπομείνας ὑπὲρ πίστεως χριστοῦ, τελευταῖον ἐσταυρώθη, ὢν ἐτῶν 120 καὶ ἐπέκεινα, καὶ τοιουτοτρόπως ἀπὸ τοῦ σταυροῦ, ἀνέβη πρὸς τὸν ὑπ᾽ αὐτοῦ ποθούμενον Χριστόν, ἵνα λάβῃ τὸν τῆς δόξης ἀμάραντον στέφανον. Ἐτελειώθη δὲ ἐπὶ τῆς βασιλείας Τραϊανοῦ ἐν ἔτει 98 Ἀπριλίου 27.

3. Τρίτον ἀναφέρομεν τὸν στυλίτην ἅγιον Συμεών· οὗτος τὴν ἀσκητικὴν διαγωγὴν λίαν ἐπιποθήσας, ἠγωνίσατο πρότερον εἰς διάφορα ἐρημικὰ μέρη, εἰς τὰ ὁποῖα τόσην ἄσκησιν καὶ ἀγῶνας ἐτέλεσεν, ὥστε οἱ ἐκεῖ συνασκηταὶ συνεταράττοντο διὰ τὴν ὑπερβολὴν τοῦ πράγματος, μὴ δυνάμενοι δὲ τοῦ ὑπομένειν τὸν φθόνον, ἐδίωξαν αὐτὸν ἐκεῖθεν. Εἶτα μετανοήσαντες ἀνεκάλεσαν αὐτόν· εἰς 40 γὰρ ἡμέρας ἔτρωγεν ὀλίγον τι, καὶ ἐκαθέζετο ὀλίγον, καὶ τοῦτο ἐποίει πρὶν τῆς ἀναβάσεως αὐτοῦ εἰς τὸν στύλον, ἀφ᾽ οὗ δὲ ἀνέβη εἰς τὸν στύλον, τότε οὐδὲ ἐκαθέζετο, οὐδὲ ἐκοιμᾶτο, οὐδὲ ἔτρωγεν ἢ ἔπινεν, ἀλλ᾽ ἀδιακόπως τῷ Θεῷ προσευχόμενος, ἰσάγγελος ἐγένετο, καὶ τῶν ἀγγέλων αὐτῶν ὑπέρτερος. Ἐποίησε δὲ τοῦτο, ἐπειδὴ ἔτρεχον πολλοὶ εἰς αὐτὸν χάριν εὐλαβείας, καὶ ἐτάραττον τὴν ἡσυχίαν αὐτοῦ διὰ τοῦτο ἐμεθοδεύθη καὶ ἐποίησεν ἕνα στύλον ἕως 46 πήχεις, καὶ ἀνέβη ἐπάνω αὐτοῦ· ὅθεν ἐκ τῆς τοιαύτης φήμης ἔτρεχον περισσότεροι ἄνθρωποι οὐ μόνον χριστιανοί, ἀλλλὰ καὶ ἐθνικοί, οἵτινες διδασκόμενοι ὑπὸ τοῦ Ἁγίου, ἐβαπτίζοντο διὰ τῶν χειρῶν τοῦ μακαρίου Θεοδωρήτου, ὅστις ἐστόλιζε τότε τὸν θρόνον τῆς ἐν Κύρῳ ἐκκλησίας καὶ ὅτι αὐτὸς πρῶτος συνέγραψε τὰ περὶ τοῦ ὁσίου τούτου Συμεών. Ὅθεν γενόμενος περιβόητος, τόσον διὰ τὸ ὕψος τῆς πολιτείας αὐτοῦ, ὅσον καὶ διὰ τὸ πλῆθος τῶν θαυμάτων, καὶ πρόξενος σωτηρίας δειχθεὶς εἰς πολλούς, προεφήτευσεν ἀψευδῶς πολλά, τὰ ὁποῖα καὶ ἐτελειώθησαν. Μιμηθεὶς δὲ τὴν ἀγγελικὴν πολιτείαν ἐν τῷ ὑλικῷ αὐτοῦ σώματι, πολλοὶ τῶν ἀνθρώπων ἐθαύμαζον λέγοντες, μήπως ἐστὶν ὁ τοιοῦτος καμμία φύσις ἄϋλος, καὶ ἔγινε θέατρον ἀγγέλοις καὶ ἀνθρώποις ; ὅθεν ἐπιμείνας εἰς τὴν τοιαύτην ἄσκησιν χρόνους ἑξήκοντα καὶ ἕξ, ἐκοιμήθη ἐν Κυρίῳ τῇ α΄. τοῦ Σεπτεμβρίου μηνός, καὶ ἐτάφη ἐκεῖ εἰς τὴν Ἀντιόχειαν.

4. Τέταρτον. Ἐδῶ παριστάνομεν τὸν δεύτερον στυλίτην ἅγιον Συμεών, τὸν καὶ θαυμαστορίτην λεγόμενον· οὗτος ἐκ τῆς Ἀντιοχέων πόλεως τῆς Συρίας ἦν, ἐν ἔτει 594, τὰ δὲ περὶ αὐτοῦ γραφόμενα πάντα εἰσὶ θαυμαστά, ὡς ὑπεράνω πάσης ἀνθρωπίνης φύσεως ὑπάρχοντα.



Ἐγεννήθη γὰρ οὗτος ἐξ ἐπαγγελίας, καθὼς καὶ ὁ βαπτιστὴς Ἰωάννης καὶ Πρόδρομος, διὰ τοῦτο καὶ αὐτὸς ὁ θεῖος Πρόδρομος ἐμαρτύρησε τότε τὴν τοῦ παιδὸς μέλλουσαν ἀρετήν· γεννηθεὶς οὖν οὗτος, οὐκ ἔτρωγε γάλα ἐκ τοῦ ἀριστεροῦ μαστοῦ τῆς μητρὸς αὐτοῦ, δεικνύων ἐκ τούτου τὴν πρὸς τὰ κακὰ ἀποστροφὴν αὐτοῦ. Ὅθεν ἑξαετὴς γενόμενος, ἀνέβη εἰς τὸ ἐκεῖ ὄρος, καὶ ἤρξατο ἐκτελεῖν, τοὺς ὑπὲρ ἄνθρωπον ἐκείνους ἀγῶνας τῆς ἀσκήσεως. Ἐκεῖ δὲ πολλὰς θείας ὀπτασίας καὶ ἀγγελικὰς ἰδών, ἔχαιρε τῷ πνεύματι· ἐδιδάσκετο γὰρ ἄνωθεν τὰ πρέποντα, ὡς οἱ πάλαι προφῆται, καὶ δίκαιοι καὶ λοιπὸν ἐν τῷ σώματι εὑρισκόμενος ὁ ἀοίδιμος, ὑπερέβη τὰ τοῦ σώματος, οὐ γὰρ ἐτρέφετο πλέον ἐν φθαρτῇ τροφῇ, ἀλλ᾽ ἐν ἀφθάρτῳ, ἥτις ἐφέρετο πρὸς αὐτὸν οὐρανόθεν μέχρι τέλους τῆς ζωῆς αὐτοῦ. Εἶτα καταβὰς ἐκ τοῦ ὄρους, εἰσῆλθεν εἰς τὸ ἐκεῖ μοναστήριον, καὶ μετὰ ταῦτα ἐνέβη ἐπάνω εἰς τὸν στύλον, ἐπιμείνας ἐκεῖ χρόνους 18, μετέπειτα πορευθεὶς εἰς τὸ λεγόμενον θαυμαστὸν ὄρος, ἔμεινε χρόνους δέκα, ἐπάνω εἰς ἕνα τόσον ὑψηλὸν ξηρόλιθον λεγόμενον, καὶ μετ᾽ οὐ πολύ, ἀνέβη εἰς τὸν μικρὸν στύλον, καὶ ἐκεῖ διεπέρασε χρόνους 45. Πληροῦνται δὲ πάντες οἱ χρόνοι τῆς ζωῆς αὐτοῦ 85 καὶ ἐκοιμήθη ἐν Κυρίῳ τῇ κδ΄ τοῦ Μαΐου μηνός· ἡ δὲ ὑπὲρ ἄνθρωπον αὐτοῦ ἄσκησις διήρκεσε χρόνους 79.

5. Πέμπτον. Ἐδῶ παριστάνομεν τὸν ἐν Περσίδι ἐπίσκοπον ἅγιον Συμεὼν τὸν ἱερομάρτυρα. Οὗτος ἦν καὶ τὰς ἡμέρας Κωνσταντίνου τοῦ μεγάλου βασιλέως τῶν Ῥωμαίων καὶ Σαβωρίου βασιλέως Περσῶν ἐν ἔτει 330. Οὗτος οὖν ἱερατεύων εἰς τὰς πόλεις τῶν Περσῶν, ἐδίδασκε τὸν λαὸν τὰ σωτήρια· ἀλλ᾽ ἐπειδὴ Πέρσαι τινὲς ἔγραψαν πρὸς τὸν βασιλέα, ὅτι ὁ ἀρχιερεὺς τῶν χριστιανῶν Συμεὼν καὶ ἄλλοι πολλοί, οὐ καταδέχονται τοῦ εἶναι ὑποκείμενοι εἰς αὐτόν, ἀλλὰ προτιμῶσιν ἵνα ἀποθάνωσι διὰ τὸν Χριστόν· ὅθεν καὶ ἐκήρυττεν αὐτὸν διὰ Θεὸν ἀληθινόν. Ταῦτα ἀκούσας ὁ ἀσεβέστατος βασιλεύς, δεινῶς ἐθυμώθη, καὶ προσέταξεν ἵνα φέρωσι τὸν ἅγιον Συμεὼν ἔμπροσθεν αὐτοῦ δεδεμένον ἁλύσεσι δυσί, καὶ τούτου γινομένου, κατέκλεισαν αὐτὸν εἰς τὴν φυλακήν. Ἐκεῖ δὲ εὑρισκόμενος ὁ Ἅγιος, ἐπέστρεψεν εἰς τὴν πίστιν τοῦ Χριστοῦ τὸν πρώην ἀρνησίχριστον Πραιπόσιτον, τὸν ὁποῖον ἀπεκεφάλισεν ὁ βασιλεύς. Τοῦτο μαθὼν ὁ Ἅγιος οὗτος Συμεών, ἐκεῖ εἰς τὴν φυλακήν, ἐχάρη καθ᾽ ὑπερβολήν. Ὅθεν καὶ προσευχήθη σὺν τοῖς λοιποῖς ἐν τῇ φυλακῇ ἵνα λάβωσι καὶ αὐτοὶ συντομώτερον τὸν ἴδιον θάνατον, ἤτοι τοῦ τελειωθῆναι διὰ τὸν Χριστόν· ὃ καὶ ἐγένετο· διατὶ ἀφ᾽ οὗ ἐξέβαλον τοὺς φυλακωμένους ἵνα ἀποκεφαλίσωσιν αὐτούς, ὄντας τὸν ἀριθμὸν 1150 πρῶτος τῶν ἄλλων ἀπεκεφαλίσθη ὁ Ἅγιος οὗτος Συμεών, ἔπειτα καὶ οἱ λοιποὶ ἅπαντες καὶ ἐτελειώθησαν τῇ 17 τοῦ Ἀπριλίου μηνός.

6. Ἕκτον φέρομεν ὧδε τὸν διὰ Χριστὸν σαλὸν ἅγιον Συμεών. Οὗτος ἦν ἐκ τῆς πόλεως Ἐδέσσης ἐν ἔτει 518· πορευθεὶς δὲ εἰς Ἱεροσόλυμα καὶ ἀσπασάμενος τὸν τίμιον σταυρόν, ἀπῆλθεν εἰς τὸ μοναστήριον τοῦ ἁγίου Γερασίμου ἐν τῷ Ἰορδάνῃ ποταμῷ, καὶ ἐκεῖ κουρευθεὶς μοναχός, μετ᾽ ὀλίγας ἡμέρας ἐξῆλθε τῆς Μονῆς, καὶ ἐπορεύθη εἰς τὴν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἔρημον, ζήσας ἐκεῖ 40 χρόνους, ἀγωνιζόμενος ὑπὲρ ἄνθρωπον μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἰωάννου. Μετὰ δὲ ταῦτα, ἀφήσας τὸν Ἰωάννην ἐκεῖ εἰς τὴν ἔρημον, ἐπέστρεψεν αὐτὸς μόνος εἰς Ἱεροσόλυμα, καὶ προσκυνήσας τοὺς ἁγίους τόπους, ἐζήτησε παρὰ Θεοῦ διὰ προσευχῆς, ὅπως μετέλθῃ τὸ ὑπόλοιπον τῆς ζωῆς αὐτοῦ, προσποιούμενος σαλότητα. Ὅθεν πληροφορηθεὶς εἰςτοῦτο ἄνωθεν, ἐπορεύθη εἰς τὴν πόλιν Ἔμμεσαν, μετασχηματισθεὶς ὅτι ἐστὶ σαλὸς καὶ μωρός, ὁ καὶ αὐτοῖς τοῖς ἀγγέλοις αἰδέσιμος, καὶ πολλὰ θαύματα, ἐν τῇ φαινομένῃ ταύτῃ μωρίᾳ ἐποίησε, τὰ ὁποία γινόμενα, οἱ συνετώτεροι καὶ ὀξύτεροι εἰς τὸν νοῦν ἐγνώριζον τὴν ἀλήθειαν· ἀλλ᾽ ἀφ᾽ οὗ ἐκοιμήθη ἐν Κυρίῳ, τότε ἅπαντες ἐγνώριζον τὸν βίον αὐτοῦ· διότι ὁ εἷς τοῦ ἑτέρου ἐδιηγεῖτο ὅ,τι εἶδεν· ἢ ἤκουσε παρ᾽ αὐτοῦ, ὅταν λοιπὸν ἐκοιμήθη κατὰ τὴν κα´ τοῦ Ἰουλίου μηνός, ἄραντες δύο τινὲς τὸ ἱερὸν αὐτοῦ λείψανον, ὑστερημένον πάσης νεκρωσίμου τάξεως καὶ ψαλμῳδίας καὶ θυμιαμάτων, ἐπορεύοντο εἰς τὸ κοιμητήριον ὅπως ἐνταφιάσωσιν αὐτό. Διαβαῖνον δὲ κάτωθεν ἑβραϊκοῦ τινὸς οἴκου, ἐφαίνετο εἰς αὐτὸν τὸν ἑβραῖον, ὡς ὅτι δορυφορεῖται μετὰ πολλὰς δοξολογίας, καὶ πλῆθος λαοῦ, οἵτινες ἔψαλλον μελῳδικῶς. Ταῦτα ὁ ἑβραῖος ἀκούων, ἐξῆλθεν ἵνα ἴδῃ τὰ ὅσα ἤκουε· βλέπων δὲ μόνους τοὺς δύο ἐκείνους πενιχροὺς ἀνθρώπους, καὶ θαυμάσας τὸ γεγονός, ἐξεφώνησε ταῦτα λέγων : Μακάριος εἶ σαλέ, ὅτι μὴ ἔχων ἀνθρώπους συμψάλλοντάς σοι, ἔχεις τοὺς ἁγίους Ἀγγέλους : ὅθεν δρομῶν συνεπορεύετο καὶ αὐτὸς εἰς τὴν κηδείαν τοῦ ὁσίου, συνεργὸς τῆς ταφῆς τοῦ αὐτοῦ ἁγίου λειψάνου. Λέγεται δὲ ὅτι τῇ αὐτῇ ἡμέρᾳ ἐκοιμήθη ἐν Κυρίῳ εἰς τὴν ἔρημον καὶ αὐτὸς ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης· ὅθεν καὶ δοξάζονται ἀμφότεροι παρὰ Θεοῦ.

7. Ἔβδομον. Ἐνταῦθα καταθέτομεν τὸν νέον Θεολόγον, ἅγιον Συμεών. Οὗτος ἐκ τῆς γῆς τῶν Παφλαγόνων ὑπάρχων, ἀνέβη ἔτι νεάζων εἰς μεγάλα μέτρα ἀρετῆς, καθὼς μαρτυρεῖ ἡ βίβλος αὐτοῦ καὶ ἡ βιογραφία. Οὗτος λοιπόν, καὶ πρὶν ἔτι ἔλθῃ εἰς ἡλικίαν καὶ κουρευθῇ μοναχός, ἔφθασεν εἰς μέτρα ἁγιότητος, καὶ εἰς μεγάλας ὀπτασίας. Μετὰ δὲ τοῦ γενέσθαι μοναχός, τίς δύναται τὰ περὶ αὐτοῦ διηγήσασθαι ; ὑποταχθεὶς γὰρ εἰς τὸν ἅγιον Συμεών, τὸν ἐπικαλούμενον εὐλαβῆ, ποίους ἀγῶνας οὐκ ἐτέλεσε ; Ἀλλ᾽ ἐπειδὴ ὁ τοῦ ἁγίου τούτου βίος ὑπάρχει ἓν πέλαγος ὠκεάνειον, δυσκόλως ἐξάγει τις βραχεῖαν περίληψιν, διὰ τοῦτο θέλομεν εἰπεῖ σποράδην τὰ κυριότερα μόνον· ὅτι δηλαδὴ ἀσχολούμενος εἰς τὴν νηπτικὴν προσευχήν, ἀδιακόπως εἰς θείας ὀπτασίας εὑρίσκετο ἔξυπνος καὶ κοιμώμενος. Ἀφ᾽ οὗ γὰρ ὁ ἄνθρωπος φανῇ εὐάρεστος τῷ Θεῷ, καὶ ἄρξηται βλέπειν θεωρίας, τόσον εὐκόλως τρέχει εἰς τὰ ἔμπροσθεν, ὥστε οὐ δύναταί τις παραστῆσαι τὸ γενόμενον. Οὗτος προσευχόμενος κατὰ μόνας, οὐ μόνον μετέωρος ἵστατο, αλλὰ καὶ ὁλόφωτος. Πολλοὺς οὖν πειρασμοὺς ὑπομείνας, καὶ πολλὰ θαύματα ποιήσας, ἐκοιμήθη ἐν Κυρίῳ τῇ 16 τοῦ Μαρτίου μηνός.

8. Ὄγδοον φέρομεν τὸν καλούμενον εὐλαβῆ ἅγιον Συμεών. Εἰς τοῦτον ἐπειδὴ τινὲς ἀντιλέγουσι, διὰ τοῦτο φαίνεται ὅτι ὁ συγγραφεὺς



τοῦ Συναξαριστοῦ ἠδιαφόρησε τοῦ γράψαι αὐτόν· ἡμεῖς ὅμως ἀναγινώσκοντες τὸν βίον τοῦ ἄνωθεν ἁγίου Συμεὼν τοῦ νέου Θεολόγου καὶ βλέποντες τὰ ὅσα ἐκεῖ διηγεῖτο ὁ αὐτὸς περὶ τοῦ ἑαυτοῦ γέροντος, οὐκ ἀμφιβάλλομεν ὅτι καθὼς λέγει ὁ αὐτὸς οὕτως ἔχει ἡ ἀλήθεια.

9. Ἔννατον συνάπτομεν ὧδε τὸν ἐπικαλούμενον παλαιὸν ἅγιον Συμεών. Οὗτος κατοικήσας εἰς ἓν σπήλαιον, οὐδεμίαν εἶχεν ἀνθρωπίνην παραμυθίαν, ἀλλ᾽ ἔζη διὰ μόνων βοτάνων. Ἐπειδὴ λοιπὸν ἐπεθύμησε πορευθῆναι εἰς τὸ Σίναιον ὄρος, ἐπορεύθη ἐκεῖ, καὶ εἰσελθὼν ἔνδον τοῦ σπηλαίου εἰς τὸ ὁποῖον ἐκρύβη ὁ Μωϋσῆς ὡς ᾄδεται, ἔπεσε πρηνὴς προσευχόμενος ἑπτὰ ἡμέρας. Ἐπιμείνας οὖν ἐκεῖ, οὐκ ἠγέρθη, ἕως οὗ ἤκουσε φωνὴν θεϊκήν, προστάζουσαν αὐτὸν τοῦ ἐγερθῆναι, καὶ φαγεῖν τὰ τρία μῆλα τὰ εὑρισκόμενα ἔμπροσθεν αὐτοῦ. Μετὰ δὲ τοῦ ἐπιστρέψαι αὐτὸν ἀπὸ τοῦ ὄρους Σινᾶ, ἔκτισε δύο μοναστήρια· ὅθεν τοιουτοτρόπως ἀγωνιζόμενος, ἐκοιμήθη ἐν Κυρίῳ κατὰ τὴν κϛ´. τοῦ Ἰανουαρίου μηνός.

10. Δέκατον φέρομεν τὸν Μεταφραστὴν ἅγιον Συμεών. Οὗτος ὁ ὅσιος πατρίδα μὲν εἶχε τὴν Κων)πολιν· ἦν δὲ κατὰ τοὺς χρόνους τοῦ εὐσεβεστάτου βασιλέως Λέοντος τοῦ σοφοῦ· τοῦτον διὰ τὴν ἑαυτοῦ ἀρετήν, καὶ σοφίαν προεβίβασεν εἰς τὸ ἀξίωμα τοῦ Μαγίστρου καὶ λογοθέτου· ὅθεν καὶ στρατηγὸν ἐποίησε, διὰ τὴν τοῦ ἀνδρὸς ἀρετήν, καὶ εἰς τοὺς πολέμους ἀνδρείαν· ἀλλ᾽ ἐπειδὴ ἐπιμόνως ἐζήτησε παρὰ τοῦ βασιλέως ἄδειαν, ὅπως ἀφήσῃ αὐτὸν τοῦ μονάσαι καὶ ἔλαβεν αὐτήν, διὰ τοῦτο γενόμενος μοναχὸς καὶ ἀπαλλαχθεὶς τῶν ματαίων φροντίδων, συνέγραψεν ὅσους βίους ἁγίων εὗρεν, ὅθεν πλούσιος ὢν καὶ σοφός, ἀπέστειλεν ἀνθρώπους εἰς διάφορα κάστρη καὶ χώρας καὶ χωρία· καὶ ἔφερον πρὸς αὐτοὺς ὅσους βίους ἁγίων εὗρον, τοὺς ὁποίους αὐτὸς μετέφρασεν εἰς γλυκυτάτην φράσιν. Ὅθεν ἐκ τῆς αἰτίας ταύτης, ὠνομάσθη Μεταφραστής. Εἰσὶ γὰρ πάντα ὅσα ἔγραψεν ἀληθῆ καὶ ἀλάνθαστα τὰ ὁποῖα καὶ οἱ διδάσκαλοι τῶν Ἰταλῶν μετέφρασαν εἰς τὸ Ἰταλικόν, καὶ ἔχουσι τὸν ὅσιον τοῦτον Συμεὼν εἰς τὰ Συναξάρια αὐτῶν διὰ Ἅγιον, καὶ ἑορτάζουσιν αὐτόν, ἐπειδὴ ἠγωνίσθη ἀσκητικῶς διὰ τὸν Θεόν, καὶ διδασκαλικῶς διὰ τοὺς Ἁγίους, ἔχομεν δὲ καὶ ἄλλας μαρτυρίας Ἁγίων, ὅτι ὁ ὅσιος οὗτος διαβεβοημένος ὑπῆρχεν εἰς τὴν ἀρετήν.

11. Ἑνδέκατον ἐκθέτομεν τοῦ ἡγουμένου τῆς τοῦ Φιλοθέου ἱερᾶς Μονῆς ἅγιον Συμεών, τὸν μονοχίτωνα καὶ ἀνυπόδητον. Οὗτος λοιπόν, ἡγούμενος χρηματίσας πρότερον τῆς αὐτῆς Μονῆς, παρῃτήθη τῆς τε ἡγουμενίας διὰ τὴν ἀπείθειαν τῶν ἀδελφῶν, ἐξ ὧν καὶ πολλὰ δεινὰ ἔπαθεν, εἰ καὶ ἡ ἀρετὴ αὐτοῦ ἐφαίνετο ἀναφανδὸν ἔξωθεν, φυγὼν δὲ ἐκεῖθεν λυπημένος καὶ βαρυκάρδιος ἐπορεύθη εἰς τὰ μέρη τῆς Ζαγορᾶς καὶ Εὐρίππου καὶ Ἀθηνῶν, καὶ Λαρίσης, κηρύττων τὸν λόγον τοῦ Θεοῦ, καὶ πολλοὺς σεσωσμένους προσήγαγε τῷ Χριστῷ. Ἐπιμείνας δὲ τρεῖς χρόνους ἀποκάτωθεν μιᾶς μηλέας, κατὰ τὸ ὄρος τὸ λεγόμενον φλαμούριον, τὸ ἐν τῇ Ζαγορᾷ κείμενον, καὶ συνάξας ἐκεῖ πολλοὺς ἀδελφούς, ᾠκοδόμησε μοναστήριον ἐπ᾽ ὀνόματι τιμώμενον τῆς Ἁγίας

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Τριάδος· ἔπειτα ἀπελθὼν εἰς Κωνσταντινούπολιν πρὸς Κύριον ἐξεδήμησε. Μετὰ δὲ τὴν Κοίμησιν αὐτοῦ εὑρέθη τὸ ἅγιον αὐτοῦ λείψανον εὐωδίας πλῆρες, καὶ θαύματα ἐνεργοῦν. Ὅθεν ἡ ἁγία αὐτοῦ Κάρα, ἡ νῦν εὑρισκομένη εἰς τὸ ἄνωθεν μοναστήριον, βρύει διαφόρους ἰατρείας τοῖς μετὰ πίστεως αὐτῇ προστρέχουσιν.

12. Δωδέκατον γράφομεν ὧδε τὸν κτίτορα τῆς Χιλιανδαρίου ἱερᾶς Μονῆς Ἅγιον Συμεών. Οὗτος βασιλεὺς ὑπάρχων πάσης Σερβίας πρότερον, καὶ ζῶν θεοφιλῶς ἐν πάσῃ ἀρετῇ, παρῃτήθη τῆς βασιλικῆς ἀξίας ὕστερον, καὶ ἐγένετο μοναχὸς σὺν τῇ συζύγῳ αὐτοῦ καὶ τῷ υἱῷ. Φυγὼν γὰρ κρυφίως ὁ υἱὸς αὐτοῦ Σάββας, καὶ ἐλθὼν εἰς τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω, ἐγένετο μοναχός. Μετὰ δὲ ταῦτα, ἔστειλεν ἐπιστολὴν πρὸς τὸν πατέρα αὐτοῦ καὶ βασιλέα ἅγιον Στέφανον, γράφων πρὸς αὐτὸν περὶ ματαιότητος κόσμου, περὶ μελλούσης κρίσεως, καὶ περὶ τῆς αἰωνίου μακαριότητος, καὶ ἄλλα παρόμοια πολλά, τὴν ὁποίαν ἐπιστολὴν λαβὼν ὁ βασιλεύς, καὶ ἀναγνώσας, παρῃτήθη τοῦ θρόνου εὐθύς, καὶ τὴν μὲν σύζυγον αὐτοῦ, κατέταξεν εἰς γυναικεῖον Μοναστήριον ἐκεῖ· αὐτὸς δὲ ἐλθὼν εἰς τὸ Ἅγιον Ὄρος, ἀφήσας διάδοχον τῆς βασιλείας του υἱὸν αὐτοῦ Στέφανον, ἀνταμώθη μετὰ τοῦ υἱοῦ αὐτοῦ Σάββα εἰς τὴν Μονὴν τοῦ Βατοπαιδίου, καὶ εὐφρανθέντες τῷ πνεύματι ἀμφότεροι, ἔμειναν ἐκεῖ μετὰ τοῦ υἱοῦ αὐτοῦ. Ὅθεν ἀνεδέξατο ὁ υἱὸς τὸν πατέρα, διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος, καὶ ἐγένετο ὁ κατὰ σάρκα υἱὸς Σάββας, πατὴρ κατὰ πνεῦμα, τοῦ κατὰ σάρκα πατρὸς αὐτοῦ Συμεών. Ἐπιμείναντες δὲ ἐκεῖ ἀμφότεροι ἱκανὸν καιρόν, καὶ ἀγωνιζόμενοι τὸν καλὸν ἀγῶνα τῆς ἀσκήσεως, ἔφθασαν εἰς τὸ ἄκρον τῆς ἀρετῆς. Τούτων τὴν ἀρετὴν μαθόντες οἱ ἐν τῇ Σερβίᾳ Χριστιανοί, ἤρχοντο καθημερινῶς πρὸς αὐτοὺς ζητοῦντες τοῦ γενέσθαι μοναχοί, ὅθεν διὰ θείας ὀπτασίας οὗτοι οἱ δύο, ᾠκοδόμησαν ἐκ θεμελίων τὴν ἱερὰν Μονὴν ἐπ' ὀνόματι τιμωμένην τῆς ὑπεραγίας Θεοτόκου τῶν Εἰσοδίων, τὴν ἐπονομαζομένην τοῦ Χιλιανδαρίου, εἰς τὴν ὁποίαν ὁ Ἅγιος οὗτος Συμεὼν ὁσίως καὶ θεαρέστως ζήσας, ἀνεπαύθη ἐν Κυρίῳ, τῇ ιγ'. τοῦ Φεβρουαρίου μηνὸς ἔτει 1190. Μετὰ δὲ καιρὸν ἀγρυπνίαν τελοῦντες οἱ ἀδελφοὶ εἰς τὴν μνήμην αὐτοῦ, ὁπόταν ἐψάλλετο ἡ δοξολογία, τόση εὐωδία ἐξήρχετο ἐκ τοῦ τάφου αὐτοῦ τοῦ ἁγίου Συμεών, ὥστε ἐπορεύθησαν οἱ ἀδελφοὶ τῆς Μονῆς τοῦ ἰδεῖν τί ἐστι τὸ νοούμενον· πορευθέντες δέ, εἶδον ὅτι ἐξήρχετο μύρον πολὺ ἐκ τοῦ τάφου αὐτοῦ καὶ ἔδωκαν δόξαν τῷ Θεῷ.

13. Δέκατον τρίτον. Ἰδοὺ φέρομεν ὧδε τὸν τραπεζούντιον νεομάρτυρα Ἅγιον Συμεών· τοῦτον συκοφαντήσαντες οἱ ἑβραῖοι καὶ οἱ Ἀγαρηνοὶ ὅτι ἐφόνευσεν ἀδίκως ἕνα γιγαντιαῖον ἑβραῖον, κατεδίκασαν αὐτὸν εἰς τὸ ἐξομόσαι, καὶ οὕτως ἀθωωθήσεται τοῦ φόνου, εἰδὲ καὶ οὔ, θανατωθῆναι· ὁ δὲ μακάριος Συμεὼν ταῦτα ἀκούσας, λέγει αὐτοῖς· εἰ καὶ μυρίοις θανάτοις μοὶ δώσητε, οὐκ ἂν ἀρνοῦμαι τὴν πίστιν μου. Ἰδόντες οὖν αὐτοῦ τὸ ἀμετάθετον κατεδίκασεν αὐτὸν ὁ ἔπαρχος εἰς τὸν τῆς ἀγχόνης θάνατον. Οἱ δὲ φονεῖς, λαβόντες αὐτόν, καὶ φέροντες εἰς τόπον λεγόμενον μπαχτσὲ καπί, ἐκεῖ ἀπηγχόνησαν αὐτὸν εἰς τὴν πλάτανον, καὶ ἐτελειώθη ἐν Κυρίῳ τῇ ιδ'. Αὐγούστου 1653.



14. Δέκατον τέταρτον προβάλλομεν Συμεὼν τὸν δίκαιον, οὗτος ἦν ὁ υἱὸς τοῦ Ἰακώβ, ἑορτάζεται δὲ τῇ Κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως· ἀλλ' ἐπειδὴ βιογραφίαν οὐκ ἔχει μεταβαίνομεν εὐθὺς εἰς ἕτερον ἤτοι εἰς τὸν 15). ὅστις ἐστὶ Συμεὼν ὁ ὅσιος Ἀπριλίου 4, μὴ ἔχων δὲ καὶ αὐτὸς βιογραφίαν οὐδὲν περὶ τούτου λέγομεν, καὶ μεταβαίνομεν εἰς τὸν 16) ὅστις ἐστὶ Συμεὼν ὁ Μάρτυς Μαΐου 16· μὴ εὑρόντες δὲ καὶ εἰς αὐτὸν βιογραφίαν μεταβαίνομεν εἰς τὸν 17) ὅστις ἐστὶ Συμεὼν ὁ θεοφόρος καὶ ὁμολογητής· ἀλλὰ καὶ οὗτος μὴ ἔχων τι ὡς καὶ οἱ ἀνωτέρω τρεῖς, οὐδὲν λέγομεν καὶ περὶ τούτου καὶ μεταβαίνομεν εἰς τὸν 18) ὅστις ἐστὶ Συμεὼν ὁ ὑποδηματοποιός. Οὗτος ὑπῆρχεν εἰς τὰς ἡμέρας τοῦ Πατριάρχου τῆς Ἀλεξανδρείας Ἰωακεὶμ τοῦ Ἀθηναίου, τοῦ μεταποτήσαντος τὸ ὄρος, κατ' αἴτησιν τῶν ἀσεβεστάτων Ἀγαρηνῶν καὶ ἑβραίων. Οὗτος λοιπὸν ὁ ἅγιος Συμεών, εὑρισκόμενος ἀγνώριστος εἰς τὴν πόλιν τῆς Ἀλεξανδρείας, καὶ ἐργαζόμενος τὴν τέχνην αὐτοῦ, εἶχε κεκρυμμένην τὴν ἀρετήν, ἕως εἰς αὐτὰς τὰς ἡμέρας, καθ' ἃς ὁ Πατριάρχης ἐδιωρίσθη παρὰ τῶν κρατούντων ἀσεβῶν τοῦ ποιῆσαι τὸ θαῦμα, ἀλλ' ἐπειδὴ ὁ αὐτὸς Πατριάρχης καὶ ὅλος ὁ λαὸς τῶν ὀρθοδόξων ἠγωνίζοντο ἐν νηστείαις καὶ προσευχαῖς, εἶχον καὶ κάποιον δισταγμόν, τότε Ἄγγελος Κυρίου ἐφάνη πρὸς τὸν Πατριάρχην, λέγων αὐτῷ· μὴ φοβοῦ τὸ σύνολον, μηδὲ ἀμφέβαλλε, ἀλλὰ παράλαβε μετὰ σοῦ Συμεὼν τὸν τσαγγάρην καὶ ἔξελθε εἰς ἐκτέλεσιν τοῦ θαύματος. Τότε ὁ Πατριάρχης λαβὼν θάρρος ἐκ τῆς θείας ὀπτασίας, ἐγερθεὶς παρέλαβε μεθ' ἑαυτοῦ τὸν Συμεὼν τοῦτον, καὶ οὕτως ἐτέλεσαν ἀμφότεροι τὸ μέγα ἐκεῖνο θαῦμα. Μετὰ δὲ ταῦτα ἀφοῦ ἐγνώσθη εἰς πάντας ἡ ἀρετὴ τοῦ ἁγίου τούτου Συμεών, καὶ τόσον, ὥστε οὐκ ἠκούετο πλέον ἄλλο τι εἰμὴ ἡ ἀρετὴ τοῦ Πατριάρχου καὶ αὐτοῦ τοῦ Συμεών· τότε μὴ βουλόμενος δοξάζεσθαι ὑπὸ τῶν ἀνθρώπων ἔφυγε κρυφίως καὶ ἐπορεύθη εἰς τὸ ὄρος Σινᾶ ἀλλὰ καὶ ἐκεῖ ἀνάγκης τυχούσης, ἐξέβλυσεν ὕδωρ διὰ προσευχῆς· τὰ δὲ μετὰ ταῦτα οὐκ οἴδαμεν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Αὐτὴ ἐστὶν ἡ ἐπιτομὴ τῆς βιογραφίας τῶν ἀνωτέρω Ἁγίων, οὓς εὕρομεν εἰς τὸ αὐτὸ ὄνομα καὶ ἐγράψαμεν· τῶν δὲ τεσσάρων τῶν μὴ ἐχόντων βιογραφίαν, ἀναφέρομεν μόνον ἑκάστου τὸ ὄνομα μετὰ τοῦ ἐπιθέτου· λέγοντες οὕτω· Συμεὼν ὁ δίκαιος, Συμεὼν ὁ ὅσιος· Συμεὼν ὁ Μάρτυς· Συμεὼν ὁ Θεοφόρος καὶ ὁμολογητής. Τούτων τῶν 18 ἁγίων Συμεώνων, μνήμην καὶ ἑορτὴν νεοσύστατον οἱ συνώνυμοι ἄγοντες σήμερον, καὶ ἑκάστου τὴν ἀρετὴν καὶ ἁγιότητα ἐν περιλήψει ἀκούσαντες, μνήμην φέρομεν νοερῶς, καὶ τῆς κατὰ πλάτος αὐτῶν βιογραφίας ἑκάστου· τούτων λοιπὸν τὰς ἀρετὰς διηγούμενοι, καὶ τὴν μνήμην αὐτῶν ἑορτάζοντες, πρέσβεις αὐτοὺς ἔχομεν πρὸς τὸν Θεὸν καὶ προστάτας καὶ φρουροὺς ἡμῶν καὶ ὁδηγοὺς εἰς τὰ σωτήρια· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Σημ. Ἡ ἑορτὴ τοῦ ἁγίου Συμεὼν τοῦ νέου Θεολόγου ἐτελεῖτο πρότερον λαμπρῶς ἐν Κων)πόλει μετὰ ᾀσματικῆς ἀκολουθίας, καὶ λόγου ἐπιταφίου ὡς φαίνεται εἰς τὸν βίον του, ἐπειδὴ δὲ ὑπὸ τοῦ πανδαμάτορος χρόνου, ἥ,τε ἀκολουθία, καὶ τὸ ἐκείνου ἐγκώμιον ἀπώλοντο, ἐγένοντο ἄλλα διὰ συνθήκης νέας,

# ΠΟΙΗΜΑ

## Νικοδήμου μοναχοῦ Ἁγιορείτου.

### Λόγος ἐγκωμιαστικός, ἤτοι ἐγκώμιον εἰς τὸν ἐν ἁγίοις ὅσιον καὶ θεοφόρον πατέρα ἡμῶν Συμεὼν τὸν νέον Θεολόγον.

Σήμερον κοινὴ χαρὰ εἰς πάντα τὸν κόσμον ἀνέτειλε· σήμερον εὐφροσύνη μυστικὴ εἰς τὴν οἰκουμένην ἐξέλαμψε· σήμερον ἀγαλλίασις πνευματικὴ πᾶσαν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν κατέλαβε· τίνος ἕνεκεν; καὶ διατί ; διὰ τὴν φαιδρὰν ἑορτήν, καὶ διὰ τὴν λαμπρὰν τοῦ ἁγίου Συμεὼν τοῦ νέου Θεολόγου πανήγυριν. Χαίρει μὲν γὰρ οὐρανὸς ἄνωθεν, καὶ ὅλη ἡ θριαμβεύουσα Ἐκκλησία τῶν πρωτοτόκων πανηγυρίζει, μὲ ὅλα τὰ τάγματα τῶν ἀγγέλων, μὲ τὰ συστήματα τῶν Πατριαρχῶν καὶ προπατόρων· μὲ τὸν θίασον τῶν Προφητῶν, μὲ τοὺς χοροὺς τῶν Ἀποστόλων, μὲ τοὺς δήμους τῶν μαρτύρων, μὲ τὰ πλήθη τῶν ἱεραρχῶν καὶ Θεολόγων· μὲ τὰς χοροστασίας τῶν ὁσίων, καὶ μὲ τὰ στίφη ὅλων τῶν ἀπ᾽ αἰῶνος δικαίων, καὶ ἁγίων, τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων ἐπειδὴ ἐν μέσῳ αὐτῆς ἔχει καὶ ἀπολαμβάνει τὴν μακαρίαν ψυχήν, καὶ τὸ θειότατον πνεῦμα τοῦ ἱεροῦ Συμεὼν ὁλολαμπὲς καὶ ὁλόφωτον.

Χαίρει δὲ ὁμοίως καὶ ἡ γῆ κάτωθεν, καὶ πᾶσα ἡ στρατευομένη Ἐκκλησία τῶν ὀρθοδόξων πανηγυρίζει, μὲ ὅλας τὰς τάξεις τῶν Πατριαρχῶν, τῶν Ἀρχιερέων, τῶν ἱερέων, τῶν μοναζόντων, τῶν βασιλέων, τῶν συγκλητικῶν, τῶν ἀρχόντων, καὶ πάντων τῶν λαῶν· ἐπειδὴ κατέχει ἐν ἑαυτῇ ὡς θησαυροὺς πολυτίμους, ὡς κειμήλια λιθομαργαρόχρυσα, καὶ ὡς πλοῦτον πνευματικόν, καὶ ἐντρυφᾷ καὶ ἀπολαμβάνει τὰ θεόπνευστα καὶ φωτολαμπῆ καὶ μελίρρυτα τοῦ Συμεῶνος Συγγράμματα. Καὶ διὰ τῆς κοινῆς ταύτης χαρᾶς τοῦ οὐρανοῦ ὁμοῦ καὶ τῆς γῆς, δοξολογεῖται παρὰ τῶν οὐρανίων καὶ ἐπιγείων ἡ ζωαρχικὴ καὶ παναγία Τριάς, ὁ Πατήρ, ὁ Υἱός, καὶ τὸ ἅγιον Πνεῦμα, ὁ τῶν ὅλων Θεός, ὁπού ἐχαρίτωσεν, ὁπού ἐδόξασε, καὶ ὁπού ἐμεγάλυνε τὸν ἑαυτοῦ ἅγιον Συμεών· καὶ ἐπὶ γῆς ὄντα μὲ τόσα ὑπερφυσικὰ καὶ ὑπὲρ ἄνθρωπον χαρίσματα, καὶ μεταστάντα ἐν οὐρανοῖς, μὲ τόσας ἀπορρήτους δόξας τῆς μακαριότητος.

Διὰ τοῦτο ἂς χαρῶμεν καὶ ἡμεῖς σήμερον πνευματικῶς ἀδελφοί, ἂς κροτήσωμεν μὲ ὕμνους, καὶ μὲ ᾄσματα πνευματικά, καὶ ἂς ἐπαινέσωμεν τὴν πάνσεπτον ἑορτήν, καὶ χαρμόσυνον μνήμην τοῦ Θεοφόρου πατρὸς ἡμῶν Συμεών, διατὶ αὐτός, ὄχι μόνον εἶναι δίκαιος, ἡ δὲ τῶν δικαίων μνήμη πρέπει νὰ γίνηται μὲ ἐγκώμια, ὡς εἶπεν ὁ Σολομῶν : μνήμη δικαίου μετ᾽ ἐγκωμίων : (Παροιμ. 1: 8:) ἀλλὰ εἶνε ἀκόμη καὶ σοφὸς καὶ θεολόγος μεγάλος. Οἱ δὲ σοφοὶ καὶ θεολόγοι πρέπει παρομοίως καὶ αὐτοὶ νὰ ἐγκωμιάζωνται κατὰ τὸν αὐτὸν Σολομῶν λέγοντα «στόμα συνετοῦ ἐγκωμιάζεται ὑπὸ ἀνδρὸς (Παρ. β΄. 8). Ἂς συνευφρανθῶμεν καὶ ἡμεῖς μὲ τὴν ἄνω καὶ θριαμβεύουσαν ἐν οὐρανοῖς Ἐκκλησίαν τῶν πρωτοτόκων, συγχαίροντες διὰ τὴν ἀνεκλάλητον δόξαν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ διὰ τὰ ἀνεννόητα καὶ ἀπόρρητα ἀγαθὰ τῆς μακαριότητος, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, κατὰ τὸν Παῦλον· τὰ ὁποῖα ἀπήλαυσε σήμερον ἡ θεοειδεστάτη καὶ φωτόμορφος τοῦ ἱεροῦ Συμεῶνος ψυχή, καὶ χαίρει καὶ εὐφραίνεται μὲ ὅλα τὰ ἄϋλα πνεύματα τῶν μακαρίων, περὶ τὸν θρόνον τῆς τρισηλίου θεότητος.

Ἄς συνευφρανθῶμεν καὶ μὲ τὴν κάτω στρατευομένην ἐπὶ γῆς ἐκκλησίαν τῶν ὀρθοδόξων, συγχαίροντες μὲ αὐτὴν διὰ τοὺς πνευματικοὺς θησαυροὺς τῶν συγγραμμάτων τοῦ ἁγίου ὁποῦ ἀπήλαυσε, μᾶλλον δέ, ἂς ἐντρυφήσωμεν καὶ ἡμεῖς ἀδελφοί, καὶ ἂς ἀπολαύσωμεν τοὺς τοιούτους πνευματικοὺς θησαυροὺς μελετῶντες τοὺς λόγους τοῦ θείου Συμεῶνος ἡμέρας καὶ νυκτὸς ἵνα καὶ ὁμοιωθῶμεν μὲ τὸν γραμματέα ἐκείνου ὁποῦ ἀναφέρει, ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ λέγων: Διὰ τοῦτο πᾶς Γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά: (Ματθ. ιγ΄. 52) Καινὰ μὲν ὀνομάζων τὰ τῆς Καινῆς Διαθήκης νοήματα· παλαιὰ δέ, τὰ τῆς Παλαιᾶς Διαθήκης, τὰ ὁποῖα πλουσίως εὑρίσκονται μέσα εἰς τὰ τοῦ ἁγίου συγγράμματα, καὶ πλουσίους ποιοῦσι τοὺς ταῦτα ἀναγινώσκοντας. Καὶ ἐπάνω εἰς ὅλα, ἂς συλλέξωμεν ἀπὸ τοὺς λειμῶνας τῶν θείων γραφῶν καὶ τῶν συγγραμμάτων τῶν ἱερῶν Πατέρων ἄνθη ὡραῖα, καὶ ῥόδα πανεύοσμα, νοήματα δηλαδὴ θεολογικὰ καὶ λόγια πνευματικά, καὶ ἐκ τούτων στέφανον μικρότατον πλέξαντες, ἂς στεφανώσωμεν μὲ αὐτὸν τοῦ ἱεροῦ πατρὸς ἡμῶν Συμεὼν τὴν θεολογικὴν κορυφήν, καὶ τὴν τούτου ὁσιακὴν μεγαλειότητα χρεωστικῶς ἐπαινέσωμεν ἀποδεικνύοντες ὅτι αὐτὸς διεπέρασεν ὅλους τοὺς βαθμοὺς καὶ τὰς τάξεις τῶν σωζομένων, καὶ ἔφθασεν εἰς τὴν τοῖς ἀνθρώποις δυνατὴν τελειότητα.

Εἰς ἓξ βαθμοὺς καὶ τάξεις ἠμποροῦν νὰ μοιρασθοῦν ὅλοι οἱ σωζόμενοι. Καὶ α΄.) μὲν βαθμὸς εἶνε ὅταν διὰ τὸν φόβον τοῦ Θεοῦ καὶ τῆς κολάσεως φυλλάττῃ τινὰς τὰς θείας ἐντολὰς ὡσὰν δοῦλος. β΄.) δὲ ὅταν τις φυλάττῃ τὰς δεσποτικὰς ἐντολὰς διὰ τὸν μισθὸν τῆς βασιλείας τῶν οὐρανῶν, ὡσὰν μισθωτός. γ΄.) ὅταν τινὰς φυλάττῃ τὰς ἐντολὰς τοῦ Κυρίου διὰ μόνην τὴν τοῦ Θεοῦ ἀγάπην ὡσὰν φίλος. δ΄.) βαθμὸς ἀνώτερος εἶνε ὅταν φθάσῃ τινὰς νὰ γίνῃ υἱὸς Θεοῦ κατὰ χάριν, εἰς τὸν ὁποῖον δίδεται ὡς κληρονομία ἡ βασιλεία τοῦ Θεοῦ κατὰ τὸ ἀποστολικὸν ἐκεῖνο «εἰ δὲ υἱὸς καὶ κληρονόμος Θεοῦ» (Γαλ. δ΄. 7) ε΄.) βαθμὸς ὑψηλότερος εἶνε ὅταν τινὰς ἀξιωθῇ νὰ γίνῃ ἀδελφὸς τοῦ Χριστοῦ, καὶ διὰ τὴν ἀδελφότητα αὐτὴν γίνεται καὶ συγκληρονόμος μὲ τὸν χριστὸν τῆς τοῦ Θεοῦ βασιλείας, κατ᾽ ἐκεῖνο τὸ τοῦ Ἀποστόλου «κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ» (Ρωμ. η΄. ιγ) ϛ.) βαθμὸς ὑψηλότατος πάντων εἶνε, ὅταν ἀξιωθῇ τινας νὰ γίνῃ Μήτηρ Χριστοῦ, κατὰ τὸν λόγον αὐτοῦ τοῦ ἰδίου Χριστοῦ ὅπου εἶπεν «Ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου, ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, οὗτός μου ἀδελφός, καὶ ἀδελ-



φή, καὶ μήτηρ ἐστί» (Ματθ. ιβ. 43). Τώρα ἂν ἡμεῖς δώσωμεν μίαν ὀμματίαν εἰς τὴν ζωήν, καὶ εἰς τὰ συγγράμματα τοῦ σήμερον ἑορταζομένου παρ᾽ ἡμῶν ἁγίου Συμεών, βλέπομεν ὅτι αὐτὸς ἐπέρασεν ὅλους αὐτοὺς τοὺς ἓξ βαθμοὺς τῶν σωζομένων, καὶ ἔφθασεν εἰς τὴν τελειότητα· καὶ πρῶτον μὲν βλέπομεν ὅτι ὁ θεῖος οὗτος πατὴρ ἔφθασεν εἰς τὸν βαθμὸν καὶ εἰς τὴν τάξιν τῶν δούλων, καὶ ὅτι διὰ τὸν φόβον τοῦ Κυρίου ἐφύλαξεν ὅλας τὰς ἐντολάς· ἔφθασεν εἰς τὴν τάξιν τῶν δούλων α΄.) διατὶ ἴδιον τοῦ δούλου τοῦ Κυρίου εἶναι νὰ μὴν ὀργίζηται καὶ νὰ μὴ μάχηται μὲ τοὺς ἄλλους, ὡς λέγει ὁ Παῦλος «δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι (Β΄. τιμόθ. β΄. 24) τοῦτο δὲ ἐφύλαξεν ὁ ἅγιος Συμεών. Ἀναγινώσκομεν γὰρ εἰς τὸν βίον του, ὅτι ὅταν οἱ τριάκοντα ἐκεῖνοι ἄτακτοι μοναχοί, σχίσαντες τὰ ῥάσα των, ὡς ὁ Ἄννας καὶ ὁ Καϊάφας, ὥρμησαν κατ᾽ αὐτοῦ μὲ ἀγρίας φωνάς, αὐτὸς ὁ ἀληθὴς δοῦλος τοῦ Χριστοῦ δὲν ὠργίσθη κατ᾽ αὐτῶν· οὐδὲ ἔκαμε μάχην· ἀλλ᾽ ἔδειξε τόσην μεγάλην πραότητα, ὥστε ὁποῦ χαμογελῶντας ἔβλεπε τοὺς ἀπανθρώπους ἐκείνους καὶ θηριώδεις μὲ ἱλαρὸν καὶ χαριέστατον πρόσωπον· καὶ τὸ θαυμαστότερον εἶνε, ὅτι καὶ μ᾽ ὅλον ὁποῦ ἐκεῖνοι οἱ σκληροκάρδιοι καὶ πατραλοῖαι, συντρίψαντες τὰς κλῃδονίας, ἔφυγον ἔξω τοῦ μοναστηρίου καὶ διεσκορπίσθησαν εἰς ἕνα καὶ ἄλλο μέρος, ὅμως ὁ ἅγιος ὡς δοῦλος πραῢς καὶ μιμητὴς τοῦ Ἰησοῦ δὲν ἡσύχασεν ἕως ὁποῦ μὲ λόγια καὶ μὲ ἔργα ἐμαλάκωσεν αὐτῶν τὴν σκληροκαρδίαν, καὶ ὡς ποιμὴν ἀληθινὸς τὰ πεπλανημένα πρόβατα εἰς τὴν πνευματικὴν αὐτῶν μάνδραν ἐπέστρεψεν. Καὶ β΄.) διατὶ ὅποιος εἶνε ἀληθινὸς δοῦλος Χριστοῦ, αὐτὸς δὲν ἀποβλέπει εἰς πρόσωπα καὶ εἰς τὴν ἀρέσκειαν τῶν ἀνθρώπων, ἀλλὰ ἀφιλοπροσώπως λαλεῖ τὴν ἀλήθειαν ἀποβλέπωντας εἰς μόνην καὶ μόνην τὴν τοῦ Δεσπότου Θεοῦ εὐαρέστησιν· τοῦτο γὰρ εἶναι ἴδιον τῶν τοῦ Θεοῦ δούλων, καθὼς ὁ Παῦλος βεβαιοῖ λέγων, «εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην» (Γαλ. α΄. 10΄)· τοιοῦτον δὲ ἀφιλοπρόσωπον μᾶς ἀποδεικνύει τὸν ἅγιον Συμεὼν ὁ ἱερὸς βίος του· διατὶ καὶ μ᾽ ὅλον ὁποῦ ἀντεστέκοντο εἰς αὐτὸν ὅ,τε Νικομηδείας φθονερὸς ἐκεῖνος Στέφανος, καὶ μία ὁλόκληρος σύνοδος ἀρχιερέων, ἐμποδίζοντες αὐτὸν ἀπὸ τὸ νὰ ἑορτάζῃ ὡς ἅγιον, τὸν Θεοφόρον πατέρα αὐτοῦ Συμεὼν τὸν εὐλαβῆ, ὁ ἅγιος ὅμως δὲν ἀπέβλεψεν εἰς πρόσωπα ἀνθρώπων, οὐδὲ κατὰ τὴν ἀρέσκειαν ἐκείνων ἐλάλησεν· ἄπαγε! ἀλλὰ ἀφιλοπροσώπως καὶ ὡς ἐνώπιον Θεοῦ ὑπεραπολογήθη· καὶ ὄχι μόνον διὰ λόγων ἀπέδειξεν ὅτι εἶνε πρέπον καὶ δίκαιον νὰ τιμᾷ καὶ νὰ ἑορτάζῃ τὸν Θεοφόρον ἐκεῖνον καὶ πνευματοφόρον γέροντά του, ἀλλὰ καὶ δι᾽ ἔργων τοῦτο ἐπληροφόρησε, πανηγυρίζων μὲν τὴν αὐτοῦ ἑορτήν, προσκυνῶν δὲ τὴν ἁγίαν εἰκόνα ου, καὶ τιμῶν αὐτὸν ὡς ἅγιον τῇ ἀληθείᾳ, μὲ ὕμνους καὶ ᾀσματικὰ ἐγκώμια, ὅτι δὲ ὁ ἅγιος Συμεὼν διὰ τὸν φόβον τοῦ Κυρίου ἐφύλαξε τὰς θείας ἐντολὰς καὶ ἐσοφίσθη, καὶ τοῦτο εἶνε φανερὸν διατὶ ὁ φόβος τοῦ Κυρίου ἔχει φυσικὸν ἰδίωμα νὰ μισῇ καὶ νὰ ἀποστρέφηται τὴν ἀδικίαν, τὴν ὑπερηφάνειαν, τὰς ὕβρεις, καὶ κάθε ἄλλην κακίαν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ παράβασιν τῶν θείων ἐντολῶν, καθὼς τὸ βεβαιώνει ὁ Σολομὼν
«φόβος Κυρίου μισεῖ ἀδικίαν, ὕβριν τε καὶ ὑπερηφανείαν, καὶ ὁδοὺς
πονηρῶν (Παρ. η΄. 13). Ποῖος δὲ δύναται νὰ ἀρνηθῇ ὅτι καὶ ὁ ἱερὸς
Συμεών, εἶχεν ἐρριζωμένον τὸν φόβον τοῦ Θεοῦ εἰς τὴν καρδίαν του
και διὰ τοῦτο ἐμίσησε κάθε πάθος καὶ ἁμαρτίαν, καὶ κάθε παράβα-
σιν τῶν θείων ἐντολῶν ; αὐτὸς ὁ φόβος τὸν ἐκατάπεισε νὰ ἀποστρα-
φῇ φιληδονίας, φιλοδοξίας, καὶ φιλοπλουτίας· αὐτὸς ὁ φόβος τὸν ἔ-
καμε νὰ συγχαθῇ σάρκα, κόσμον, καὶ κοσμοκράτορα· αὐτὸς ὁ φόβος
ἐδίωξεν ἀπὸ τὴν ψυχήν του κάθε ἐμπαθῆ δειλίαν καὶ φόβον καὶ τὸν
ἐθέρμαινε νὰ πηγαίνῃ μόνος νὰ κάθηται καὶ νὰ ἀγρυπνῇ ὅλην τὴν
νύκτα ἐπάνω εἰς τὰ μνήματα τῶν νεκρῶν, καὶ νὰ πασχίζῃ νὰ τυπώνῃ
βαθέως εἰς τὴν φαντασίαν του τὴν μνήμην τοῦ θανάτου, τὴν μνήμην
τῆς κρίσεως, τὴν μνήμην τῆς κολάσεως, καὶ νὰ βλέπῃ ὡς νεκρὸν καὶ
ἄσχημον, κάθε ὡραῖον καὶ εὔμορφον πρόσωπον.

Αὐτὸς ὁ φόβος ἐκατάπεισε τὸν θεῖον Συμεὼν νὰ πηγαίνῃ νὰ
κλείεται μέσα εἰς τὸ ταφοειδὲς ἐκεῖνο μικρὸν κελλάκι ὁποῦ ἀναφέρει
ὁ βίος του, καὶ ἐκεῖ νὰ ἡσυχάζῃ χωρίζωντας τὴν διάνοιάν του ἀπὸ
τὸν περισπασμὸν τοῦ κόσμου καὶ μετεωρισμὸν καὶ μελετῶντας τὴν
μέλλουσαν ἀποκατάστασιν τοῦ παντός· ἤκουσε γὰρ τοῦ ἁγίου Ἰσαὰκ
ὁποῦ λέγει : ὁ φόβος τοῦ Θεοῦ ἀρχὴ ἐστὶ τῆς ἀρετῆς· λέγεται δὲ ὅτι εἶνε
γέννημα τῆς πίστεως, καὶ σπείρεται ἐν τῇ καρδίᾳ ὅταν ἀποχωρισθῇ
ἡ διάνοια ἀπὸ τοῦ περισπασμοῦ τοῦ κόσμου τοῦ συνάξαι τὰς νοή
σεις αὐτῆς τὰς ῥεμβομένας ἐκ τοῦ μετεωρισμοῦ ἐν τῇ ἀδολεσχίᾳ τῆς
μελλούσης ἀποκαταστάσεως (λόγος α΄. σελ. 1). Αὐτὸς ὁ φόβος τὸν ἐ
παρακίνει νὰ φυλάττῃ ὅλας τὰς ἐντολὰς τοῦ Κυρίου, καὶ δια μέσου
τῆς τηρήσεως τῶν ἐντολῶν νὰ καθαρίζῃ τὴν σάρκα του ἀπὸ τὰ πάθη,
ἤκουσε γὰρ τοῦ Θεολόγου Γρηγορίου λέγοντος «οὐ γὰρ φόβος, ἐντο-
λῶν τήρησις, οὗ δὲ ἐντολῶν τήρησις, σαρκὸς κάθαρσις, τοῦ ἐπιπρο-
σθοῦντος τῇ ψυχῇ νέφους, καὶ οὐκ ἐῶντος καθαρῶς ἰδεῖν τὴν θείαν
ἀκτῖνα» (λόγ. εἰς τὰ φῶτα). Καὶ διὰ νὰ εἰπῶ μὲ συντομίαν, αὐτὸς ὁ
φόβος τὸν ἐστερέωσε νὰ ὑποφέρῃ κάθε θλῖψιν, νὰ σηκώσῃ ἀπὸ τὴν
ψυχήν του τὸ πάθος τῆς ἀναισθησίας, καὶ νὰ αἰσθανθῇ εἰς τὴν καρ-
δίαν του τὴν ἀληθινὴν ζωήν. Ταῦτα γὰρ πάντα εἶνε ἀποτέλεσμα
τοῦ θείου φόβου κατὰ τὸν ἅγιον Ἰσαὰκ λέγοντα «δεῖ ὑπὲρ τοῦ φόβου
τοῦ Θεοῦ ὑποφέρειν τὴν θλίψιν» καὶ «ἀρχὴ τῆς ἀληθινῆς ζωῆς τοῦ
ἀνθρώπου ὁ φόβος τοῦ Θεοῦ» (λόγος α΄). καὶ διὰ τούτων πάντων
ἔκαμε τὸν ἀοίδιμον ταῦτον ὁ φόβος τοῦ Θεοῦ νὰ ἐπιτύχῃ τοῦ μακα-
ρισμοῦ ἐκείνου τοῦ φοβουμένου τὸν Κύριον ὡς εἶπεν ὁ Δαβίδ : Μα-
κάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει
σφόδρα (ψαλμ. ρια΄. : 1.)—Ἐπειδὴ δὲ ὁ φόβος τοῦ Θεοῦ ἔχει ἀκόμη
φυσικὸν ἰδίωμα νὰ γίνεται ἀρχὴ τῆς θείας σοφίας, καὶ νὰ προξενῇ
παιδείαν καὶ σοφίαν εἰς τὸν θεοφοβούμενον ἄνθρωπον, καθὼς τὸ ἓν
μὲν βεβαιοῖ ὁ Δαβὶδ λέγων : ἀρχὴ σοφίας φόβος Κυρίου (ψαλμ. ρι΄
3) τὸ δὲ ἄλλο ὁ υἱὸς τοῦ Δαβὶδ Σολομών : «φόβος Κυρίου, παιδεία



καὶ σοφία». (Παρ. ις΄. 4) ποῖος ἀμφιβάλλει ὅτι καὶ εἰς τὸν ὅσιον πα-
τέρα ἡμῶν Συμεὼν ὁ φόβος τοῦ Θεοῦ ἐπροξένησε τὰ καλὰ ταῦτα ;
Ὅθεν ἐὰν ἐσὺ ἀναγινώσκῃς εἰς τὸν βίον τοῦ Συμεὼν πῶς ἦτον παι-
διόθεν φρόνιμος καὶ γνωστικός, καὶ ἐμίσει κάθε ἀταξίαν, ἐὰν ἐκεῖ βλέ-
πῃς ἐπρόκοπτεν εἰς τὰ μαθήματα, καὶ πῶς χωρὶς νὰ μάθῃ φιλοσοφι-
κά, θεολογικὰ ἐφιλοσόφει καὶ ἐθεολόγει, ἤξευρε ὅτι, ὅλης ταύτης τῆς
θεοσυφίας τοῦ μεγάλου τούτου πατρὸς ἐστάθη ἀρχὴ καὶ κρηπὶς καὶ θε-
μέλιον ὁ φόβος τοῦ Θεοῦ. Δεύτερον εὑρίσκομεν τὸν θεῖον Συμεὼν πῶς
ἔφθασεν εἰς τὴν τάξιν τῶν μισθωτῶν, διατὶ καθὼς ἐκεῖνοι οἱ ἐργάται
ὁποῦ ἐμισθώθησαν παρὰ τοῦ Κυρίου εἰς τὸ νὰ ἐργάζωνται τὸν ἀμπε-
λῶνα τῶν ἐντολῶν του, ἐβάστασαν ἀγογγύστως τὸ βάρος τῆς ἡμέρας
καὶ τὸν καύσωνα, μὲ τὴν ἐλπίδα ὅτι ἔχουν νὰ ἀπολαύσουν τὸν
μισθὸν κατὰ ἑσπέρας, ὡς δηλοῖ, ἡ ἐν τῷ κατὰ Ματθαῖον Εὐαγ-
γελίῳ παραβολὴ (κεφ. κ). Τοιουτοτρόπως καὶ ὁ ἱερὸς Συμεὼν ὑπέφε-
ρε μετὰ εὐχαριστίας μεγάλης ὅλους τοὺς πειρασμοὺς καὶ θλίψεις ὁποῦ
τοῦ ἠκολούθησαν, εἴτε ἐκ δαιμόνων, εἴτε ἐξ ἀνθρώπων, εἴτε καὶ ἐκ
τῆς διεφθαρμένης φύσεως· διατὶ ἤλπιζεν ὅτι ὅταν ἔλθῃ ἡ ἑσπέρα, ἤτοι
τὸ τέλος τῆς ζωῆς του, ἔχει νὰ λάβῃ παρὰ τοῦ μισθωσαμέ-
νου Κυρίου τὸν μισθὸν τῆς ἐργασίας καὶ τῶν κόπων του πολλαπλά-
σιον καὶ μυριοπλάσιον ἐν τοῖς οὐρανοῖς. Ὀψίας γὰρ φησὶ γενομένης,
λέγει ὁ Κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ, κάλεσον τοὺς ἐρ-
γάτας καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν (Ματθ. κ. 8) Καὶ ἂν ὁ Μωϋσῆς
διὰ τὴν μέλλουσαν μισθαποδοσίαν ἐπροτίμησε καλλύτερα τὸν ὀνειδι-
σμὸν τοῦ Χριστοῦ, ἀπὸ τοὺς ἐν τῇ Αἰγύπτῳ βασιλικοὺς θησαυρούς,
ὡς λέγει ὁ Παῦλος, «μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θη-
σαυρῶν, τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαπο-
δοσίαν (ἑβρ. ια΄. 26΄) Παρομοίως καὶ ὁ θεῖος Συμεὼν διὰ τὴν μισθα-
ποδοσίαν τῶν μελλόντων ἀγαθῶν ἐπροτίμησε καλύτερα τὴν πτωχείαν,
ἀπὸ τὸν πλοῦτον, τὸ εὐτελὲς σχῆμα τῶν μοναχῶν ἀπὸ τὸ τοῦ σπαθα-
ροκουβικουλαρίου ἀξίωμα, τὴν συναναστροφὴν καὶ συνομιλίαν τοῦ
ῥακενδύτου γέροντός του ἀπὸ τὴν συνομιλίαν τῶν λαμπροφορεμένων
βασιλέων, τὰς πενιχρὰς καλύβας, ἀπὸ τὰ βασιλικὰ παλάτια καὶ τὰ εὐ-
τελῆ ὄσπρια ἀπὸ τὰ τρυφηλὰ φαγητὰ τῶν Συγκλητικῶν. Τρίτον ὁ
θεῖος Συμεὼν ἔφθασεν εἰς τὴν τάξιν τῶν τοῦ Θεοῦ φίλων διὰ πέντε αἴ-
τια. α) διότι ἐφύλαττε τὰς θείας ἐντολάς, ὄχι διὰ κανένα φόβον ὡς
δοῦλος, ὄχι διὰ κανένα μισθόν, ὡσὰν μισθωτός, ἀλλὰ διὰ μόνην τὴν
τοῦ Θεοῦ φιλίαν καὶ ἀγάπην. Ἴδιον γὰρ εἶναι τῶν ἀληθινῶν φίλων
τὸ νὰ τηροῦν ἀπαρασαλεύτους τὰς ἐντολὰς τοῦ φιλουμένου· διατὶ ἂν
παραβαίνουν τὰς ἐντολάς του, παραβαίνουν ἐν ταὐτῷ καὶ τὴν φιλίαν
του, καὶ δὲν εἶνε πλέον φίλοι ἀλλὰ ἐχθροί του, ὅθεν εἶπεν ὁ Κύριος
«ὑμεῖς φίλοι μου ἐστέ, ἐὰν ποιῆτε ὅσα ἐντέλλομαι ὑμῖν» (Ἰωαν. ΙΕ. 14΄)

Β΄.) διατὶ ὁ θεῖος Συμεὼν ἀπεκαλύφθη τόσα ὑπερφυσικὰ μυστή-
ρια τοῦ Θεοῦ, τόσα ὑψηλὰ δόγματα τῆς Θεολογίας, καὶ θείας Γρα-
φῆς, καὶ τόσα ἀπόκρυφα νοήματα τῆς ἐνσάρκου οἰκονομίας, καὶ ὅλης



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς δημιουργίας. Ἐπειδὴ δὲ μόνοι οἱ φίλοι τοῦ Θεοῦ ἀξιώνονται νὰ ἀποκαλύπτωνται τοιαῦτα οὐράνια καὶ μυστικὰ πράγματα, καὶ ὄχι κάνενας δοῦλος, ἄρα ἐκ τούτου συμπεραίνεται ὅτι ὁ Συμεὼν ἐπέρασε τὴν τάξιν τῶν δούλων καὶ ἀνέβη εἰς τὴν τάξιν τῶν φίλων τοῦ Θεοῦ. Ἄθεν ἥρμοζε καὶ εἰς αὐτὸν νὰ ἀκούσῃ ἐκεῖνο ὅπου ἤκουσαν οἱ θεῖοι Ὀπόστολοι ἀπὸ τὸ στόμα τοῦ Κυρίου «Οὐκέτι ὑμᾶς λέγω δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τὶ ποιεῖ αὐτοῦ ὁ Κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου ἐγνώρισα ὑμῖν» (Ἰωάν. ιε΄.35) Γ΄) Ἴδιον εἶνε τῆς κατὰ Χριστὸν ἀγάπης καὶ τοῦ θείου ἔρωτος, νὰ κάμνῃ ἔξω τοῦ ἑαυτοῦ των τοὺς ἐραστάς, καθὼς λέγει ὁ Ἀρεοπαγίτης Διονύσιος ἀπὸ τὸ ἕνα μέρος, «ἔστι δὲ καὶ ἐκστατικὸς ὁ θεῖος ἔρως, οὐκ ἐῶν ἑαυτῶν εἶναι τοὺς ἐραστὰς ἀλλὰ τῶν ἐρωμένων» (κεφ. δ.΄ περὶ θείων ὀνομ.) Καὶ ὁ ἅγιος Ἰσαὰκ ἀπὸ τὸ ἄλλο εἰπών· ἡ ἀγάπη τοῦ Θεοῦ θερμὴ ἐστι τῇ φύσει, καὶ ὅταν ἀμέτρως ἐπιπέσῃ τινί, ποιεῖ ἐκείνην τὴν ψυχὴν ἐκστατικὴν» (λόγ. κδ΄ σελ. 152). Ποῖος δὲ ἠμπορεῖ νὰ ἀμφιβάλῃ, ὅτι τὸ ἰδίωμα αὐτὸ τῆς θείας ἀγάπης εἶχε καὶ ὁ θεῖος Συμεὼν εἰς τὸν ἑαυτόν του; διατὶ αὐτὸς ἀφ᾽ οὗ μίαν φορὰν ἐτρώθη εἰς τὴν καρδίαν ἀπὸ τὰ γλυκύτερα βέλη καὶ κέντρα τῆς ἀγάπης τοῦ Ἰησοῦ, καὶ ἀφ᾽ οὗ ἄναψεν ἡ ψυχή του, καὶ ὅλα του τὰ ἐντόσθια ἀπὸ τὸ πῦρ τοῦ θεϊκοῦ ἔρωτος, δὲν ἦτο πλέον εἰς τὸν ἑαυτόν του, ὄχι· ἀλλ᾽ ἔγινεν ὅλως ἔξω ἑαυτοῦ, ὅθεν μόνον τὸν Ἰησοῦν ἐνόει, μόνον τὸν Ἰησοῦν ἐπόθει, εἰς μόνον τὸν Ἰησοῦν ἦτο ἡ μελέτη του, ὁ Ἰησοῦς ἦτο τὸ ἄκρον ἀντικείμενον τοῦ νοός του, ὁ Ἰησοῦς ἦτο τὸ ἐντρύφημα τῆς γλώσσης του, ὁ Ἰησοῦς ἦτο τὸ γλυκὺ μελέτημα καὶ ἀδολέσχημα τῆς καρδίας του, ὁ Ἰησοῦς ἦτον ἡ ἀναπνοή του· καὶ ποτὲ μὲν ἐφώναζεν ἐκεῖνα τὰ τοῦ Ἀποστόλου Παύλου ἐνθουσιαστικὰ καὶ ἐρωτικὰ λόγια «τὶς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα;» (Ρωμ. η΄ 35΄) ποτὲ δὲ ἐκεῖνα τὰ τῆς ᾀσματιζούσης νύμφης· «ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου τὶ ἀπαγγείλητε αὐτῷ; ὅτι τετρωμένη ἀγάπης ἐγὼ εἰμι. (Ἆσμα ε΄ 8΄) Μᾶλλον δὲ διὰ νὰ μεταχειρισθῶ τὰ ἴδια λόγια τοῦ ἁγίου, αὐτὸς ἀπὸ τὴν ἄσβεστον φλόγα τῆς θείας ἀγάπης καταφλεγόμενος, ἔλεγε ταῦτα τὰ διὰ στίχων ἐρωτικὰ καὶ ἐνθουσιαστικὰ λόγια πρὸς τὸν Ἰησοῦν Χριστόν· τὰ ἀποδεικτικὰ τοῦ πρὸς αὐτὸν θείου αὐτοῦ ἔρωτος. Πῶς καὶ πῦρ ὑπάρχεις βλύζον; πῶς καὶ ὕδωρ ἢ δροσίζον; πῶς καὶ καίεις καὶ γλυκαίνεις; πῶς φθορὰν ἐξαφανίζεις; πῶς θεοὺς ποιεῖς ἀνθρώπους; πῶς τὸ σκότος φῶς ἐργάζῃ; πῶς ἀνάγεις ἐκ τοῦ ᾅδου; πῶς θνητοὺς ἐξαφθαρτίζεις; πῶς καρδίαν περιλάμπεις; πῶς μὲ ὅλον μεταβάλλεις; πῶς ἑνοῦσαι τοῖς ἀνθρώποις; πῶς υἱοὺς θεοῦ ἐργάζῃ; πῶς ἐκκαίεις σου τῷ πόθῳ; πῶς τιτρώσκεις ἄνευ ξίφους; (λογ. ε΄) Ἴδετε ἀδελφοὶ κάμμίαν φορὰν τὸν μαγνίτην πῶς τραβίζει εἰς τὸν ἑαυτόν του τὸν ἠγαπημένον του σίδηρον; καὶ πῶς ἀπὸ αὐτὸν δὲν θέλει νὰ χωρισθῇ; τοιουτοτρόπως καὶ ὁ θεῖος Συμεών, τόσον πολὺν



πόθον εἶχε πρὸς Θεὸν καὶ τὸν Ἰησοῦν Χριστόν, ὥστε ὁποῦ μὲ τὴν δύναμιν μιᾶς δραστικωτάτης ὁλκῆς ἐτράβηξεν αὐτόν, καὶ τόσον πολλὰ τὸν ἐκράτησεν, ὥστε ὁποῦ δὲν τὸν ἀφῆκεν, ἕως οὗ τὸν ἔμβασε μέσα εἰς αὐτὸ τὸ μυστικὸν ταμεῖον καὶ τὸν θάλαμον τῆς καρδίας του, παρομοιάζοντας καὶ αὐτὸς μὲ τὴν ᾀσματίζουσαν νύμφην, ὁποῦ ἔλεγε περὶ τοῦ νυμφίου της «ἐκράτησα αὐτόν, καὶ οὐκ ἀφῆκα αὐτόν, ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με (Ἆσμα γ΄ 4) ὅπερ ἑρμηνεύοντας μὲν ὁ σοφὸς Ψελλὸς εἶπεν: ἔνδον αὐτὸν ἐκράτησα καὶ μέσον τῆς καρδίας. Οἱ δὲ τρεῖς Πατέρες ὁ Νύσσης Γρηγόριος, ὁ Μάξιμος καὶ ὁ θεῖος Νεῖλος, οὕτως ἡρμήνευσαν: οὐκ ἐπαυσάμην ζητεῖν τὸν ἐμὸν ἐραστην, ἕως οὗ εἰσῳκεισάμην αὐτὸν εἰς τὸν νοῦν, ὅς οἶκός μεν ἐστι τῆς δίκην μητρός, αἰτίας πάντων Θεοῦ σοφίας· ὡς ταύτης διὰ τὸ καθ᾽ ὡμοίωσιν χωρητικοῦ. Ταμεῖον δὲ πάλιν αὐτόν, ὡς τοὺς ἀποκρύφους ταύτης θησαυροὺς διὰ τὸ κατ᾽ εἰκόνα ἔχειν ἀποθέτους ἐν ἑαυτῷ. Καὶ διὰ νὰ μεταχειρισθῶ ὁμοίωμα προσφυέστερον, ἴδετε ἀδελφοὶ τὸν πεπυρακτωμένον σίδηρον, πῶς τόσον πολλὰ εἶνε ἡνωμένος μὲ τὸ πῦρ, ὥστε ὁποῦ γίνεται αὐτὸς ἄλλο πῦρ; τοιοῦτος ἔγινε τῇ ἀληθείᾳ, καὶ ὁ θεῖος πατὴρ ἡμῶν Συμεών· διατὶ αὐτὸς τοσοῦτον ἐπυρακτώθη ὁ τρισμακάριος ἀπὸ τὸ πῦρ τῆς θείας ἀγάπης ὁποῦ ἔκαιε μέσα εἰς τὴν καρδίαν του, ὥστε ὁποῦ, ὄχι μόνον κατέκαυσεν ὅλας τὰς προλήψεις, καὶ φαντασίας τὰς κοσμικὰς ὁποῦ εἶχεν εἰς τὸ διανοητικὸν μέρος τῆς ψυχῆς του, ὄχι μόνον ἐξήρανεν ὅλα τὰ πάθη τῆς καρδίας του, ἀλλὰ καὶ αὐτὸ ἀκόμη τὸ βάρος καὶ πάχος τοῦ σώματός του ἐχώνευσεν ὡσὰν σκουρία τοῦ σιδήρου, καὶ μετεχάλκευσεν αὐτὸ καὶ τὸ ἔκαμεν ἐλαφρὸν καὶ λεπτόν, ὡσὰν πνεῦμα, καθὼς ἀναγινώσκομεν εἰς τὸν βίον του, καὶ διὰ τοῦτο ὅταν ὁ ἅγιος ἐπροσηύχετο, ἐφαίνετο ὑψωμένος ἀπὸ τὴν γῆν ἐπάνω εἰς τὸν ἀέρα, ἕως τέσσαρας πήχεις.

Δ΄. Ἰδίωμα τῆς θείας ἀγάπης καὶ τοῦ θείου ἔρωτος εἶνε τὸ νὰ μὴν ἀφίνῃ τοὺς ἐραστὰς καὶ ἀγαπῶνται νὰ ἡσυχάζουν καὶ νὰ σιωποῦν, ἀλλὰ νὰ τοὺς ἀναγκάζῃ ἔσωθεν ἀπὸ τὴν καρδίαν νὰ θεολογοῦν καὶ νὰ ἐγκωμιάζουν τὸν ἐρωμένον καὶ ἀγαπητόν τους Θεόν. Καὶ τοῦτο εἶνε φανερὸν ἀπὸ τὸν Θεολόγον Ἰωάννην, τὸν ἠγαπημένον μαθητὴν τοῦ Κυρίου, ὁ ὁποῖος μὲ τὸ νὰ ἦτο γεμάτος ἀπὸ τὴν θείαν ἀγάπην, ἔγινε γεμάτος καὶ ἀπὸ τὴν Θεολογίαν, κατὰ τὸ ἱερὸν ἐκεῖνο ᾆσμα τὸ ὑπὸ τῆς Ἐκκλησίας ψαλλόμενον: Ὢ θαύματος ἐκστατικοῦ! καὶ πράγματος σοφιστικοῦ! ὅτι πλήρης ὢν τῆς ἀγάπης, πλήρης γέγονε, καὶ τῆς Θεολογίας: ὅθεν καὶ ὁ θεῖος Ἰωάννης ὁ τῆς Κλίμακος παρεκινήθη νὰ εἰπῇ εἰς τὸν τριακοστὸν αὐτοῦ λόγον «αὔξησις φόβου, ἀρχὴ ἀγάπης, τέλος δὲ ἁγνείας, θεολογίας ὑπόθεσις» καὶ πάλιν «ἁγνεία μαθητὴν Θεολόγον εἰργάσατο δι᾽ ἑαυτοῦ κρατύνοντα τῆς Τριάδος τὰ δόγματα» Ἐγὼ δὲ ὀλίγον ἐναλλάττων τὰ λόγια ταῦτα τοῦ θείου Πατρὸς λέγω: ὅτι τέλος ἀγάπης θεολογίας ὑπόθεσις, καὶ πάλιν: ἀγάπη, μαθητὴν Θεολόγον εἰργάσατο.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ότι δὲ τὸ ἰδίωμα τοῦτο τῆς θείας ἀγάπης εὑρίσκετο μὲ ὑπερβολὴν εἰς τὸν παρ' ἡμῶν ἑορταζόμενον ἅγιον Συμεών, δὲν εἶνε χρεία νὰ τὸ εἰπῶ ἐγώ, ἀλλὰ ἕως καὶ αὐτοὶ οἱ λίθοι, καὶ αὐτὰ τὰ ξύλα πρέπει νὰ ἔλθουν παρὸν νὰ ἀναλάβουν φωνὴν καὶ νὰ κηρύξουν εἰς ὅλους. Ἐπειδὴ ὁ θεῖος οὗτος Πατήρ, τόσον ὑπερβολικὸν ἔρωτα εἶχε πρὸς τὸν Θεὸν καὶ τόσον πολλὰ ἄναπτεν εἰς τὴν ψυχήν του ἡ κάμινος τῆς θείας ἀγάπης, ὥστε ὁποῦ δὲν ἠδύνατο νὰ ὑποφέρῃ ὁ τρισόλβιος τὴν ἐκείνης φλόγα, καὶ νὰ σιωπᾷ· ἀλλὰ ἀναπτύσσωντας πυκνότατα τόσον τὰ νοερὰ χείλη τῆς καρδίας του, ὡσὰν καὶ τὰ αἰσθητὰ τοῦ στόματός του, ἐννόει, καὶ συνέγραφε καὶ ἐλάλει, καὶ στιχουργικῶς καὶ πεζογραφικῶς, τόσους θεολογικοὺς λόγους εἰς τὴν ἁγίαν Τριάδα· τόσους ἐρωτικοὺς στίχους εἰς ὕμνον τοῦ ὑπ' αὐτοῦ ἐρωμένου Θεοῦ· καὶ τόσα ὑψηλὰ ἐγκώμια εἰς τὴν ὑπερούσιον Θεαρχίαν, ὅλος ἔνθεος, ὅλος ἐκδημῶν ἑαυτοῦ, καὶ ὅλος ἠλλοιωμένος τὴν θείαν ἀλλοίωσιν, καὶ τὴν πρὸς τὰ ὑμνούμενα, καὶ θεολογούμενα κοινωνίαν πάσχων, καὶ πρὸς πάντων ὢν ἠκούετο, καὶ ἑωρᾶτο καὶ ἐφθέγγετο, θεόληπτος εἶναι καὶ θεῖος ὑμνολόγος κρινόμενος. Διὰ νὰ μεταχειρισθῶ καὶ ἐγὼ εἰς τοῦτον τὸν ἅγιον ἐκεῖνα τὰ ἴδια ἐκφαντορικὰ καὶ μεγαλόδοξα λόγια καὶ ἐγκώμια, ὁποῦ εἶπε περὶ τοῦ ὄντος Ἱεροθέου τὸ πετεινὸν ἐκεῖνο τοῦ οὐρανοῦ, ὁ Ἀρεοπαγίτης φημί, καὶ ἐξοχώτατος ἐν θεολόγοις μέγας Διονύσιος (περὶ θείων ὀνομ. κεφ. γ'.) Τί νὰ περιττολογῶ ; τοσοῦτον ἐπληθύνθη εἰς τὸν ἱερὸν Συμεῶνα τὸ χάρισμα τῆς θεολογίας, ἐξ αἰτίας τῆς θείας ἀγάπης, καὶ τοσοῦτον ὑπερέβη κατὰ τοῦτο τοὺς ἄλλους ἁγίους καὶ θεολόγους τῆς Ἐκκλησίας μας, ὥστε ὁποῦ ὅλος ὁ κόσμος μὲ κοινὴν συμφωνίαν, ἔκρινε δίκαιον νὰ τοῦ δοθῇ ὁ ὑψηλὸς οὗτος τίτλος, τὸ νὰ ἐπονομάζηται δηλαδὴ νέος Θεολόγος· δὲν ἠξεύρω, ἢ διατὶ εἶναι ἄλλος Θεολόγος Γρηγόριος, εἰ καὶ μὴ κατὰ τὴν φράσιν, καὶ τὴν ἔξω σοφίαν, ἀλλὰ γοῦν τὴν ἀκρίβειαν τῆς θεολογίας· ἢ διὰ τὶ εἶναι δεύτερος Ἰωάννης Θεολόγος. Καὶ χωρὶς τὴν ὑπερτάτην αὐτὴν ἐπωνυμίαν οὔτε ἐκφωνεῖται τὸ κύριόν του ὄνομα, ἀλλ' οὔτε παρ' οὐδενὸς γνωρίζεται· ἀλλ' ὁποιος ἐκφωνήσῃ τὸ ὄνομα τοῦ Συμεών, εὐθὺς ἀναγκάζεται νὰ συνεκφωνήσῃ ἐν ταὐτῷ καὶ τὴν ἐπωνυμίαν τοῦ νέου Θεολόγου, καὶ νὰ εἰπῇ· Συμεὼν ὁ νέος Θεολόγος! ὢ χάρις ἐξαίρετος τῆς θείας ἀγάπης ! ὢ προνόμιον θαυμαστόν ! ὢ ἐπωνυμία οὐρανίων ἐπαίνων ἀξία ! Καὶ τὸ θαυμαστὸν εἶνε τοῦτο, ὅτι ὄχι μόνον ἀπὸ τὴν θείαν ἀγάπην ἐκινεῖτο ὁ θεῖος Συμεὼν εἰς τὴν θεολογίαν, ὡς εἴπομεν, ἀλλὰ καὶ ἀπὸ τὴν θεολογίαν ἐκινεῖτο πάλιν καὶ ἀνεφλέγετο ἡ καρδία του εἰς τὴν θείαν ἀγάπην· ὅθεν εἶπεν ὁ ἅγιος Διάδοχος : Πάντα μὲν τὰ χαρίσματα τοῦ Θεοῦ ἡμῶν καλὰ λίαν, καὶ πάσης ἀγαθότητος παρεκτικά· οὐδὲν δὲ οὕτως ἡμῶν ἀναφλέγει καὶ κινεῖ τὴν καρδίαν εἰς τὴν ἀγάπην τῆς αὐτοῦ ἀγαθότητος, ὡς ἡ θεολογία (κεφ. ξζ').

Ἐπειδὴ τὰ δύο ταῦτα χαρίσματα ἡ θεία ἀγάπη καὶ ἡ θεολογία ἔχουσι συνήθειαν νὰ γεννᾷ ἓν τὸ ἄλλο καὶ ἀντιστρόφως πάλιν νὰ γεννᾶται ἓν ἀπὸ τὸ ἄλλο· ὅθεν ἦτον νὰ ἰδῇ τινὰς τὸν ἱερὸν Συμεὼν



νὰ τρέχῃ εἰς ἕνα δρόμον, καὶ κύκλον ἀπέραντον καὶ ἀτελεύτητον, διατὶ ὅσον αὐτὸς ἐζήτει νὰ παρηγορῇ τὴν πρὸς Θεὸν ἀγάπην του μὲ τὴν θεολογίαν, τόσο περισσότερον ἄναπτε τὴν ἀγάπην, καὶ ὅσον περισσότερον ἄναπτεν ἡ ἀγάπη, τόσον ηὔξανε καὶ ἡ θεολογία· καὶ ὅσον ηὔξανεν ἡ θεολογία, τόσον ηὔξανε καὶ ἡ ἀγάπη, ὥστε ὁποῦ τρέχωντας καὶ ἀναβαίνωντας ἀπὸ τὴν ἀγάπην εἰς τὴν θεολογίαν, καὶ ἀπὸ τὴν θεολογίαν πάλιν εἰς τὴν ἀγάπην, δὲν ἔπαυέ ποτε ποτέ.

Ε') δὲ καὶ τελευταῖον ἰδίωμα τῆς ἀγάπης εἶνε, καὶ τῶν ἀληθινῶν ἀγαπητῶν καὶ φίλων τὸ νὰ θυσιάζουν τὴν ζωήν τους καὶ νὰ προκρίνωσι θάνατον διὰ τὴν ἀγάπην τῶν φίλων των· καθὼς εἶπεν ὁ Κύριος ἀπὸ τὸ ἓν μέρος «μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ». (Ἰωαν. ιε'. 13') Καὶ ὁ Σολομὼν ἀπὸ τὸ ἄλλο «κραταιὰ ὡς θάνατος ἀγάπη» (Ἆσμα η'. 6'.). Ἐπειδὴ δὲ ὁ ἱερὸς Συμεὼν ἦτο ἕτοιμος νὰ θυσιάσῃ τὴν ζωήν του, καὶ νὰ ἀποθάνῃ ἂν τὸ ἐκάλει ἡ χρεία, διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, καθὼς εἰς πολλὰ μέρη καὶ τοῦ βίου καὶ τῶν συγγραμμάτων του γίνεται φανερόν· λοιπὸν συμπεραίνεται ἀναμφιβόλως, ὅτι αὐτὸς ἀνέβη εἰς τὸν βαθμὸν τῶν τοῦ Θεοῦ φίλων. Ἐπειδὴ δέ, κατὰ τὸν Ἰωάννην τῆς Κλίμακος, ὁ ἀγαπῶν τὸν Κύριον, τὸν ἀδελφὸν αὐτοῦ προηγάπησεν· ἀπόδειξις γὰρ τοῦ προτέρου τὸ δεύτερον (λόγ. λ'.)· λοιπὸν καὶ ὁ ἱερὸς Συμεὼν ἐπειδὴ ἀπεδείχθη ὅτι ἠγάπησε τὸν Θεόν, ἀναμφιβόλως ἀποδεικνύεται ὅτι ἠγάπησε καὶ τὸν πλησίον, καὶ διὰ τῶν δύο τούτων πρώτων καὶ μεγάλων ἐντολῶν ὅλον τὸν νόμον, καὶ τοὺς προφήτας ἐπλήρωσε. Δ') βαθμὸς τῶν σωζομένων εἶνε, τὸ νὰ γίνῃ τις υἱὸς Θεοῦ κατὰ χάριν, ὡς εἴπομεν· εἰς τὸν ὁποῖον τοῦτον βαθμὸν ἀνέβη ἐξάπαντος καὶ ὁ ἱερὸς Συμεὼν διὰ δύο αἴτια· α'.) διατὶ αὐτὸς εἶχεν εἰς τὴν καρδίαν του αἰσθητῶς ἐνεργοῦσαν τὴν χάριν τοῦ ἁγίου Πνεύματος καὶ ἤγετο καὶ ἐκυβερνᾶτο ὄχι ἀπὸ τὸ πνεῦμα τῆς σαρκὸς καὶ τοῦ κόσμου, ἀλλὰ ἀπὸ τὸ Πνεῦμα τὸ ἅγιον, καθὼς τοῦτο εἶνε καὶ αὐτοῦ τοῦ ἡλίου φαεινώτερον καὶ σχεδὸν λόγος τοῦ ἁγίου δὲν εἶνε, ἢ μᾶλλον εἰπεῖν σελὶς καὶ κατυβατὸν ἐκ τῶν συγγραμμάτων του δὲν εὑρίσκεται, ὁποῦ νὰ μὴ βεβαιώσῃ ταύτην τὴν ἀλήθειαν. Ἐπειδὴ δὲ ὅσοι ἀπὸ τὸ Πνεῦμα τὸ ἅγιον κυβερνῶνται, αὐτοὶ εἶνε υἱοὶ Θεοῦ, καθὼς λέγει ὁ Παῦλος «ὅσοι Πνεύματι Θεοῦ ἄγονται, οὗτοι εἰσὶν υἱοὶ Θεοῦ (Ρωμ. η'. 14'.) Ἄρα καὶ ὁ ἅγιος Συμεὼν υἱὸς ἦτο τοῦ Θεοῦ κατὰ χάριν. β') Διατὶ ἴδιον τῶν υἱῶν εἶνε τὸ νὰ μένουν πάντοτε εἰς τὴν οἰκίαν τοῦ πατρός των, καθὼς ἐκ τοὐναντίον τῶν δούλων εἶνε ἴδιον νὰ μὴ μένουν πάντοτε εἰς τὴν οἰκίαν τοῦ αὐθέντου των, ὡς εἶπεν ὁ Κύριος,« ὁ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ, ὁ δὲ υἱὸς μένει εἰς τὸν αἰῶνα» (Ἰωάνν. η'. 35'). Ἐπειδὴ δὲ ὁ θεῖος Συμεών, καὶ ἐν τῇ προσκαίρῳ ταύτῃ ζωῇ εὑρισκόμενος ἔμεινεν ἐν τῇ οἰκίᾳ τοῦ Θεοῦ Πατρός, φυλάττωντας κάθε ὑπακοὴν εἰς τὸν οὐράνιόν του Πατέρα καὶ ποιῶν ὅλα τὰ πατρικὰ θελήματα καὶ ἐντολάς, μὲ τὰ ὁποῖα γίνεταί τις ἄξιος τοῦ νὰ μένῃ πάντοτε εἰς τὴν πατρικὴν κατοικίαν. Καὶ ἐπειδὴ μετὰ θά-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νιτον ἔγινε πραγματικῶς κληρονόμος τῆς αὐτῆς πατρικῆς οἰκίας καὶ βασιλείας τῶν οὐρανῶν, ὡς υἱὸς γνησιώτατος καθὼς λέγει ὁ Παῦλος «εἰ δὲ τέκνα καὶ κληρονόμοι (Ρωμ. η΄. 17). Λοιπὸν ὁ ἅγιος Συμεὼν καὶ ἀπὸ τοῦτο δείκνυται ὅτι τῇ ἀληθείᾳ ἔφθασεν εἰς τὴν τάξιν τῶν τοῦ Θεοῦ υἱῶν. Καὶ ἀφίνω νὰ λέγω ὅτι ὁ ἱερὸς Συμεὼν μὲ τὸ νὰ ἐλευθερώθη ἐνεργητικῶς ἀπὸ τὰ πάθη διὰ τῆς χάριτος τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ κατὰ τοῦτο ἐφάνη ὅτι ἦτον υἱὸς Θεοῦ. Ἐπειδὴ ἡ τελεία ἐλευθερία ἐκ τῶν παθῶν, δὲν εἶνε τῶν δούλων ἰδία, ἀλλὰ τῶν υἱῶν τοῦ Θεοῦ, καθὼς εἶπεν ὁ Κύριος «πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλος ἐστὶ τῆς ἁμαρτίας· ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε» (Ἰωάν. η΄. 34΄.) Πρὸς τούτοις δέ, ἴδιον τῶν υἱῶν εἶναι, τὸ νὰ φωνάζουν ἐν τῇ καρδίᾳ γλυκύτατα καὶ ἀγαπητικώτατα τὸ τοῦ οὐρανίου Πατρὸς αὐτῶν ὄνομα διὰ τῆς νοερᾶς καὶ καρδιακῆς προσευχῆς, ὡς λέγει ὁ Παῦλος «οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ᾿ ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐνῷ κράζομεν ἀββᾶ ὁ Πατὴρ» (Ρωμ. η΄. 15). Ἐπειδὴ δὲ ὁ μὲν Συμεὼν ὄχι μόνον αὐτὸς ἀδιαλείπτως ἐφώναζεν εἰς τὴν καρδίαν του τὸ ὄνομα τοῦ οὐρανίου Πατρός, καὶ διὰ τῆς νοερᾶς προσευχῆς ὡς τέκνον γνήσιον περιπλεκόμενος μὲ τὸν φιλοστοργότατόν του πατέρα, ἀκαταπαύστως συνωμίλει μὲ αὐτὸν λέγων: Ἰησοῦ μου ἠγαπημένε, Ἰησοῦ μου γλυκύτατε· ἀλλὰ καὶ τοὺς ἄλλους ἀδελφούς του παρεσκεύασε νὰ λέγουν ταῦτα, διδάξας αὐτοὺς καὶ συγγράψας πρῶτος αὐτὸς τὸν τρόπον καὶ τὴν πρακτικὴν μέθοδον τῆς νοερᾶς προσευχῆς ἐν τῷ 68ῳ λόγῳ αὐτοῦ. Ὅθεν τὶς ἀμφιβάλλει ὅτι ὁ θεῖος Συμεὼν διὰ ταῦτα πάντα ἔγινεν υἱὸς Θεοῦ κατὰ χάριν;

Ε΄) Βαθμὸς εἶνε ἐκείνων ὁποῦ ἀξιωθοῦν νὰ γίνουν ἀδελφοὶ τοῦ Χριστοῦ. Τετραχῶς δὲ ὀνομάζονταί τινες ἀδελφοὶ τοῦ Χριστοῦ.

α΄) ἀδελφοὶ τοῦ Χριστοῦ λέγονται ὅλοι ἁπλῶς οἱ ἄνθρωποι κατὰ τὴν φύσιν τῆς ἀνθρωπότητος· ἐπειδὴ ὁ Υἱὸς τοῦ Θεοῦ προσλαβὼν εἰς τὴν θείαν ὑπόστασίν του ὅλην τὴν φύσιν τῆς ἀνθρωπότητος, ἥτις εἶνε κοινὴ μὲ ὅλους τοὺς ἀνθρώπους, ἔκαμε κατὰ τοῦτο ὅλους τοὺς ἀνθρώπους ἀδελφούς του· κἂν καὶ αὐτοὶ δὲν πιστεύουσιν εἰς αὐτόν. Καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν: «οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι» (ἑβρ. β΄. 16.) β΄) Ἀδελφοὶ τοῦ Χριστοῦ ὀνομάζονται οἱ συγγενεῖς αὐτοῦ κατὰ τὸ ἀνθρώπινον, ὡς ἦτο ὁ Ἰάκωβος, ὁ Ἰωσῆς, καὶ ὁ Ἰούδας, καὶ Συμεὼν περὶ ὧν γέγραπται «οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον αὐτῷ» (Ἰωάν. ζ. 5.) γ΄.) Ἀδελφοὶ τοῦ Χριστοῦ ὀνομάζονται ὅλοι οἱ εἰς τὸν Χριστὸν πιστεύσαντες υἱοὶ κατὰ χάριν τοῦ ἀνωτάτου Πατρός, δ΄,) δὲ καὶ τελευταῖον, ἀδελφοὶ Χριστοῦ ὀνομάζονται ὅλοι οἱ ἅγιοι, οἱ σύμμορφοι γεγονότες τῆς εἰκόνος τοῦ υἱοῦ τοῦ Θεοῦ, ὡς λέγει ὁ Παῦλος «οὓς προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς» (Ρωμ. η΄. 28).—Τώρα ἂν ὁ θεῖος Συμεὼν ἔγινε σύμμορφο τῆς εἰκόνος καὶ πολιτείας τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἂν ἀνεδύθη τὸ



Χριστὸν εἰς τὸν ἑαυτόν του ὡσὰν φωτεινὸν περιβόλαιον, καθὼς καὶ ὅλη του ἡ ζωὴ μαρτυρεῖ, καὶ τὰ θεόσοφα τούτου συγγράμματα λαμπρότερον πάσης σάλπιγγος ταῦτο κηρύττουσιν, ἐξάπαντος αὐτὸς ἔγινε καὶ ἀδελφὸς τοῦ Χριστοῦ. Ὅθεν ἀκολούθως καὶ ὁ Δεσπότης Χριστός, ἄγκαλα καὶ εἶνε αὐθέντης τῶν ἁπάντων καὶ Κύριος κατὰ τὴν φύσιν τῆς θεότητος, μ᾿ ὅλον τοῦτο βεβαιότατα δὲν ἤθελεν ἐντραπῇ νὰ ὀνομάσῃ κατὰ συγκατάβασιν τὸν ἱερὸν Συμεῶνα ἀδελφόν του ἠγαπημένον ὡς ποιήσαντα τὸ θέλημα τοῦ Πατρός του, καθὼς δὲν ἐντράπη νὰ ὀνομάσῃ ἀδελφούς του, καὶ ἐκείνους ὁποῦ ἤκουον τὴν διδασκαλίαν του, καὶ ἐποίουν τὸ θέλημα τοῦ οὐρανίου Πατρός του, ὡς εἴπομεν μὲ τὸν Εὐαγγελιστὴν Ματθαῖον εἰς τὴν ἀρχήν, καὶ καθὼς ὠνόμασεν ἀδελφούς του, τοὺς ἱεροὺς ἀποστόλους του εἰπὼν πρὸς τὴν Μαγδαληνὴν «Πορεύου πρὸς τοὺς ἀδελφούς μου» (Ἰωάν. κ. 17΄). Ὅθεν καὶ ὡς ἀδελφὸς τοῦ Χριστοῦ γενόμενος ὁ Ἱερὸς Συμεών, ἦτον ἀκόλουθον νὰ γίνῃ καὶ συμμεριστὴς καὶ συγκληρονόμος μὲ τὸν Χριστόν, τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ τῶν δύο ἀδελφῶν τοῦ οὐρανίου Πατρός, τοῦ μὲν Χριστοῦ κατὰ φύσιν, τοῦ δὲ Συμεών, κατὰ χάριν, ὡς προείπομεν μὲ τὸν Παῦλον «εἰ δὲ τέκνα καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεοῦ συγκληρονόμοι δὲ Χριστοῦ». (Ρωμ. η.΄ 17).

Τοῦτο γὰρ ἦν τὸ τέλος καὶ τὸ συμπέρασμα ὅλον τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐνσάρκου οἰκονομίας, τὸ νὰ κάμῃ δηλαδὴ τὸν κατὰ φύσιν αὐτοῦ οὐράνιον Πατέρα, καὶ Πατέρα τῶν ἀνθρώπων κατὰ χάριν, διότι, ἐπειδὴ αὐτὸς μόνος ἀνάρχως καὶ προαιωνίως ἐγεννήθη ἐκ τοῦ Πατρὸς Υἱὸς μονογενής, εἰς εὐχαριστίαν τρόπον τινὰ τῆς ἀπερινοήτου ταύτης υἱότητος ὁποῦ ἔλαβεν ἀπὸ τὸν ὁμοούσιον καὶ ἀγαπητόν του Πατέρα ἠθέλησεν ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν να σαρκωθῇ καὶ νὰ κάμῃ καὶ τοὺς ἀνθρώπους υἱοὺς θετοὺς κατὰ χάριν τοῦ αὐτοῦ οὐρανίου Πατρός του, καὶ οὕτω νὰ πλατύνῃ ἐν ταὐτῷ καὶ τῆς υἱοθεσίας καὶ τῆς πατρότητος τὸ ἀξίωμα, ἵνα ὁ οὐράνιος Πατὴρ πολλοὺς ἔχων υἱοὺς καὶ πολλῶν τέκνων Πατὴρ ὀνομαζόμενος, εὐαρεστεῖται περισσότερον, καὶ μεγαλύνεται καὶ δοξάζεται. Καὶ τοῦτο θέλει νὰ εἰπῇ ἡ παράδοσις ἐκείνη τῆς βασιλείας, τὴν ὁποίαν ἀναφέρει ὁ Παῦλος, τὸ νὰ προσφέρῃ δηλαδὴ ὁ Υἱὸς τοῦ Θεοῦ τοὺς ὑπ᾿ αὐτοῦ βασιλευομένους ἀνθρώπους εἰς τὸν Θεὸν καὶ Πατέρα τῆς ἐκείνου ἠξιωμένους υἱοθεσίας «εἶτα τὸ τέλος ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ» (α΄ Κορινθ. ιε.΄ 24΄).

Μάλιστα δὲ ἁρμόζει εἰς τοῦτο τὸ ἄλλο ῥητὸν τοῦ Παύλου ὁποῦ λέγει περὶ τοῦ Ἰησοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ «ἔπρεπε γὰρ αὐτῷ δι᾿ ὃν τὰ πάντα, καὶ δι᾿ οὗ τὰ πάντα πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι» (ἑβρ. β΄. 10΄). Ὅτι δὲ ὁ θεῖος Συμεὼν ἔφθασε καὶ εἰς τὸν στ΄.) καὶ ὑψηλότατον βαθμὸν τῶν σωζομένων καὶ ἠξιώθη νὰ γίνῃ Μήτηρ Χριστοῦ, ἡμεῖς δὲν λέγομεν λόγια ἰδικά μας, ἀλλ᾿ αὐτὸς πάλιν ὁ ἴδιος, ἂς ἔλθῃ διὰ νὰ μᾶς τὸ παραστήσῃ, μὲ ἐκεῖνα ὁποῦ γράφει εἰς τὸν 57ον λόγον αὐ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦ τὰ ὁποῖα ἔχουσιν οὕτω Καλότυχος εἶνε ἐκεῖνος ὁποῦ ἰδῇ τὸ φῶς τοῦ κόσμου, ἤγουν τὸν Χριστὸν πῶς ἐμορφώθη μέσα του, ὅτι αὐτὸς θέλει νομισθῇ Μήτηρ Χριστοῦ, ἔχωντας τὸν Χριστὸν μέσα του ὡσὰν βρέφος, καθὼς αὐτὸς ὁ ἀψευδέστατος ὑπεσχέθη λέγωντας «Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν, οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ ποιοῦντες αὐτὸν» (Μάρκ. γ. 35΄), Ὥστε ἐκεῖνοι ὁποῦ δὲν φυλάττουν τὰς ἐντολάς του, ὑστεροῦνται θεληματικῶς ἀπὸ τὴν τοιαύτην χάριν. Ἐπειδὴ τοῦτο τὸ πράγμα καὶ ἦτο καὶ εἶναι, καὶ θέλει εἶνε δυνατόν, καὶ ἔγινε, καὶ γίνεται, καὶ θέλει γίνῃ εἰς ὅλους ἐκείνους ὁποῦ κάμνουν τὰς ἐντολάς του· ὅμως διὰ νὰ μὴν ἀφήσωμεν αὐτὸ ποὺ εἴπαμεν χωρὶς μαρτυρίας, καὶ δώσωμεν ὑποψίαν, ὅτι λέγομεν τίποτε ἀπὸ λόγου μας, καὶ ὄχι ἀπὸ τὴν θείαν γραφήν, καὶ ὅτι δογματίζομεν ὡς δυνατὰ τὰ ἀδύνατα, φέρομεν πάλιν μαρτυρίαν ἐπ᾽ αὐτοῦ τὸν μακάριον Παῦλον, τὸ στόμα τοῦ Χριστοῦ ὁποῦ λέγει «τεκνία μου οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν» (Γαλ. δ΄ 19). Μὰ ἄρά γε, εἰς ποῖον τόπον καὶ μέρος τοῦ σώματός μας νομίζεται πῶς λέγει ὅτι θέλει μορφωθῇ ὁ Χριστός ; εἰς τὸ πρόσωπον, ἤ εἰς τὸ στῆθος ; ὄχι· ἀλλὰ μέσα εἰς τὴν καρδίαν μας μορφόνεται· καὶ ὄχι σωματικῶς ἀλλ᾽ ἀσωμάτως· καὶ καθὼς πρέπει εἰς τὸν Θεόν. Καὶ καθὼς ὅταν ἦναι ἔγγυος ἡ γυνὴ τὸ γνωρίζει φανερά, ἐπειδὴ καὶ σκιρτᾷ τὸ βρέφος εἰς τὴν κοιλίαν της, καὶ δὲν εἶνε δυνατὸν νὰ μὴ γνωρίζῃ πῶς ἔχει μέσα της βρέφος· τοιουτοτρόπως καὶ ἐκεῖνος ὁποῦ ἔχει τὸν Χριστὸν μεμορφωμένον εἰς τὸν ἑαυτόν του, γνωρίζει τὰ σκιρτήματα καὶ κινήματά του· ἤγουν τὰς ἐλλάμψεις, καὶ τὰς ἀστραπάς του, καὶ βλέπει μέσα του τὴν μόρφωσσιν τοῦ Χριστοῦ· ὅ,τι λογῆς δείχνεται τὸ φῶς τῆς λαμπάδος μέσα εἰς τὸν καθρέπτην· ὄχι μὲ φάντασμα ἀνυπόστατον, καθὼς εἶνε ἐκεῖνο ὁποῦ φαίνεται εἰς τὸν καθρέπτην, ἀλλὰ δείχνεται μὲ φῶς ἐνυποστάτως καὶ οὐσιωδῶς, ὁρώμενον ἀοράτως, καὶ κατανοούμενον ἀκατανοήτως μὲ μορφὴν ἄμορφον, καὶ ἰδέαν ἀνείδεον». Τώρα ἂν ὁ Ἱερὸς Συμεὼν ἀνεδείχθη διὰ τῶν λόγων τούτων, πῶς ἡ τοῦ Ἰησοῦ πνευματικὴ μόρφωσις γίνεται εἰς τὰς καρδίας τῶν ἄλλων, πόσῳ μᾶλλον πρέπει νὰ συμπεράνωμεν ἡμεῖς, ὅτι αὐτὸς πρῶτος ἀπέκτησεν εἰς τὴν καρδίαν του τὴν τοιαύτην πνευματικὴν τοῦ Χριστοῦ μόρφωσιν, καὶ ἔγινε πνευματικῶς Μήτηρ του, καὶ διὰ τοῦτο ὡς παθὼν καὶ μαθών, ἔγινε ταύτης καὶ εἰς τοὺς ἄλλους διδάσκαλος ; Ναὶ κατὰ ἀλήθειαν, ἔτσι πρέπει νὰ τὸ συμπεραίνωμεν καὶ νὰ εἴμεθα πεπληροφορημένοι· διατὶ τὰ τοιαῦτα θεῖα μυστήρια, δὲν εἶνε τρόπος νὰ τὰ διδάξῃ τις εἰς ἄλλους ὀρθῶς, ἐὰν πρῶτος αὐτὸς δὲν ἀξιωθῇ νὰ τὰ γνωρίσῃ ἐνεργητικῶς, καὶ νὰ τὰ πάθῃ διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος. Ὅτι δὲ ὁ Υἱὸς τοῦ Θεοῦ ἀεὶ γεννᾶται κατὰ Πνεῦμα εἰς ἐκείνους ὁποῦ τὸν ἀγαποῦν, καὶ γίνεται βρέφος, αὐτὸς ἑαυτὸν διαπλάττων μὲ τὰς ἀρετάς, καὶ συλλαμβάνει πνεῦμα σωτηρίας ὁ φοβούμενος τὸν Θεόν· βεβαιοῖ καὶ ὁ θεοφόρος Μάξιμος ἐν κεφ. η΄ τῆς γ΄.



ἑκατοντ. τῶν Θεολογικῶν. Καὶ ὁ μέγας Ἀθανάσιος ἐν ταῖς πρὸς Ἀντίοχον ἐρωτήσεως. Καὶ πρὸ αὐτῶν βεβαιοῖ ὁ Προφήτης Ἡσαΐας εἰπών: Διὰ τὸν φόβον σου Κύριε ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου (Ἡσ. κστ΄. ιγ). Καὶ λοιπόν, ἀνίσως ὁ ἅγιος Συμεὼν ἐπέρασεν ὅλους τοὺς βαθμοὺς τῶν σωζομένων, ὡς ἀπεδείχθη ἕως τώρα τρέχοντας συμπεραίνεται, ὅτι αὐτὸς ἔφθασεν εἰς τὴν τοῖς ἀνθρώποις δυνατὴν τελειότητα, καθὼς ἦτο ἡ πρότασίς μας. Ἐντεῦθεν ἠξιώθη κατὰ τὸν νοῦν νὰ ἐλλαμφθῇ μὲ νοερὰν καὶ ὑπερφυσικὴν ἔλλαμψιν τοῦ ἁγίου Πνεύματος· ἐντεῦθεν ἠξιώθη νὰ λάβῃ ἐν τῇ καρδίᾳ τὸν ἐνυπόστατον καλούμενον παρὰ τῶν θείων Πατέρων τῆς θείας χάριτος φωτισμόν, ἐντεῦθεν ἠξιώθη, ὄχι μόνον τοῦ διορατικοῦ χαρίσματος, ἀλλὰ καὶ τοῦ προορατικοῦ τῶν μελόντων καὶ ἐσομένων, καὶ τοῦ νὰ ἐνεργῇ διάφορα θαύματα, καθὼς τὸ ἀναφέρει ὁ βίος του. Ἐντεῦθεν ἠξιώθη νὰ ἀναβῇ εἰς θεωρίας θείας καὶ ἀποκαλύψεις μυστικάς, καὶ νὰ ἁρπαγῇ καὶ αὐτὸς ὡς ὁ Παῦλος, εἰς ὄρη νοητὰ καὶ αἰώνια· οὐχὶ μὲ τὰ φανταστικὰ τῆς διανοίας πτερά, ἀλλ᾽ ἐπ᾽ ἀληθείας νὰ ἁρπαγῇ μὲ δύναμιν ἀπόρρητον τοῦ ἁγίου Πνεύματος, ὡς λέγει ὁ μέγας τῆς Θεσσαλονίκης Γρηγόριος, (λόγος εἰς τὴν Ξένην) καὶ νὰ ἰδῇ (ὢ τοῦ θαύματος!) τὰ ἀθέατα θεάματα τοῦ μέλλοντος αἰῶνος, καὶ τὰς τάξεις τῶν ἀγγέλων, καὶ τῶν ὑπερκοσμίων Δυνάμεων· καὶ νὰ ἀκούσῃ ἄρρητα ῥήματα, χωρὶς νὰ ἠξεύρῃ, εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος εὑρίσκεται.

Ἐντεῦθεν ἠξιώθη νὰ γίνῃ ἁπλοῦς, ἀνείδεος, ἔσχατος, πάντων ἁπαξαπλῶς ἀπολελυμένος, οὐ μόνον τῶν αἰσθητῶν τε καὶ νοητῶν κτισμάτων, ἀλλὰ καὶ αὐτῶν τῶν περὶ αὐτὰ πνευματικῶν λόγων διὰ τῆς ὑπὲρ νοῦν ἑνώσεως, κατὰ τὸν Ἀρεοπαγίτην Διονύσιον· ἐντεῦθεν ἠξιώθη νὰ γίνῃ ἀπὸ ὅλα ἀκράτητος, ἢ δυσκράτητος, καθὼς εἶπεν ὁ Θεολόγος Γρηγόριος «δύο ταῦτα δυσκράτητα, Θεός, καὶ ἄγγελος, καὶ τὸ τρίτον φιλόσοφος· ἄϋλος ἐν ὕλῃ· ἐν σώματι ἀπερίγραπτος, ἐπὶ γῆς οὐράνιος· ἐν πάθεσιν ἀπαθὴς (λόγ. εἰς ἑαυτὸν ἐξ ἀγροῦ ἐπανήκοντα). Καὶ διὰ νὰ εἰπῶ μὲ συντομίαν, ἐντεῦθεν· ὅλος μένων ἄνθρωπος κατά τε ψυχὴν καὶ σῶμα διὰ τὴν φύσιν, ὅλος Θεὸς ἐγένετο, κατά τε ψυχὴν καὶ σῶμα διὰ τὴν ἀπειρόδωρον τῆς θεώσεως χάριν· καθὼς εἶπεν ὁ Θεοφόρος Μάξιμος, τὸ ὁποῖον αὐτὸ μυστήριον τῆς θεώσεως καὶ ἁρπαγῆς, εἶνε πρᾶγμα ὁποῦ δυσκόλως ἠμπορεῖ νὰ νοηθῇ· δυσκόλως νὰ λαληθῇ· καὶ δυσκόλως νὰ ἐπιτυχηθῇ, ὡς εἶπεν ὁ τῆς Θεσσαλονίκης Γρηγόριος «τὸ δυστέκμαρτον καὶ δυσεκλάλητον, καὶ δυσεπίτευκτον χρῆμα». (Εἰς τὸν βίον τοῦ Πέτρου). Καὶ μόλις αὐτὸ τὸ μυστήριον ἀξιώνεται νὰ φθάσῃ ἕνας μόνος ἀπὸ μίαν ὁλόκληρον γενneάν, κατὰ τὸν ἅγιον Ἰσαὰκ εἰπόντα «Πολλοὶ τῆς καθαρᾶς προσευχῆς οὐδαμῶς ἠξιώθησαν, ἀλλ᾽ ὀλίγοι· πρὸς δὲ τὸ μυστήριον ἐκεῖνο, καὶ μετ᾽ ἐκείνην, καίπερ ἂν φθάσας μόλις εὑρίσκεται γενεὰ καὶ γενεὰ τῇ χάριτι τοῦ Θεοῦ (λογ. λβ΄ σελ. 199). Μεγάλο θαῦμα ἦτο τῇ ἀληθείᾳ, τὸ νὰ ἀποστείλῃ ὁ Θεὸς ἕνα οὐράνιον καὶ ἀσώματον ἄγγελον ἀπὸ τὴν ἐσχά-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

την και κατωτέραν τάξιν των υπερκοσμίων Δυνάμεων, διὰ νὰ παραστέκηται πάντοτε κοντὰ εἰς τὴν κλίνην τοῦ μεγάλου Παϊσίου, τοῦ ἀγαπημένου φίλου τοῦ Θεοῦ, καὶ νὰ φυλάττη αὐτὴν ὡς ἂν εἷς ἀρχιστράτηγος διὰ νὰ μὴν ἀποτολμήση νὰ πλησιάση εἰς αὐτὴν κανὲν πονηρόν, καὶ ἀκάθαρτον πνεῦμα, καὶ νὰ ἐνοχλήση διὰ τῶν λογισμῶν εἰς τοὺς ὕπνους τὸν ἅγιον, καθὼς τοῦτο ἀναφέρει ὁ βίος του. Μεγαλήτερον πρᾶγμα ἐστάθη τὸ νὰ ἀποστείλῃ ὁ Θεός, ὄχι ἕνα ἄγγελον καὶ ἀρχάγγελον ἀπὸ τὴν τελευταίαν καὶ περικόσμιον διακόσμησιν τῶν ἀΰλων οὐσιῶν· ὄχι μίαν Κυριότητα καὶ δύναμιν, καὶ ἐξουσίαν, ἀπὸ τὴν μέσην τάξιν τῶν ἀγγέλων, ἀλλ' ἓν Χερουβεὶμ ἀπὸ τὴν περὶ Θεὸν πρώτην καὶ ἄμεσον διακόσμησιν τῶν οὐρανίων νόων· τὸ νὰ ἀποστείλῃ λέγω ὁ Θεὸς ἓν Χερουβεὶμ τὸν μέγαν Μακάριον τὸν Αἰγύπτιον, διὰ νὰ παραστέκηται εἰς αὐτὸν πάντοτε, νὰ τὸν φωτίζῃ, νὰ τὸν συνετίζῃ τὰ πρακτέα, καὶ νὰ τοῦ χαρίζῃ πλῆθος γνώσεως καὶ σοφίας. (Χερουβεὶμ γὰρ ἑβραϊστί, πλῆθος γνώσεως ἑρμηνεύεται κατὰ τὸν Ἀρεοπαγίτην Διονύσιον) τὸ ὁποῖον Χερουβείμ, ἀφ' οὗ ὁ ἅγιος ἐτελεύτησεν, ἐφαίνετο προπορευόμενον ἔμπροσθεν τῆς ἁγίας αὐτοῦ ψυχῆς, καὶ ὡδήγει αὐτὴν μετὰ φωτὸς καὶ δόξης εἰς τὰ οὐράνια καθὼς μαρτυρεῖ ὁ βίος του. Μεγαλώτατον ὅμως καὶ ἀπὸ τὰ δύο αὐτά, εἶνε τὸ θαῦμα ὁποῦ ἐφαίνετο εἰς τὸν παρ' ἡμῶν ἐπαινούμενον ἅγιον Συμεών. Διατὶ εἰς αὐτὸν δὲν ἔστειλεν ὁ Θεὸς Ἀγγέλους καὶ Χερουβεὶμ διὰ νὰ τὸν φυλάττωσιν οἵτινες εἶνε πνεύματα λειτουργικὰ εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, ὡς λέγει ὁ μακάριος Παῦλος, ἀλλ' αὐτὸ ἀμέσως τὸ ἴδιον ζωαρχικὸν καὶ πανάγιον Πνεῦμα· ὁ φύσει Θεός, καὶ Δεσπότης ὅλων ὁμοῦ τῶν Ἀγγέλων καὶ τῶν ἀνθρώπων, ἔσκεπεν αὐτόν, καὶ ἐφύλαττε διὰ τῆς φωτοφόρου χάριτός του, καὶ παντοτε μέν, ἐξαιρέτως δὲ καὶ μάλιστα, ὅταν ὁ ἅγιος εὑρισκόμενος ὡς ἱερεὺς, μέσα εἰς τὸ ἄδυτον βῆμα, ἐλειτούργει Θεῷ τὴν μυστικὴν καὶ ἀναίμακτον ἱερουργίαν· ἡ γὰρ φωτεινὴ νεφέλη ἐκείνη ὁποῦ τότε τὸν ἐσκέπαζε, καὶ ὅλον αὐτὸν ἀπὸ κάθε μέρος περιελάμβανε, καθὼς ἀναφέρει ὁ βίος του, ἡ παντοδύναμος, καὶ φωτοπάροχος χάρις τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος ἦτο· ὅθεν καὶ ἀπὸ αὐτήν, τοσοῦτον ὁ ἅγιος ἐλαμπρύνετο, καὶ ψυχῇ καὶ σώματι, καὶ νοΐ καὶ καρδίᾳ, ὥστε ὁποῦ, τὸ θεῖον καὶ ἱερόν του πρόσωπον ἠκτινοβόλει καὶ ἤστραπτεν, ὡσὰν ἄλλος δεύτερος ἥλιος. Διὸ κανεὶς δὲν ἠδύνατο νὰ βλέπῃ αὐτὸ ἀκλινῶς, καθὼς δὲν δύναται νὰ βλέπῃ οὔτε τὸν ἥλιον. Ὢ δόξαι ! ὢ μεγαλεῖα ! ὢ ὑπερφυῆ, καὶ οὐράνια χαρίσματα τοῦ ἱεροῦ Συμεῶνος, τὰ ὁποῖα βυθίζουσι κάθε νοῦν καὶ κάμνουσιν ἄλαλον κάθε γλῶσσαν. Ἡμεῖς δὲ ἀδελφοὶ τοῦ πονηροῦ αἰῶνος χριστιανοὶ καὶ μοναχοί, ἢ μᾶλλον εἰπεῖν, ἡμεῖς τὰ ἐκτρώματα τῶν χριστιανῶν καὶ μοναχῶν τὶ νὰ κάμωμεν ; ἢ τὶ νὰ μεταχειρισθῶμεν διὰ νὰ εὐαρεστήσωμεν τῷ Θεῷ καὶ νὰ σωθῶμεν ; ἂς μιμούμεθα τὸ παράδειγμα τῆς θεαρέστου ζωῆς καὶ πολιτείας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Συμεών. Διὰ τοῦτο γὰρ καὶ ἐσυνάχθημεν σήμε-



ρον νὰ ἑορτάσωμεν τὴν σεβασμίαν του μνήμην, ὄχι τόσον διὰ νὰ τιμήσωμεν αὐτόν, διατὶ εἰς αὐτὸν ἀρκεῖ ἡ ὑπερκόσμιος τιμὴ καὶ δόξα ὁποῦ ἀπολαμβάνει εἰς τὰ οὐράνια, καὶ προσθήκην τιμῆς καὶ δόξης περισσοτέρας ἀπὸ ἡμᾶς δὲν χρειάζεται· ἀλλὰ ἑορτάζομεν τὴν μνήμην τοῦ ἱεροῦ Συμεῶνος διὰ νὰ ὠφεληθῶμεν ἡμεῖς μὲ τὴν μίμησιν τοῦ κατὰ Θεὸν αὐτοῦ βίου· οὕτω γὰρ μᾶς παραγγέλλει ὁ μέγας Βασίλειος· ἀρκεῖ τοίνυν ἡ μνήμη πρὸς ὠφέλειαν διηνεκῆ, οὐ γὰρ δὴ ἐκείνοις τοῖς δικαίοις χρεία προσθήκης ὡς εὐδοκίμησιν, ἀλλ' ἡμῖν τοῖς ἐν τῷ βίῳ ἀναγκαία ἡ μνήμη διὰ τὴν μίμησιν· ὥσπερ τῷ πυρὶ αὐτομάτως ἕπεται τὸ φωτίζειν, καὶ τῷ μύρῳ τὸ εὐωδεῖν. οὕτω καὶ ταῖς ἀγαθαῖς πράξεσιν ἀναγκαίως ἀκολουθεῖ τὸ ὠφέλιμον (ὁμιλ. εἰς τὸν μάρτυρα Γόρδιον). Εἶχεν ὁ θεῖος Συμεὼν τὸν τοῦ Θεοῦ φόβον εἰς τὴν ψυχήν του ; καὶ τὴν τοῦ θανάτου μνήμην καὶ τῆς κρίσεως καὶ κολάσεως ; Καὶ ἡμεῖς παρομοίως ἂς ἐμφυτεύσωμεν τὸν θεῖον φόβον εἰς τὰς καρδίας μας, καὶ ἂς ἐνθυμούμεθα πάντοτε τὸν θάνατον, τὴν κρίσιν καὶ τὴν αἰώνιον κόλασιν· ἵνα, διὰ μὲν τοῦ φόβου καρφώνωνται αἱ σάρκες ἡμῶν καὶ δὲν σκιρτῶσιν ἀπὸ τὰ ἄλογα πάθη, ὡς εἶπεν ὁ θεῖος Δαβὶδ «Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου» (ψαλμ. ριη´) διὰ δὲ τῆς ἐνθυμήσεως τῶν ἐσχάτων μας, ἐμποδιζόμεθα ἀπὸ τὴν ἁμαρτίαν «μιμνήσκου γὰρ φησὶν ὁ Σειρὰχ τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμαρτήσῃς» (Σειρὰχ ζ. 36). Ἐφύλαττεν ὁ ἅγιος Συμεὼν τὰς Δεσποτικὰς ἐντολάς, διὰ τὸν μισθὸν τῆς οὐρανῶν βασιλείας ; καὶ ἡμεῖς παρομοίως διὰ τὸν αὐτὸν μισθὸν ἂς φυλάττωμεν τὰς ἐντολὰς τοῦ Κυρίου, καὶ ἂς ἐργαζώμεθα εἰς τὸν νοητὸν ἀμπελῶνα τῶν Δεσποτικῶν προσταγμάτων· ἐργαζόμενοι δέ, ἂς μὴ μικροψυχήσωμεν πρὸ τῆς ὥρας καὶ τοῦ καιροῦ· ἀλλ' ἂς ὑπομένωμεν τὸ βάρος ὅλης τῆς ἡμέρας, καὶ τὸν καύσωνα ἕως ἑσπέρας· ἤτοι ἕως τέλος τῆς ζωῆς μας· καὶ τότε θέλει μᾶς δώσει ὁ οἰκοδεσπότης τέλειον τὸν μισθὸν τοῦ κόπου μας. Περίμενε, ὦ ἀσκητά, μᾶς συμβουλεύει ὁ μέγας Βασίλειος, καὶ μηδαμοῦ μικροψύχει πρὸς τὰ παρόντα· ἀθλητὴς γὰρ εἶ καὶ ἐργάτης τοῦ Χριστοῦ· ὅλην τὴν ἡμέραν ἀθλῆσαι, συνθέμενος καὶ ὅλης τῆς ἡμέρας ὑπομεῖναι τὸν καύσωνα· τί μηδέπω πληρώσας τῆς ἡμέρας τὸ μέτρον μεταδιώκεις τὴν ἄνεσιν ; ἔκδεξαι τὴν ἑσπέραν, τὸ πέρας τῆς ἐνταῦθα ζωῆς, ἵνα ἐλθὼν ὁ οἰκοδεσπότης, τοὺς μισθοὺς σοι ἀπαριθμήσηται· «Ὀψίας γὰρ γενομένης εἶπεν ὁ Κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν, οὐ μεσούσης ἡμέρας, οὐδὲ ἐν ἀρχῇ τῆς μισθώσεως, περίμεινον οὖν τὸ πέρας τοῦ βίου καὶ τότε κομίζει τοὺς μισθοὺς ἐπανιὼν» (ἀσκητικαὶ διατάξεις κδ). Ἐφύλαξεν ὁ ἅγιος Συμεὼν τὰς ἐντολὰς διὰ τὴν ἀγάπην τοῦ τὰς ἐντολὰς ἐντειλαμένου Θεοῦ ; Καὶ ἡμεῖς τὸ αὐτὸ ποιήσωμεν α) διότι ἔχομεν χρέος νὰ ἀγαπῶμεν τὸν Θεόν, ἐπειδὴ αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς, κατὰ τὸν ἀγαπημένον μαθητὴν «ἡμεῖς ἀγαπῶμεν αὐτόν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς» (Ἰωάν. δ´. 19) β´. Διατὶ ὁ Θεὸς καθ' ἑαυτὸν εἶνε

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἄξιος καὶ ὑπεράξιος πάσης ἀγάπης, καὶ διὰ μόνην τὴν εἰς αὐτὸν ἀγάπην, καὶ ὄχι διὰ κανένα μισθὸν καὶ ἄλλο τέλος, πρέπει νὰ φυλάττωμεν τὰς ἐντολάς του. Ὅθεν ἀπὸ τοιαύτην ἀγάπην παρακινούμενος ὁ Δαβὶδ νὰ φυλάττῃ τὰς θείας ἐντολὰς ἔλεγε «καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἅς ἠγάπησα σφόδρα, καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἅς ἠγάπησα» (ψαλμ. ριη΄. 47.) Ἐὰν δὲ ἡμεῖς ἀγαπῶμεν τὸν Θεὸν μὲ τοῦτον τὸν τρόπον, ἐπειδὴ ἡ ἀγάπη εἶνε μία ἀντιδιδομένη διάθεσις, βέβαια ἔχει ἀμοιβαίως νὰ ἀγαπήσῃ καὶ ἡμᾶς ὁ Θεός, καθὼς γέγραπται περὶ τῆς Σοφίας «ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ» (Παρ. κ΄ 17΄). Ἔγινεν ὁ Συμεὼν υἱὸς Θεοῦ κατα χάριν; ἄς σπουδάσωμεν νὰ γίνωμεν τοιοῦτοι καὶ ἡμεῖς· α΄) διατὶ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ διὰ τοῦτο ἔγινεν υἱὸς ἀνθρώπου διὰ νὰ γείνουν οἱ υἱοὶ τῶν ἀνθρώπων υἱοὶ τοῦ Θεοῦ, δίδων εἰς ὅσους ἐπίστευσαν αὐτῷ δύναμιν πνευματικὴν διὰ νὰ ἀποκτήσουν τὴν θείαν υἱοθεσίαν, καθὼς εἶνε γεγραμμένον· «ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι» (Ἰωάν. α. 12). Καὶ β΄.) διατὶ κάθε γέννησις, φυσικῷ τῷ τρόπῳ κάμνει νὰ ὁμοιάζῃ πάντοτε τὸ γεννώμενον. Ἐπειδὴ δὲ ἡμεῖς οἱ Χριστιανοὶ ἐγεννήθημεν ἐκ τοῦ ἁγίου Πνεύματος, τὸ ὁποῖον εἶνε Θεὸς κατὰ φύσιν, διὰ μέσου τοῦ ἁγίου βαπτίσματος, διὰ τοῦτο χρεωστοῦμεν νὰ ἤμεθα καὶ ὅμοιοι μὲ τὸ γεννῆσαν ἡμᾶς ἅγιον Πνεῦμα. Ταὐτὸν εἰπεῖν μὲ τὸν γεννήσαντα ἡμᾶς Θεὸν καὶ ἀκολούθως νὰ ἤμεθα καὶ ἡμεῖς πνευματικοὶ καὶ Θεοὶ καὶ υἱοὶ Θεοῦ κατὰ χάριν καθὼς εἶπεν ὁ Κύριος· τὸ γεγενημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστὶ καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμά ἐστι «Ἰωάν. γ΄ 6.) Ἔγινεν ὁ ἱερὸς Συμεὼν ἀδελφὸς καὶ Μήτηρ Χριστοῦ ὡς ἀπεδείξαμεν; καὶ ἡμεῖς ἂς ἐπιμεληθῶμεν τοιοῦτοι νὰ γείνωμεν· διότι δὲν εἶνε τοῦτο κανένα ἀδύνατον, ἀλλὰ ἔγινε καὶ γίνεται, καὶ θέλει γίνῃ καὶ εἰς ἡμᾶς, ἐὰν φυλάττωμεν τὰς ἐντολὰς τοῦ Χριστοῦ καθὼς μᾶς διδάσκει, καὶ καθὼς μὲ τὴν πεῖραν τὸ ἔπαθεν ὁ ἱερὸς Συμεών. Καὶ διὰ νὰ εἰπῶ μὲ συντομίαν, καθὼς ὁ μέγας Συμεὼν κατεπάτησεν ὅλα τὰ γήϊνα πράγματα, καὶ ἔγινεν ὑπεράνω αὐτῶν διὰ τῆς ἰσαγγέλου καὶ ὑπερανθρώπου πολιτείας του, καὶ οὕτως ἠξιώθη νὰ λάβῃ τὴν χάριν τοῦ ἁγίου Πνεύματος ἐνεργητικῶς εἰς τὴν καρδίαν του, τοιουτοτρόπως καὶ ἡμεῖς, ἐὰν καταπατήσωμεν τὰ γήϊνα, καὶ γείνωμεν ἀνώτεροι τούτων, τότε δυνάμενα νὰ λάβωμεν τὸ Πνεῦμα τὸ ἅγιον, καθὼς τὸ ἀποφασίζει ὁ οὐρανοφαντωρ Βασίλειος. Ἑρμηνεύων γὰρ οὗτος τὸ ῥητὸν ἐκεῖνο τοῦ Ἡσαΐου τὸ λέγον «ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ᾽ αὐτῆς, καὶ Πνεῦμα τοῖς πατοῦσιν αὐτήν». (Ἡσ. μβ΄ ϛ΄) τοῦτο λέγω ἑρμηνεύων λέγει: Οἱ γὰρ καταπατοῦντες τὰ γήϊνα, καὶ ὑπεράνω αὐτῶν γενόμενοι, ἄξιοι τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος μεμαρτύρηνται (κεφ. κβ.΄ περὶ τοῦ ἁγίου Πνεύματος). Ὅλη γὰρ ἡ ἀφορμὴ διὰ τὴν ὁποίαν τὴν σήμερον ἡμεῖς οἱ χριστιανοὶ καὶ μοναχοὶ δὲν ἀξιωνόμεθα τῶν χαρισματων τοῦ ἁγίου Πνεύματος εἶνε, διατὶ ἔχομεν προσπάθειαν καὶ ἀγάπην εἰς τὰ φθαρτὰ καὶ πρόσκαιρα πράγματα τοῦ παρόντος κόσμου, καὶ διατὶ θαυμαζο-



μεν αὐτά, καὶ δὲν τὰ καταφρονοῦμεν καθὼς εἶνε τὸ πρέπον. Ὅθεν καθὼς εἷς φρόνιμος πατὴρ ἐν ὅσῳ βλέπει τὰ παιδία του, πῶς θαυμαζουσι τὰ παραμικρὰ καὶ εὐτελῆ πραγματα, ὡσὰν τὰ κουλούρια, ψηφίδας, παίγνια, καὶ τὰ ὅμοια, δὲν ἐμπιστεύεται να δώσῃ εἰς αὐτὰ τὸν πλοῦτόν του, διατί, μὴ ἠξεύροντα τὶ ἀξίζει, καταφρονοῦσιν αὐτὸν καὶ τὸν χάνουσιν· ἀλλὰ τότε τὸν δίδει, ὅταν ἰδῇ αὐτὰ πῶς ἀπέκτησαν νοῦν ἀνδρικόν, καὶ καταφρονοῦσι τα παιδικα πραγματα, τοιουτοτρόπως καὶ ὁ Θεός, δὲν ἐμπιστεύεται νὰ δώσῃ εἰς ἡμᾶς τὸν πλοῦτον τῶν χαρισματων του· διατὶ βλέπει ἡμᾶς πῶς ὡσὰν τὰ ἄγνωστα παιδάρια, θαυμάζομεν τὰ προσωρινὰ καὶ μάταια ταῦτα, καὶ δὲν ἀγαποῦμεν ἐκεῖνα τὰ πνευματικὰ καὶ οὐράνια, ὡσὰν ἄνδρες τέλειοι. Διατὶ ἂν μᾶς τὸν δώσῃ καταφρονοῦμεν αὐτόν, καὶ εὐκόλως τὸν χάνομεν, καὶ ἐντεῦθεν κολαζόμεθα περισσότερον. Ἔτσι τὸ ἀποφασίζει ἡ εὔλαλος καὶ ᾠδικὴ γλῶσσα τοῦ Χρυσοστόμου «ὁ τὰ παρόντα θαυμαζων, οὐκ ἂν ἀξιωθείη τῆς τῶν μελλόντων θεωρίας ποτέ· ὁ δὲ τούτων ὑπερορῶν, καὶ οὐδὲν ἄμεινον σκιᾶς καὶ ὀνείρατος, αὐτὰ διακεῖσθαι νομίζων. Ἐπεὶ καὶ ἡμεῖς, τότε τὸν πλοῦτον τὸν ἀνδράσι προσήκοντα, τοῖς παισὶν ἐπιδείκνυμεν τοῖς ἡμετέροις, ὅταν ἄνδρας αὐτοὺς γενομένους ἴδωμεν, καὶ τῶν παιδικῶν ὑπερορῶντας ἁπάντων· ἕως δ᾽ ἂν ἐκεῖνα θαυμάζωσιν ἀναξίους εἶναι νομίζομεν (Πρὸς Στελέχιον περὶ κατανύξεως).

Ἐπάνω δὲ εἰς ὅλα ἂς ἀναγινώσκομεν συνεχῶς τὴν ψυχωφελεστάτην καὶ γαλακτομελίρρυτον βίβλον τοῦ θεολόγου Συμεών, τὸ πρυτανεῖον τῶν ἀρετῶν, τὸ ἰατρεῖον τῶν παθῶν, τὴν ἀνακλησιν τῆς θείας χάριτος, τὴν σάλπιγγα τῆς θεώσεως, τὴν ὁδηγίαν τῆς τελειότητος, τῆς θεολογίας, τὸ ὕψος, τῆς οἰκονομίας τὸ βάθος, τῆς δημιουργίας τὸ πλᾶτος, τῆς προνοίας τὸ μῆκος τῆς νηωτικῆς φιλοσοφίας τὸ κειμήλιον, τῆς νοερᾶς προσευχῆς τὸ διδασκαλεῖον, τῶν μυστικῶν δογμάτων τὸ θησαυροφυλάκιον. Διατὶ μέσα εἰς τὴν βίβλον ταύτην, ὥσαν μέσα εἰς καθαρὸν καθρέπτην, βλέπομεν τὴν ἀσχημίαν τῆς ψυχῆς μας, τὰ πάθη τῆς καρδίας μας, τὰς κακάς μας κλίσεις, τα ἐλαττώματά μας. Καὶ ἡμεῖς ὁποῦ πρότερον ἐνομίζαμεν πῶς εἴμεθα κάποιόν τι ἐκ τῆς ἀγνωσίας καὶ οἰήσεώς μας, ἀπὸ τὴν βίβλον ταύτην, ἐμάθομεν πῶς εἴμεθα τὸ οὐδέν.

Ἡμεῖς ὁποῦ καυχώμεθα εἰς μόνας τὰς ἀρετὰς τὰς ἐξωτερικὰς καὶ σωματικάς, ἢ μᾶλλον εἰπεῖν, εἰς τὰ ἐργαλεῖα καὶ ὄργανα τῶν ἀρετῶν, ἀπὸ τὴν βίβλον ταύτην μανθάνομεν, πῶς εἴμεθα ἔξωθεν ἀπαθεῖς, καὶ ἔσωθεν ἐμπαθεῖς, ἔξωθεν μοναχοὶ καὶ ἔσωθεν κοσμικοί, ἔξωθεν χριστιανοὶ καὶ ἔσωθεν ἀντιχριστιανοί, ἔξωθεν πνευματικοί, καὶ ἔσωθεν σαρκικοί. Διατὶ δὲν ἔχομεν τὰς ἀληθινάς ἀρετάς, ὁποῖαι εἶναι αἱ ψυχικαί, καὶ αἱ πνευματικαί. Καὶ συντόμως εἰπεῖν, διὰ τῆς βίβλου τοῦ ἁγίου Συμεών, ἡμεῖς ὁποῦ πρότερον ἐφανταζόμεθα ὅτι ἐφθάσαμεν εἰς τὴν τελειότητα, μανθάνομεν πῶς δὲν ἐγγίσαμεν ἀκόμη οὐδὲν εἰς τὴν ἀρχὴν τῆς τελειότητος· καὶ ἐντεῦθεν μεμφόμεθα τὸν ἑαυτόν μας, καὶ ταπεινούμεθα, καὶ διά τῆς ταπεινώσεως ταύτης, ἴσως κάμῃ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὁ Θεὸς εἰς ἡμᾶς ἔλεος. Ἀλλ' ὦ θεοφόρε καὶ Χριστοφόρε καὶ Πνευματοφόρε πάτερ Συμεών, νέε Θεολόγε, τῶν ὁσίων τὸ καύχημα, τῶν ἱερέων τὸ σεμνολόγημα, τῶν Θεολόγων τὸ ἥδυσμα, τῆς πρακτικῆς μεθόδου τῆς νοερᾶς προσευχῆς ὁ πρῶτος διδάσκαλος, ὁ δοξάσας τὸν Θεόν, καὶ δοξασθεὶς παρὰ Θεοῦ ἐν τῇ ζωῇ σου· καὶ πολλῷ μᾶλλον δοξάσας αὐτόν, καὶ δοξασθεὶς παρ' αὐτοῦ μετὰ θάνατον ὁ ἐπίγειος ἄγγελος, καὶ οὐράνιος ἄνθρωπος, ἡ πνευματικὴ χαρὰ καὶ ψυχικὴ ἀγαλλίασις ἡμῶν τῶν ταπεινῶν σου δούλων, καὶ ἀναξίων υἱῶν, τῶν μετ' εὐλαβείας καὶ πόθου ἑορταζόντων τὴν ἱερὰν καὶ φυτοφόρον μνήμην σου· πρόσδεξαι τὸ παρὸν ἐφύμνιον, ὁποῦ σοὶ προσφέρομεν ὡς δῶρον εὐτελὲς καὶ μικρότατον, ἀντὶ τῶν πολλῶν καὶ μεγάλων χαρίτων ὁποῦ παρὰ σοῦ, καὶ τῆς σῆς ἱερολόγου βίβλου ἅπαξάπαντες ἀπηλαύσαμεν, καὶ μὴ τοῦτο κρίνῃς τῆς σῆς μεγαλοπρεπείας ἀνάξιον. Διατὶ ἀξίως νὰ ἐπαινέσωμεν ἐσένα τὸν τοιοῦτον, καὶ τηλικοῦτον Θεολόγον, πάντῃ ἀδυνατοῦμεν· καὶ εἰς μὲν τὴν παροῦσαν ζωήν, φύλαττε ἡμᾶς διὰ τῶν πρεσβειῶν σου ἀπὸ πάσης βλάβης ψυχικῆς καὶ σωματικῆς τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Δυσωπῶν ἀπαύστως τὸν ἐν τριάδι Θεόν, διὰ νὰ ἀξιώσῃ καὶ ἡμᾶς τοὺς ταπεινούς, νὰ αἰσθανθῶμεν μυστικῶς μέσα εἰς τὴν καρδίαν μας, τὰς νοερὰς ἐνεργείας καὶ σκιρτήματα, ἢ μακάρια πάθη τῆς θείας χάριτος τοῦ ἁγίου Πνεύματος, τὴν ὁποίαν φεῦ! ἀπολέσαμεν διὰ τὴν ἀμέλειαν καὶ τὰ πάθη μας! Εἰς δὲ τὴν μέλλουσαν λύτρωσαι ἡμᾶς διὰ τῶν δραστικῶν σου μεσιτειῶν, τῆς φοβερᾶς καταδίκης καὶ αἰωνίου κολάσεως, καὶ ἀξίωσον ἡμᾶς τῆς ἀϊδίου μακαριότητος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ Παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.


# Βιβλία

Εὑρισκόμενα παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Σχοινᾷ ἐν Βόλῳ, Κοραῆ 47 καὶ ἀποστελλόμενα **ἐλεύθερα ταχυδρομικῶν τελῶν.**

Ἅπασαι αἱ ἐκδόσεις τοῦ ἐν Ἀθήναις ἐκδοτικοῦ Οἴκου ἡ «Ζωή», πωλούμεναι εἰς τὴν ἰδίαν τιμὴν τοῦ ἐν Ἀθήναις βιβλιοπωλείου του.

**Θέατρον Πολιτικὸν** ὑπὸ Ν Μαυροκορδάτου, σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον Δραχ. 90.—
πανόδετον » 115.—
δερμάτινον » 140.—

(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

**Ἐγκόλπιον Χριστιανοῦ** ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα » 20.—

**Συμβουλευτικὸν ἐγχειρίδιον** ὑπὸ Νικοδήμου Ἁγιορείτου ἄδετον » 50.—
πανόδετον » 70.—

**Ἱστορία Βαρλαὰμ καὶ Ἰωάσαφ** ὑπὸ Ἰωάν. Δαμασκηνοῦ ἄδετον » 40.—
πανόδετον » 60.—

**Ἱστορία τῆς ἐν Πάρῳ Ι. Μονῆς Λογγοβάρδας** ὑπὸ Ἐμμ. Σαγκριώτου Γυμνασιάρχου » 35.—

**Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου** Πηγῆς ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 20.—

**Χριστοήθεια** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 12.—

**Ἀκολουθία Ἁγίου Τρύφωνος** ὑπὸ Γερασίμου μοναχοῦ Μικραγιαννανίτου » 7.—

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ἀκολουθία Ἁγίου Γερασίμου** τοῦ ἐκ Λεοντταρίου τῆς Πελοποννήσου καταγομένου καὶ ἐν τῇ Ἱ. Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος » 10.—

**Ἱστορικὴ μελέτη τῆς Ἱ. Μονῆς Ἁγίου Παντελεήμονος** ὑπὸ Δανιὴλ μοναχοῦ » 15.—

**Ἀντιρρητικόν.** Βιβλίον ἀσχολούμενον μὲ τὰ ἡμερολογιακά, ὑπὸ Δωροθέου Καρακαλλινοῦ μοναχοῦ » 8.—

**Ἐκκλησιαστικοὶ Νόμοι.** Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ, χρησιμώτατον δι' ὅλους τοὺς Ἐκκλησ. ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια » 45.—

**Ἑρμηνεία.** τῶν 14 ἐπιστολῶν καὶ τῶν 7 Καθολικῶν τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετοι » 280.—
δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 530.—

Ἡ **Εὐτυχία ἐν τῇ ἀρετῇ.** ὑπὸ Στεφάνου Παπαδημητρίου » 25.—

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρησκευτικὰ βιβλία

"ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,, ΑΡ. 3-4

# ΑΚΟΛΟΥΘΙΑ
## τοῦ Ἁγίου Ἱερομάρτυρος
# ΜΟΔΕΣΤΟΥ
## ΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

Γραφείσης τῷ αψξβ' διὰ χειρὸς
ΚΥΡΙΛΛΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ
Σταλείσης δὲ ἡμῖν πρὸς ἐκτύπωσιν ὑπὸ τοῦ Μοναχοῦ τῆς ἐν τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθω Ἱερᾶς Μονῆς τῆς Μεγίστης Λαύρας
ΣΠΥΡΙΔΩΝΟΣ ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται
ΥΠΟ
ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ

ΔΕΚΕΜΒΡΙΟΣ 1936



1936
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

'Απαγορεύεται αὐστηρῶς ἡ ἀνατύπωσις

# ΜΗΝΙ ΔΕΚΕΜΒΡΙΩι ΙΗ΄

Μνήμην ἐπιτελοῦμεν τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Ἱερομάρτυρος καὶ θαυματουργοῦ Μοδέστου, ἐπισκόπου Ἱεροσολύμων.

## ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.

### Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Τὸ Πνεῦμα τὸ ἅγιον ἐν σοί, καθαρῶς ἐσκήνωσε, θαυματουργὸν ἐνδειξάμενον, ἐπῆλθε γὰρ ἐν σοί, τῶν θαυμάτων πλοῦτος, καὶ ἐν τοῖς βοσκήμασι, τὴν χάριν ἐπεδίδως θαυμάσιε, διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος. δὶς

Μοδέστου τὴν μνήμην οἱ πιστοί, τοῦ Ἱερομάρτυρος, δεῦτε τιμήσωμεν ᾄσμασι, καὶ εὐφημήσωμεν, ἐπαξίως πάντες, πρὸς αὐτὸν προστρέχοντες, τὴν χάριν ἐξ αὐτοῦ ὅπως λάβωμεν, Χριστῷ πρεσβεύοντος, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Πανήγυριν ἄγωμεν φαιδράν, τοῦ Ἱερομάρτυρος, Μοδέστου πάντες, ὦ φιλέορτοι, ἐδόθη γὰρ αὐτῷ, τῶν θαυμάτων πλεῖστα, ἰατρεύειν ἄριστα, τὰ κτήνη ἐκ παντοίου νοσήματος, Χριστῷ πρεσβεύειν δέ, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

### Δόξα. Ἦχος δ΄.

Τὴν τῶν θαυμάτων σου πληθύν, πατὴρ ἔνδοξε τῶν θείων, ἐν Ἱεροσολύμοις Πατριαρχῶν, καὶ τῶν ἁγίων μαρτύρων τὸ καύχημα, θαυματουργὲ Μόδεστε, τίς ἐξειπεῖν δυνήσεται ; ταῦτα καὶ Ἄγγελοι ὑπερεθαύμασαν, καὶ ἄνθρωποι ἐδόξασαν, καὶ δαίμονες ἔφριξαν, ὁρῶντές σε, πασῶν τῶν κολάσεων ἀνώτερον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀλλ' ὦ πανάγιε Πάτερ, τῶν Ἱερομαρτύρων τὸ κλέος, ὡς ἔχων παρρησίαν πρὸς Θεόν, μὴ παύσῃ ἱκετεύων, ὑπὲρ ἡμῶν τῶν ἐκτελούντων τὴν μνήμην σου, καὶ διεξιόντων τὰ σὰ ὑπὲρ φύσιν θαύματα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Ἐκ παντοίων κινδύνων.**

**Εἰς τὸν στίχον. Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.**

Μόδεστος ὁ ποιμήν, τῶν Ἱεροσολύμων, Πατριαρχῶν ἡ δόξα καὶ κλέος τῶν μαρτύρων, ἐνθέως μεγαλύνεται.

**Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.**

Πᾶσα ἐκκλησιῶν, πληθὺς τῶν μοναζόντων, χριστιανῶν ἁπάντων ὑμνείτω ἐπαξίως τὸν θεῖον ἀεὶ Μόδεστον.

**Στιχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

Ὅλη ἡ τοῦ σατᾶν, ἡ ἔφοδος ᾐσχύνθη, τῶν εἰδωλολατρούντων καὶ Ἰουδαϊζόντων, μαρτύρων ἀγαλλίαμα.

**Δόξα. Ὅμοιον.**

Οἶκος ὅλος Θεοῦ, ὁ Μόδεστος ἐφάνη, δι' ἀρετὴν τελείαν καὶ δρόμον μαρτυρίου, ἐν οἷς τὸ θεῖον τέρπεται.

**Καὶ νῦν ὅμοιον.**

Δέσποινα ἀγαθή, τὴν δέησιν προσδέχου, τῶν σὲ παρακαλούντων καὶ τούτους βασιλείας, τοῦ σοῦ υἱοῦ ἀξίωσον.

Ἀπολυτίκιον. **Καὶ τρόπων μέτοχος καὶ θρόνων διάδοχος.**

**Δόξα. Καὶ νῦν. Θεοτοκίον. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.**

Καὶ ἀπόλυσις.

---

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος β'. Ποίοις εὐφημιῶν στέμμασι.**

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν Ἱεράρχην, τὸν τῆς εὐσεβείας ὑπέρμαχον, καὶ τῆς ἀσεβείας ἀντίπαλον· τῆς ὀρθοδοξίας τὸν φωστῆρα· τὸν μέγαν, Ἱεροσολύμων μυστολέκτην τε· καὶ θεῖον, τοῦ μαρτυρίου ἀγαλλίαμα, τῶν ὀρθοδόξων



τὸν στῦλον, τοῦ φωτὸς τὸν λύχνον, τὸν ἀστέρα τὸν φαεινόν, τὸν τὴν κτίσιν καταλαμπρύναντα, θαυμάτων ἀκτῖσι τὸν Μόδεστον. δὶς

Ποίοις πνευματικοῖς κάλλεσι, στεφανώσωμεν μαρτύρων τὸ κλέος, καὶ ἱεραρχῶν τὸ ἐγκαλλώπισμα, τῶν ἱερομαρτύρων τὸ ἀκροθήνιον, καὶ τῆς οἰκουμένης τὸν λαμπτῆρα· τὸν μέγαν, θαυματουργὸν τὸν θεῖον Μόδεστον· τοῖς ζώοις εὐρωστίαν τὸν παρεχόμενον, τοῦτον δὲ ὄντως ἀξίως, ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος

Δεῦτε οἱ γηγενεῖς ᾄσμασιν, ἐπαινέσωμεν Μόδεστον θεῖον, τῶν ἱεραρχῶν τὸ θεῖον ἔρεισμα, καὶ τῶν ἀθλητῶν τὸ σεμνολόγημα· τῶν χριστιανῶν τὸ μέγα τεῖχος· τὸν μέγαν θαυματουργὸν καὶ ἑτοιμότατον, ἀνθρώποις καὶ κτήνεσι χαριζόμενον, τὴν ὑγείαν καὶ εὐρωστίαν, ἐν τῇ αὐτοῦ μνήμῃ, καὶ πταισμάτων ἄφεσιν, παρὰ Χριστοῦ, καὶ μέγα ἔλεος.

**Ἕτερα. Ὡς γενναῖον ἐν Μάρτυσι.**

Καταλείψας τὰ πρόσκαιρα, ἐκ παιδός, ὦ πανίερε, τῷ Χριστῷ προσέδραμες, ἐνθεώτατα, καὶ ἀνυψώθης τοῖς θαύμασι, μυρίοις πανόλβιε, καὶ εὐχῇ τὰς τοῦ ναοῦ, θύρας πάσας διήνοιξας, τοῦ Κυρίου σου, ὑπὲρ οὗ καὶ κολάσεις ἀφορήτους, καθυπέμεινας γενναίως, σὺ ὦ πανάγιε Μόδεστε. δὶς

Ὑφουμένην ταπείνωσιν, ἔχων πάτερ τὸν Κύριον, ἀνυψώθης ἄριστα, θεῖε Μόδεστε, ἀρχιερέων εὐπρέπεια, μαρτύρων τε καύχημα, παραδόξως ἐκ Θεοῦ, ἰαμάτων χαρίσματα κατεπλούτησας, ἰατρεύειν τοὺς βόας, καὶ ἀνθρώπους, συμπαθὴς ὡς ἐλεήμων, θεόφρον Μόδεστε ἔνδοξε.

Ῥοῇ πάτερ τοῦ αἵματος, τοῦ ἁγίου σου ἔπνιξας, εἴδωλα παμβέβηλα, καὶ τοὺς ἄφρονας, ταῦτα τιμῶντας ὑπήνεγκας, κολάσεις μυρίας τε, καὶ ἐδέξω ἐκ Θεοῦ, τὸν τῆς νίκης σου στέφανον, ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν παναοίδιμον μνήμην σου.

**Δόξα. Ἦχος πλ. β'.**

Ἱεραρχῶν τὴν καλλονήν, καὶ τῶν μαρτύρων τὸ κλέος, τῶν ἱερομαρτύρων τὸ καύχημα, τὴν βρύσιν τῶν θαυμάτων, τῆς οἰκουμένης τὸν ἀειλαμπῆ φωστῆρα, τῶν ἀλόγων ζώων, τὸν ἑτοιμό-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τατον ἰατρευτὴν καὶ τῶν ἀνθρώπων πρέσβυν πρὸς Κύριον, τὸν μέγαν Μόδεστον, δεῦτε εὐφημήσωμεν ἐτησίως, ὦ φιλέορτοι. Οὗτος γὰρ τῇ ἐνθέῳ πολιτείᾳ, τὸ ὀπτικὸν τῆς ψυχῆς καθηράμενος, ὄργανον γέγονε τοῦ ἁγίου Πνεύματος· καὶ ἐδέξατο χάριν ἀένναον, τοῦ ἰᾶσθαι τὰς νόσους, ἀλόγων καὶ ἀνθρώπων, ἱεράρχης γεγονώς, καὶ μάρτυς Χριστοῦ παναληθέστατος. Αὐτῷ καὶ ἡμεῖς βοήσωμεν, ἱερομάρτυς μέγιστε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Καὶ νῦν. Ὁ αὐτός. Θεοτοκίον

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾿ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾿ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, Σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

### Παροιμιῶν τὸ ἀνάγνωσμα.

Μνήμη δικαίου μετ᾿ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ



χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί· ἀθανασία γὰρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις, καὶ ἀρεστὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν, ὦ ἄνδρες, σοφίαν, καὶ ποθήσατε καὶ παιδευθήσεσθε. Ἀρχὴ γὰρ αὐτῆς ἀγάπη, καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ᾿ ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής· καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις, καὶ ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία· ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον, ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλους Θεοῦ καὶ Προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δὲ ἐστι ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν· φωτὶ συγκρινομένη, εὑρίσκεται προτέρα. Αὕτη τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐρρύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς, ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντὸς ἐστιν ἡ εὐσέβεια, καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ᾿ οὐ μὴ παρελεύσεται πονηρούς ἐλέγχουσα ἡ δίκη. Εἶπον γὰρ ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς. Καταδυναστεύσωμεν τὸν δίκαιον, μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτου πολυχρονίους· ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος· ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μακαρίζει ἔσχατα δικαίων. Ἰ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

δωμεν οὖν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ, οὐδὲ ἔκριναν, ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων καὶ θανάτου ἐξουσίαν, καὶ σῴζων ἐν καιρῷ θλίψεως καὶ ῥυόμενος ἐκ παντὸς κακοῦ· ὁ οἰκτίρμων καὶ ἐλεήμων, καὶ διδοὺς τοῖς ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

**Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.**

Κεφ. ΜΓ΄. 9 Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ καὶ ἀκουσάτωσαν. Γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι· Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ. **Ἦχος α΄.**

Λαμπρύνου, λαμπρύνου καὶ ἀγάλλου πόλις Ἱερουσαλήμ, τοιοῦτον ἔχουσα ποιμένα ὅσιον, ἄκακον, καὶ τὸ αἷμα προθύμως ἐκχέοντα, ὑπὲρ τῆς ὁμολογίας Χριστοῦ τοῦ Θεοῦ· Εὐφραίνου καὶ πᾶσα τῶν πιστῶν ἡ ἐκκλησία, ὡς ἔχουσα ἀληθῶς Ἱεράρχην, μάρτυρα στεφηφόρον, καὶ θαυματουργὸν ἄριστον, τὸν μέγαν Μόδεστον τὸν πρεσβευτὴν τῶν ψυχῶν ἡμῶν.

**Ὁ αὐτός.**

Ὁ κλεινὸς καὶ στεῤῥὸς Μόδεστος, τὸ μέγα κλέος τῶν ἱερέων, καὶ τῶν ἀθλητῶν τὸ στήριγμα, ἐν τῇ ἐνδόξῳ



μνήμῃ αὐτοῦ, τοὺς πάντας συγκαλεῖται πρὸς εὐωχίαν πνευματικήν· τέθηκε γὰρ πανδαισίαν, τὰ ὑπὲρ φύσιν αὐτοῦ θαύματα, κατατρυφῆσαι δαψιλῶς, καὶ κορεσθῆναι ἐνθέως. Δεῦτε οὖν φιλέορτοι, πανηγυρίσωμεν φαιδρῶς, καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν. Μακαριώτατε Ἱερομάρτυς, ὡς ἔχων πρὸς αὐτὸν παῤῥησίαν, μὴ ἐλλείποις πρεσβεύειν Χριστῷ τῷ Θεῷ, ὑπὲρ οὗ τὸ αἷμα ἐξέχεας, ὑπὲρ ἡμῶν τῶν σῶν ἱκετῶν, τῶν ἐν πίστει καὶ πόθῳ ἐκτελούντων τὴν πανάοιδιμον μνήμην σου, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἦχος β΄.**

Σὺν τοῖς ἀγγέλοις καὶ ἡμεῖς, ὦ φιλέορτοι σήμερον, φαιδρῶς πανηγυρίσωμεν, ἐπὶ τῇ μνήμῃ τοῦ Ἱερομάρτυρος Μοδέστου. Ὡς γὰρ ἀνέλαβον ἐκεῖνοι τὸν ἐφάμιλλον ταῖς ἀρεταῖς, οὕτω καὶ ἡμεῖς τῶν ἰαμάτων ποταμοῖς, οἱ πιστῶς προστρέχοντες τῷ πανσέπτῳ αὐτοῦ τεμένει, καὶ τῶν πταισμάτων ἄφεσιν παρὰ τοῦ δοξάσαντος τοῦτον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν εἰρήνην καὶ μέγα ἔλεος.

**Ἦχος γ΄.**

Κροτήσωμεν χεῖρας, ἀλαλάζοντες ἐν Θεῷ, ἐπινίκιον ὕμνον ᾄδοντες τῷ νικοποιῷ ἡμῶν Κυρίῳ τῷ παρασχόντι ἡμῖν τὸν μέγιστον ἐν Ἱεράρχαις καὶ μάρτυσι Μόδεστον, τῶν νόσων ἡμῶν ἀκέστορα, καὶ πρεσβευτὴν πρὸς αὐτόν, ὑπὲρ τῶν πίστει καὶ πόθῳ, τὴν παναγίαν αὐτοῦ καὶ πάμφωτον ἑορτὴν ἐκτελούντων.

**Δόξα. Ἦχος δ΄.**

Ὅτε τὴν αὐτοῦ ὁ Κύριος, καὶ παντεπόπτης Χριστὸς ὁ Θεὸς ἡμῶν, πόλιν τὴν ἁγίαν ἠρέτισεν, ἐπὶ νομὰς ζωηφόρους πορεύεσθαι, θαύμασιν ἐφανέρωσε τοῦτο, πατὴρ ἡμῶν Μόδεστε· τὰς γὰρ πύλας τοῦ ναοῦ, εὐχῇ μόνῃ σὺ διήνοιξας, καὶ τοῖς πᾶσι παρέστησας, ὅτι σὺ ὁ μετὰ Θεὸν ποιμὴν τοῦ Ἰσραήλ. Ὅτε δὲ πρὸς αὐτὸν ἠθέλησε λαβεῖν σε παμμακάριστε, διὰ μαρτυρίου ηὐδόκησε, ὡς δόξαν εὑρεῖν σε πλείονα παρ' αὐτῷ, καὶ τύπου γενέσθαι τῆς καρτερίας. Ὅθεν τῷ σὲ διπλῷ στέφει στεφανώσαντι, ἱεραρχίας καὶ ἀθλήσεως, ὡς παῤῥησίᾳ παριστάμενος, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Καὶ νῦν Θεοτοκίον**

Ρῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν, μήτηρ Χριστοῦ τοῦ Θεοῦ, τὴν γὰρ ἐλπίδα πᾶσαν ἐπὶ σοὶ κεκτήμεθα, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Στιχηρὰ Προσόμοια

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Ἱερέων ὁ σύλλογος, μοναζόντων τὸ σύστημα, δεῦτε εὐφημήσωμεν θείοις ᾄσμασιν, τὸν Ἱερόαθλον Μόδεστον, τὸ ἄνθος τῆς φύσεως, τῶν πιστῶν τὴν καλλονήν, καὶ τὸν στύλον τῆς πίστεως τὸν ἀκράδαντον, τὸν φυλάττοντα πάντας ἐκ παντοίων, νοσημάτων καὶ ποικίλων βροτοὺς καὶ κτήνη ἐκ θλίψεων.

**Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.**

Τὸν ποιμένα τὸν ἄριστον, Ἐκκλησίας ἑδραίωμα, τὸν Ἱερομάρτυρα θεῖον Μόδεστον, ᾀσματικῶς ἀνυμνήσωμεν, βοῶντες γηθόμενοι, ἡμῶν σκέπη κραταιά, μὴ παρίδῃς τοὺς δούλους σου, ἀλλὰ πρόφθασον, ἐξελέσθαι κινδύνων σοὺς ἱκέτας, καὶ παντοίας ἀλγηδόνας, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου.

**Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.**

Ἱερέων ἐν χρίσματι, καὶ μαρτύρων ἐν αἵματι, τῷ Θεῷ προσήγαγες τελεώτατα, σαυτὸν ὡς θῦμα εὐπρόσδεκτον, ἀοίδιμε Μόδεστε, ἱερέων ἡ κρηπίς, καὶ ἡμῶν τὸ προσφύγιον, τῶν τελούντων σου, τὴν πανσέβαστον μνήμην ἐτησίως, καὶ τιμώντων θείοις ὕμνοις, τὴν φωταυγῆ καὶ πανσέβαστον.

**Δόξα ἦχος πλ. α΄.**

Μόδεστε πανόλβιε τῶν ἱερομαρτύρων κλέος καὶ ἑδραίωμα. Σὺ τὴν χάριν τῶν θαυμάτων, οὐρανόθεν κομισάμενος, καὶ τὴν πλάνην τῶν εἰδώλων στηλιτεύσας ἐν τοῖς ἄθλοις σου, ἀρχιερέων καὶ μαρτύρων ὑπάρχεις τὸ καύχημα, παμμακάριστε πάτερ. Παρρησίαν ὡς ἔχων πρὸς Χριστόν, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν Θεοτοκίον. Μακαρίζομέν σε Θεοτόκε Παρθένε.**

Ἀπολυτίκιον. **Καὶ τρόπων μέτοχος.** (δὶς) καὶ τὸ Θεοτόκε παρθένε.

Ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἀπόλυσις.



Ἕτερον ἀπολυτίκιον. **Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ὁσίως τὸν βίον σου διαπεράσας σοφέ, ποδήρει κεκόσμησαι ἱερωσύνης φαιδρῷ, πανένδοξε Μόδεστε, ὅθεν καὶ ἐναθλήσας, προθυμώτατα πάτερ, νῦν ἐν ἀγαλλιάσει τῷ Χριστῷ συναγάλλῃ, πρεσβεύων ὑπὲρ πάντων ἡμῶν τῶν εὐφημούντων σε.

**Δόξα.** Ἕτερον. **Ἦχος γ΄. Θείας πίστεως.**

Ζεούσῃ πίστεως ὁμολογίᾳ, πλάνην ἔσβεσας κακοδοξίας, καὶ στηρίξας τὴν πίστιν τὴν ἔνθεον, καὶ ὁλοκαύτωμα θεῖον γενόμενος, ἀγγέλων ὁμοδίαιτε, θαυματουργίας δροσίζεις τὰ πέρατα, Πάτερ Μόδεστε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Καὶ νῦν.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου, καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Τὰ λοιπὰ τοῦ Ἑσπερινοῦ καὶ ἀπόλυσις.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα.

**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Θαυμάσιος φωστήρ, ἀληθῶς ἀνεδείχθης, ἐκλάμπων τῷ φωτί, εὐσεβείας παμμάκαρ, φωτίζεις γὰρ ἅπαντας, τῶν θαυμάτων λαμπρότησιν· ὅθεν σήμερον τὴν παναγίαν σου μνήμην ἑορτάζοντες, τῶν νοσημάτων τὴν λύσιν, εὐχαῖς σου λαμβάνομεν.

**Δόξα τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων, σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βο-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὴν β΄. στιχολογίαν. Κάθισμα.

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τὴν πανήγυριν δεῦτε τοῦ θείου κήρυκος, τοῦ ἐκδιδάξαντος πάντας τὴν σωτηρίαν ἡμῶν, εὐφημήσωμεν φαιδρῶς ἀγαλλιώμενοι, ὅτι ὡδήγησε πολλούς, προσελθεῖν εἰς τὸν Χριστόν, καὶ θάνατον καταδέξαι, καὶ κερδῆσαι τὴν βασιλείαν ἐν τῇ ἐνδόξῳ παρουσίᾳ αὐτοῦ.

**Δόξα. Ἕτερον. Ὁ ὑψωθείς.**

Ταῖς τῶν αἱμάτων σου βαφαῖς ἐπιχρώσας, τῆς ἱερωσύνης τὴν στολὴν ἐνεδύσω, οἵαν πορφύραν ἔντιμον, ὦ Μόδεστε, ὅθεν καὶ κατῴκησας, σὺν Χριστῷ εἰς τὰ ἄνω, ἄληκτα βασίλεια, τοῖς σοῖς πόνους Θεόφρον, καὶ τοὺς στεφάνους εἴληφας σοφέ, διὸ ὑμνούντων ἡμῶν πάντων μέμνησο.

**Καὶ νῦν Θεοτοκίον.**

Οὐ σιωπήσομεν ἀεὶ Θεοτόκε, τοῦ εὐχαρίστως ἀνυμνεῖν ἐκ καρδίας τὰ σὰ ἐλέη Δέσποινα οἱ δοῦλοί σου, κράζοντες καὶ λέγοντες, Παναγία Παρθένε, πρόφθασον καὶ λύτρωσαι, ἐξ ἐχθρῶν ἀοράτων, καὶ ὁρατῶν καὶ πάσης ἀπειλῆς, σὺ γὰρ ὑπάρχεις ἡμῶν ἡ ἀντίληψις.

Μετὰ **τὸν πολυέλαιον.** Κάθισμα.

**Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον.**

Ὡς ἀκτίνας ἐκπέμπεις Πάτερ ἡμῖν, τῶν θαυμάτων τὴν ἔλλαμψιν τηλαυγῶς, ἡ χάρις γὰρ τοῦ Πνεύματος, ἀποστόλους ὡς ἔπλησε. καὶ σαφῶς σε μάκαρ, ὦ πανόλβιε Μόδεστε, ὡς ἐκείνων μύστην, καὶ Χριστοῦ θεῖον μάρτυρα. ὅθεν δυσωποῦμεν, μὴ βραδύνῃς παμμάκαρ ἡμᾶς πάσης θλίψεως, ὡς ταχέως λυτρώσασθαι, τῷ πρὸς Θεὸν παρρησίᾳ σου· πρεσβεύων ἀπαύστως Χριστῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

**Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.**

Ὡς Παρθένον καὶ μόνην ἐν Γυναιξί, σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκὶ πᾶσαι μακαρίζομεν, γενεαὶ τῶν ἀνθρώπων, τὸ γὰρ πῦρ ἐσκήνωσεν, ἐν σοὶ τῆς Θεότητος, καὶ ὡς βρέφος θηλάζεις, τὸν Κτίστην καὶ Κύριον, ὅθεν τῶν ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζομεν, τὸν πανάγιον τόκον σου, καὶ συμφώνως βοῶμέν σοι. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἀνυμνοῦσιν ἀξίως τὴν δόξαν σου.



Οἱ ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄. ἤχου.

Προκείμενον. Ἦχος δ΄.

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

**Τὸ Πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλιον τοῦ Χρυσοστόμου.**

**Δόξα· ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν· ταῖς τῆς Θεοτόκου·**

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ Ἰδιόμελον.

**Ἦχος πλ. β΄.**

Μακαριώτατε Πάτερ, τῶν Ἱεραρχῶν καὶ τῶν μαρτύρων, τὸ φαιδρὸν ἀγαλλίαμα, ὁ ποιμὴν ὁ καλὸς καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ, ὁ στεφανηφόρος μάρτυς, ὁ τεθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων. Αὐτὸς καὶ νῦν πανεύφημε, Ἱερομάρτυς Μόδεστε, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα οἱ Κανόνες.

**Ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς ϛ΄.**

**Ἦχος πλ. δ΄ Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν** καὶ τοῦ ἁγίου οἱ δύο εἰς η΄

Ὁ κανὼν τοῦ Ἁγίου.

**Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν Ἠπείρῳ πεζεύσας.**

Θρόνῳ τῆς δόξης Κυρίου παρεστηκώς, σὺν ἀγγέλων τάγμασιν, πάτερ Μόδεστε σοφέ, τοὺς ὑμνοῦντας πόθῳ σε ἀεί, διαλύτρωσαι κακῶς ταῖς ἱκεσίαις σου.

Ἐκλελεγμένος ἐκ βρέφους σὺ τῷ Θεῷ, ἀνετέθης Μόδεστε, ὥσπερ πάλαι Σαμουήλ, καὶ τῷ θείῳ Πνεύματι χρισθείς, ὡς σοφὸς ἀρχιερεύς, λαὸν ἐποίμανας.

Ἱερουργὸς μυστηρίων τῶν τοῦ Χριστοῦ, γεγονὼς ἐλάμπρυνας τὴν στολὴν τὴν ἱεράν, μαρτυρίου αἵματι σοφέ, ἐν σταδίῳ καρτερῶς ἀγωνισάμενος.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον.**

Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγών, Θεὸς Λόγος Πάναγνε, ἐξ ἀσπόρου σου γαστρός, ὑπὲρ νοῦν σεσάρκωται διό, Θεοτόκε οἱ πιστοὶ ἀεὶ δοξάζομεν.

Ἕτερος κανών· οὗ ἡ ἀκροστοιχίς.

«Μόδεστον ὑμνῶ τὴν βρύσιν τῶν θαυμάτων».

**Ὠδὴ α΄. Ἦχος α΄. Χριστὸς γεννᾶται δοξάσατε.**

Μοδέστου δεῦτε τιμήσωμεν, τοῦ μάκαρος τὴν μνήμην θεόφρονες καὶ τούτου λαμπρῶς κροτήσωμεν, ἀγῶνάς τε καὶ ἄθλους, δι᾿ ὧν διπλοῦς, εἴληφε στεφάνους, ζωηφόρῳ δεξιᾷ καταστεφόμενος.

Ὁ πάντα φέρων τῷ ῥήματι, καὶ πάντα προειδὼς πρὸ γενέσεως, καὶ σοῦ τὴν ψυχὴν εἰργάσατο, παντοίων χαρισμάτων χωρητικήν, τοῦ σεμνοῦ σου τρόπου, τὴν ἀρίστην ἀγωγὴν ἀποδεξάμενος.

Δεκτὴν θυσίαν προσήνεγκας, καὶ ἄμωμον σαυτὸν ἱερώτατε στολὴν ἐπιχρώσας αἵματι, τῆς ἀρχιερωσύνης, ὅθεν Θεῷ, νῦν ἐν τοῖς ὑψίστοις, παρεστὼς ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε.

**Θεοτοκίον.**

Ἐκ σοῦ τεχθῆναι ἠνέσχετο Θεόνυμφε ἁγνὴ ὁ προάναρχος, ὁ πρὶν ἐκ χοὸς τὸν ἄνθρωπον, Παρθένε πλαστουργήσας, ὃν ἐκτενῶς, Πάναγνε δυσώπει, λυτρωθῆναι πειρασμῶν τοὺς ἀνυμνοῦντάς σε.

Καταβασία. **Χριστὸς γεννᾶται.**

**Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.**

Νοὸς στερρότητι σοφέ, ὁπλισάμενος χαίρων, τὴν ὁδὸν διανύεις, τοῦ μαρτυρίου σαυτόν, ἐθελουσίως προδούς, τοῖς ζητοῦσι, Μόδεστε πανόλβιε.

Μόδεστον πάντες οἱ πιστοί, εὐφημήσωμεν ὕμνοις, ὡς κηρύξαντα πᾶσι τὸν Χριστὸν δημιουργόν, καὶ ὑπὲρ αὐτοῦ καρτερῶς μαρτυρῆσαι, ὄντως ἐκλεξάμενοι.

Οὐκ ἔστιν ἄλλος ὡς σύ, πλὴν τὴν ἀρχιερωσύνην, λαμπροτέραν εἰργάσας, τῇ πορφυρίδι αὐτοῦ, αἱμάτων καρτερικῶς, ἐναθλήσας, Μόδεστε μακάριε.



**Θεοτοκίον.**

Δεδοξασμένα περὶ σοῦ, ἐλαλήθη Παρθένε, γενεαῖς γενεῶν τε τὸν γὰρ Κτίστην τοῦ παντός, τεκοῦσα ἄνευ σπορᾶς καὶ Παρθένος πάλιν σὺ διέμενες.

Ἄλλος. **Τῷ πρὸ τῶν αἰώνων.**

Στῶμεν ἐπαξίως, καὶ λαμπρῶς εὐφημήσωμεν Μόδεστον νῦν, τὸν τῶν εἰδώλων καθαιρέτην, καὶ μαρτύρων ἀλείπτην, πιστῶν φύλακά τε μέγιστον, καὶ ἐν κινδύνοις καὶ νόσοις ἀεί, ῥύστην ἑτοιμότατον.

Τέτρωται καρδίαν, τοῖς ἐλέγχοις βαλλόμενος τύραννος· τοῦ ἱεράρχου καὶ αἰσχύνῃ, καλυφθεὶς τῷ προσώπῳ, θυμῷ ζέσας διεπρίετο, καὶ ταῖς βασάνοις ἐκτρίψαι φυσῶν, μάτην ἐφρυάττετο.

Ὄντως ἀνεδείχθης, ὥσπερ ἄκμων σὺ Πάτερ ἀνάλωτος, ἐπιφοραῖς ταῖς τῶν βασάνων, μὴ καμπτόμενος ὅλως, Θεοῦ ἄνωθεν φρουροῦντός σε, καὶ ἐν ἀπίστοις ὡς δοῦλον αὐτοῦ, θαυμαστῶς δοξάζοντος.

**Θεοτοκίον.**

Νέον οὐρανόν σε, ὁ τεχθεὶς ἐκ γαστρός σου Πανάμωμε, ἀνέδειξεν ὁ γὰρ ἐκείνους, μὴ χωρούμενος ὅλως, ἐν σῇ μήτρᾳ κατεσκήνωσεν, ὃν ἐξιλέωσαι πᾶσιν ἡμῖν, τοῖς ἀνευφημοῦσί σε.

Καταβασία: **Τὸ πρὸ τῶν αἰώνων.**

Κάθισμα. Ἦχος δ΄. **Ὁ ὑψωθείς.**

Σοῦ τὸν Σωτῆρα ὁλικῶς ἀγαπήσας, τὸν ἐν τῷ ξύλῳ διὰ σὲ τανυθέντα, τοὺς τυραννοῦντας ἤνεγκας, στερρὲ καρτερῶς, πλάνην τὴν καχέσπερον, νουνεχῶς ἀποκλίνας, ὅθεν θεῖε Μόδεστε, καὶ αὐτὸς σὲ δοξάζει, ἐν οὐρανοῖς ἀξίως καὶ ἐν γῇ, διὸ καὶ σκέποις τοὺς σὲ ἑορτάζοντας.

Δόξα. **Τὴν ὡραιότητα.**

Ἐν τῇ ἐνθέῳ σου ζωῇ θεόσοφε, πιστοὺς ἐφώτισας, λόγοις καὶ θαύμασι, καὶ ἐν ἀθλήσει καρτερῶν, τοὺς τυράννους ἐξέπληξας, ὅθεν καὶ ἠξίωσας, δωρεῶν τῶν τοῦ Πνεύματος, πᾶσι νέμειν ἴασιν, τοῖς ἀνθρώποις καὶ κτήνεσι, διό σου θεῖε Μόδεστε, τὴν μνήμην τελοῦντες, τὸν Σωτῆρα δοξάζομεν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Καὶ νῦν.**

Χαρᾶς πεπλήρωνται, πάντα τὰ πέρατα, ἡ Θεοτόκος γάρ, γεννᾶν ἐπείγεται, τὸν βασιλέα τοῦ παντός, ὢ θαύματος ἀνεκφράστου, ἄρχεται ὁ ἄναρχος, καὶ σαρκοῦται ὁ ἄσαρκος, σπήλαιον εἰσδέχεται, τὸν συνέχοντα ἅπαντα· ἡ Βηθλεὲμ ἀγάλλου καὶ χόρευε, ἡ Κτίσις ἡμέραν προεόρτιον.

**Ὠδὴ δ΄. Χριστός μου δύναμις.**

Ἐχθρὸν ἀλάστορα, τῷ σὲ κολάζεσθαι, ἐτιμώρησας μάκαρ καὶ τὴν ὁδόν, Μόδεστε μακάριε, τοῦ μαρτυρίου εὐσταλῶς, ἐπορεύθης θείῳ Πνεύματι.

Στρεβλώσει σώματος, τύραννον ἄθεον, καὶ παντοίας κολάσεις νεανικῶς, ᾔσχυνας πανένδοξε, Ἱερομαρτύρων ὁ στερρὸς Μόδεστε καὶ καταβέβληκας,

Ὁ θεῖος Μόδεστος, ἐστῶς διήλεγξας, τοῦ τυράννου τὸ θράσος εἰδωλικόν, μάρτυς ἐν τῷ σκάμματι, ἱερομάρτυς ἀθλητά, ἀνδρικῶς ἀγωνιζόμενος.

**Θεοτοκίον.**

Νεκρόν με ἔδειξε, φυτοῦ ἀπόγευσις, τῆς ζωῆς δὲ τὸ ξύλον, ἐκ σοῦ φανέν, Πάναγνε ἀνέστησε, καὶ παραδείσου τῆς τρυφῆς, κληρονόμον με κατέστησε.

Ἄλλος. **Ῥάβδος ἐκ τῆς ῥίζης.**

Ὑψῆψας ἐν σοὶ πῦρ θεϊκόν, θεόφρον τὸ βληθὲν ἐν γῇ, παρὰ τοῦ πάντων βασιλεύοντος, καὶ πάντα βίου τερπνά, εἰς οὐδὲν λελόγισαι, πόθῳ τε καὶ ἔρωτι τοῦ Κτίστου, νοῒ ἀπαίρων τῆς γῆς, καὶ πρὸς οὐρανὸν μεθιστάμενος.

Μεγάλως ἐδόξασας Θεόν, μεγίστοις κατορθώμασι, τοῦ ὑπερλάμπρου Πάτερ βίου σου· διὸ σὲ πάλιν αὐτός, ποικίλοις ἐν στίγμασι, τοῖς ὑπὲρ αὐτοῦ ἀντιδοξάζει, κάραν τὴν σὴν στεφανῶν τῷ νικητικῷ διαδήματι.

Ναὸν σεαυτὸν τοῦ ποιητοῦ, κατέστησας μακάριε, καθάρας Πάτερ τὴν καρδίαν σου, σαρκὸς παντὸς μολυσμοῦ, Μόδεστε καὶ Πνεύματος, διόπερ ὡς ἔσοπτρον ἐδείχθης, στιλπνότατον καὶ πιστοῖς, πᾶσι τὰς ἀκτῖνας ἐξέπεμψας.



**Θεοτοκίον.**

Ὡραιώθης ἄχραντε ἁγνή, πᾶσαν ὑπὲρ εὐπρέπειαν, σὺ τῶν ἀγγέλων ὡς γεννήσασα, τὸν πάντων δημιουργόν, ἀσωμάτων τάξεων, ἐπὶ γῆς ὀφθῆναι παραδόξως, θελήσαντα καὶ βροτοὺς πλάνης ἀπαλλάξαι τοῦ ὄφεος.

Καταβασία. **Ῥάβδος ἐκ τῆς ῥίζης.**

**Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου ἀγαθέ.**

Ἰδὼν τὸ εὔτονον ὁ Χριστός, καὶ ἀκαταγώνιστον ὄντως, τῆς καρτερίας σου πάνσοφε, σοί περ κατ᾿ ἀξίαν ἰσχὺν οὐράνιον ἐκπέμπει δι᾿ ἀγγέλου σὲ ἐνισχύουσαν.

Ἐξ ἀδικίας πρὸς ἀρετήν, ἐκ τῆς τῶν εἰδώλων ἀχλύος, μάκαρ ἐπέστρεψας ἔθνη πλεῖστα Μόδεστε ἔνδοξε, καὶ πρὸς φῶς εὐσεβείας, ἔργῳ κατεύθυνας.

Ῥώμῃ τῇ θείᾳ τοῦ δυσμενοῦς, τὴν κεκινημένην κατὰ σοῦ, μάρτυς παράταξιν ἔφραξας, ἰουδαίων ἀνόμων τὴν ἀγριότητα, κατῄσχυνας παμμάκαρ, σθένει τοῦ Πνεύματος.

**Θεοτοκίον.**

Ἡ θεία πύλη ἡ τοῦ φωτός, τῆς ἐσκοτισμένης μου ψυχῆς, τὰς κόρας φώτισον δέομαι, μόνη θεοκυῆτορ ἡ σωτηρία μου, καὶ πρὸς φῶς εὐσεβείας σύ με ὁδήγησον.

Ἄλλος. **Θεὸς ὢν εἰρήνης.**

Τίς σου τοὺς ἀγῶνας, θεόφρον σοφέ, κατ᾿ ἀξίαν ὑμνῆσαι δυνήσεται; τοὺς ἄθλους οὓς ὑπήνεγκας ἀνδρείως ἐναθλῶν, κατὰ τῆς ἀσεβείας, καὶ πλάνης τῶν δαιμόνων, οὓς πράξεσι καὶ λόγοις εἰς τέλος Πάτερ σὺ κατῄσχυνας.

Ἡ θήκη σου βρύει, θαυμάτων πηγάς καὶ κρουνοὺς ἰαμάτων ἑκάστοτε, τοῖς πόθῳ σοι προστρέχουσι, καὶ πίστει ἀκλινεῖ, καὶ τὰς τῶν νοσημάτων, δριμείας ἀλγηδόνας, καταπαύει καὶ ῥῶσιν πᾶσι παρέχει τοῖς τιμῶσί σε.

Νεκρώσας τὰ πάθη, σοφὲ τῆς σαρκός, ἀνενδότοις ἱδρῶσιν ἀσκήσεως, ψυχῆς τὸν τόνον ἔνδοξε, ἐνεύρωσας διό, ψυχὰς ἡμῶν ζωῶσαι, πάθεσι νεκρωθείσας, καθικέτευσον ὅπως, τὸν σὲ δοξάσαντα δοξάζωμεν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον**

Βροτῶν τὴν οὐσίαν, φθαρεῖσαν δεινῶς, ἀνεκαίνισας βρέφος ὡς τέξασα, τὸν πρὶν δημιουργήσαντα, Παρθένε τὸν Ἀδάμ, ἐκ γῆς δι' ὃ πτωθέντα, κἀμὲ ταῖς ἁμαρτίαις, διανάστησον Κόρη, ἵνα γεραίρων μεγαλύνω σε.

Καταβασία: **Θεὸς ὢν εἰρήνης.**

**Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν,**

Πανήγυριν σήμερον, τὴν φαιδράν τε καὶ σεπτήν, πιστῶς ἀνευφημήσωμεν, Μοδέστου τοῦ θείου Ἱεραρχῶν, Μαρτύρων φιλέορτοι, κλέους ὄντως καὶ θαυμάτων πηγῆς πάντοτε.

Ὁ Μόδεστος σήμερον τῶν θαυμάτων ἡ πηγή, ὁ μέγας καὶ περίβλεπτος, ποιμὴν καὶ μάρτυς ὁ θεῖος ἡμᾶς καλεῖ, φαιδρῶς οὖν οἱ ἅπαντες ἀπολαῦσαι, τὰς ἰάσεις νῦν προστρέξωμεν.

Θαυμάτων ταῖς λάμψεσι, βεβαιώσας τοῦ Χριστοῦ, τὴν πίστιν τὴν σωτήριον, καὶ νῦν ἡμῶν τὰς νόσους, τῶν σὲ πιστῶς τιμώντων ἐπίσκεψαι, Ἱεράρχα καὶ μάρτυς Θεῖε Μόδεστε.

**Θεοτοκίον.**

Ὡραῖον τῆς βρώσεως, τῇ τοῦ ὄφεως βουλῇ, ἰδὼν Παρθένε ἄχραντε, ἐσυλήθην ὁ τάλας κατὰ τὸν νοῦν· αὐτὴ οὖν με λύτρωσαι, βλάβης τούτου, ὦ Δέσποινα τὸν δοῦλόν σου.

Ἄλλος. Σπλάγχνων Ἰωνᾶν.

Ῥήμασι τῆς σῆς σοφίας μακάριε, πολλοὺς ἐξηγῶν πρὸς τὴν ἐπίγνωσιν, τοῦ ποιήσαντος, ἠλευθέρωσας τῆς πλάνης πρὸς σωτήριον, τρίτον τούτων κατευθύνων διαβήματα, Πάτερ καὶ τῆς ἄνω λήξεως κληρονόμους ποιῶν ταῖς πρεσβείαις σου.

Ὕμνοις καὶ εὐχαῖς, σχολάζων ἀοίδιμε, καὶ σοῖς νυσταγμόν, οὐδόλως ὄμμασι παρασχόμενος, εὗρες Πάτερ τὴν ὄντως ἀνάπαυσιν, καὶ σφραγῖδι τελειώσας τοῦ σοῦ αἵματος, βίον καὶ ζωὴν ἰσαγγέλου τετύχηκας λήξεως.

Σάρκα τοῖς πολλοῖς, ἀγῶσι πανένδοξε, λεπτύνας τὸν νοῦν, πρὸς θεῖον ἔρωτα, ἀνεπτέρωσας ἐντρυφῶν, ἀεὶ Πάτερ, θείαις ἐλλάμψεσιν· ὅθεν θαύμασιν, ἀπείροις κατεπλούτησας, μάκαρ πᾶσαν τὴν ὑφήλιον, παθημάτων διώκων σκοτόμαιναν.



**Θεοτοκίον.**

Ἵνα τὴν ἡμῶν, θεώσῃ Πανάμωμε, οὐσίαν βροτός, ὤφθη θελήματι, ὁ ἀόρατος, Λόγος σάρκα φορέσας ἐν μήτρᾳ σου, **καὶ ἀνώ**ρθωσεν εἰς βάθος ὀλισθήσασαν, ὅθεν πάντες ὡς αἰτίαν σε, τῆς ἡμῶν σωτηρίας δοξάζομεν.

Καταβασία. **Σπλάγχνων Ἰωνᾶν.**

Κοντάκιον. **Ἦχος γ΄.** Ἡ **Παρθένος σήμερον**

Τῶν λαμπρῶν ἀγώνων σου, τὰς ἀριστείας ὁ Κτίστης, κατιδὼν σὲ ἔστεψε, διπλῷ στεφάνῳ παμμάκαρ, Μάρτυρα καὶ Ἱεράρχην γεγεννημένον, ἅπαντες· σὲ εὐφημοῦντες ἐπιβοῶμεν, τοῖς ὑμνηταῖς σου, δός, ὦ Πάτερ, τῶν νοσημάτων λύσιν, Μόδεστε ἔνδοξε.

**Ὁ οἶκος.**

Τὴν Ἱερουσαλὴμ δεῦτε φιλέορτοι καταλάβωμεν, καὶ ἴδωμεν Χριστοῦ τὸν Ἱεράρχην, τὸν ἔνθεον ταύτης ποιμένα· τοῖς ψυχικοῖς ὀφθαλμοῖς· ἐκεῖ γάρ, ὅπου πρὸ ὀκτὼ ἡμερῶν μέλλει γεννᾶσθαι ὁ τῶν ὅλων ποιητής· ὁ Πατὴρ ἦν τὸν λαὸν ποιμένων· ἐκεῖ αὐτὸς τὸ τῆς Παρθένου βρέφος, ἐκήρυξε Θεὸν προαιώνιον, ἀπτοήτως τοῖς πᾶσιν, Ἰουδαίοις τε καὶ Ἕλλησι· ὑφ' ὧν αὐτῷ προσήχθη, ἄμωμον ὡς σφάγιον, τὴν κάραν τετμημένος. Διὸ τῆς καρτερίας αὐτοῦ ἀγάμενος, θαύμασιν αὐτόν, κατεκόσμησεν. Αὐτὸν καὶ ἡμεῖς εὐφημήσωμεν βοῶντες· τῶν νοσημάτων δὸς λύσιν Μόδεστε ἔνδοξε.

Τῇ δεκάτῃ ὀγδόῃ τοῦ αὐτοῦ μηνὸς μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἐνδόξου Ἱερομάρτυρος καὶ θαυματουργοῦ Μοδέστου Πατριάρχου Ἱεροσολύμων.

**Στίχοι.**

Μόδεστον ἐν θλίψεσι δεινῶς ἐμβάλλει.
Τύραννος ὑβρίσαντος τὴν τούτου πλάνην.
Φέρει Μόδεστε παμμάκαρ καὶ σοῦ τάφον.
Ἡ τὸν τάφον φέρουσα γῆ τοῦ Κυρίου.

Φάσγανον ὀγδοάτῃ δεκάτῃ Κάραι τάμε Μοδέστου.

(Ὕστερον λέγε καὶ τὸ Συναξάριον· τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου μάρτυρος Σεβαστιανοῦ κτλ.)

Athos Library
Αγιορειτική Βιβλιοθήκη

'Ωδὴ ζ΄. **Οἱ παῖδες ἐν Βαβυλῶνι.**

Τυράννων ἤλεγξας θράσος, καὶ Ἰουδαίων ὠμότητα· ὅθεν Χριστός σοι χαρίζει, ἰαμάτων χαρίσματα· εὐλογητὸς εἶ βοῶντι Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἐξέστησαν καθορῶντες, τὰ τῶν Ἀγγέλων στρατεύματα, Ἱεράρχα τὴν σὴν καρτερίαν, δι' ἧς καταβέβληκας στερρῶς ἀγωνιζόμενος, τὸν δεινὸν κοσμοκράτορα.

Μαρτύρων χοροστασίαι, Ἀρχιερέων ὁ σύλλογος, καὶ ἀγγέλων πληθύς, εὐφροσύνης πλησθέντες ἀγάλλεσθε, ἐπὶ τῇ θείᾳ μνήμῃ, νῦν τοῦ Ἱεράρχου καὶ Μάρτυρος.

**Θεοτοκίον.**

Ἁγίων ἁγιωτέρα, τῶν οὐρανίων δυνάμεων, Χερουβὶμ ἀνεδείχθης, Μητροπάρθενε Δέσποινα, Χριστὸν σαρκὶ κυήσασα, τὸν Δεσπότην τῆς Κτίσεως.

Ἄλλος. **Οἱ παῖδες εὐσεβείᾳ.**

Νέκρωσιν ζωηφόρον, τῶν μελῶν τῶν ἐπὶ γῆς, θεόφρων Μόδεστε, ἐνδεδυμένος τὴν ψυχήν, ἀπαθείᾳ κατεκόσμησας καὶ βασάνων προσβολὰς νικήσας ἔψαλλες· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Τυράννων ἀπηνείᾳ πολυτρόποις αἰκισμοῖς ὡμίλησας· καὶ ἀλγεινῶν ἐπιφοραῖς καὶ βασάνων ὑποβέβλησαι, δι' ὧν τύραννον αἰσχύνας, χαίρων ἔψαλλες· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδαῖς χαριστηρίοις, τοὺς ἀγῶνας καταχρέος εὐφημήσωμεν, οὓς ἀνδρικῶς διὰ Χριστόν, θεῖος Μόδεστος ὑπήνεγκε, καὶ τῆς νίκης εἰληφὼς στεφάνους ἔψαλλεν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

**Θεοτοκίον.**

Νέον ὡράθη βρέφος, ὁ παντέλειος ἐκ σοῦ τικτόμενος, καὶ παρθενίας σου σεμνή, κλεῖθρα ὅλως οὐ διέλυσεν, ᾧ βοῶντες γηθοσύνως ἀναμέλπομεν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Καταβασία. **Οἱ παῖδες εὐσεβείᾳ.**

'Ωδὴ η΄. **Ἐκ φλογὸς τοῖς ὁσίοις.**

Ὡς δεκτὸν ἱερεῖον ὁλοκαυτούμενος, τῷ πυρὶ τῶν βασάνων, Μόδεστε ἔνδοξε, θείαν ὡς ὀσμήν, καὶ πρὸς ὕψος οὐράνιον, τὴν εὐχαριστίαν ἀνέμελπες ἐνθέως.



Πεποιθὼς ὥσπερ λέων, ἀνόμοις ἤλεγξας, καὶ πολλῇ παρρησίᾳ στόματα ἔφραξας, τῶν εἰς τὸν Θεόν, τῶν ἁπάντων καὶ Κύριον πάλαι δυσφημούντων, ἐχθρῶν ἀθεωτάτων.

Ἀνυφῶν Ἱεράρχα, πιστῶν τὸ φρόνημα, ἐταπείνωσας θράσος καὶ καταβέβληκας, τῶν εἰς τὸν Θεὸν ἀσεβούντων καὶ ἔκραζες· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Ὁ καρπὸς τῆς κοιλίας, τῆς σῆς Πανύμνητε, τὴν τοῦ ξύλου κατάραν ὁλομανήσασαν, πρόρριζον ξηρὰν ὅλην ἀναβλαστήσασα τὴν τῆς εὐφροσύνης Παρθένε εὐλογίαν.

Ἄλλος. **Θαύματος ὑπερφυοῦς.**

Θρόνῳ νῦν παρεστηκὼς τῷ τοῦ Δεσπότου, σὺν χοροῖς ἀγγέλων ἐν ὑψίστοις ᾆσμα τὸ τρισάγιον, ἀναμέλπεις χαρμονικῶς, μετὰ πάντων ἐκλεκτῶν ἀναπαυόμενος, μεθ' ὧν πρέσβευε σωθῆναι τοὺς κραυγάζοντας· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἄσμασι τὴν ἱερὰν σου μάκαρ μνήμην, εὐφημοῦντες νῦν δοξολογοῦμεν, τὸν σὲ στεφανώσαντα καὶ πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν πιστῶς τελούντων σου τὴν ἄθλησιν θερμῶς δυσωποῦμεν ἀναμέλποντες· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὕλην δυσσεβείας καταφλέξας, τοῖς περιπνόοις λόγοις τρισμάκαρ, εὐσεβῶν ἑδράσας, τὰς καρδίας σαῖς διδαχαῖς, ἐκβοᾶν διδάσκων τούτους ἀεὶ Μόδεστε· ᾠδὴν τὴν τῶν παίδων ἀναμέλποντας· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Μόνην ἐκ πασῶν τῶν γενεῶν σε, ἐκλεξάμενος ὁ πάντων Κτίστης, ἐκ σοῦ ἠμφιάσατο, τὴν οὐσίαν τῶν γηγενῶν, ἀναπλάσας βουληθεὶς αὐτὴν Πανύμνητε· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν. Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. **Θαύματος ὑπερφυοῦς.**

'Ωδὴ θ΄. **Θεὸν ἀνθρώποις ἰδεῖν.**

Τεμνούσῃ μαχαίρᾳ τῶν θείων λόγων σου, τὴν κεφαλὴν τοῦ ψεύδους, πανασίδιμε Μόδεστε, τοῦ Χριστοῦ παρέσχες τὰ νικητή-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρια, πίστει καὶ ἀληθείᾳ, ὅθεν τιμῶμέν σε, ὡς τροπαιοφόρον οἱ πιστοὶ καὶ θεῖον κήρυκα.

Ἐκ γῆς ἀπάρας, σοφὲ τὸ φρόνημα, τὸ τῆς ψυχῆς πρὸς μόνην, τοῦ Δεσπότου τὴν ἔφεσιν, τοῦτο νοητῶς Πάτερ ἀνύψωσας, ὅθεν σαρκὸς ἠρνήσω, πᾶσαν εὐπάθειαν, καὶ ἐγκαρτερῶν ἐν τοῖς δεινοῖς στερρῶς ἐνήθλησας.

Ῥοαῖς αἱμάτων, τῆς σῆς ἀθλήσεως, τὴν ἱερὰν κοσμήσας σου στολὴν Ἱερώτατε, εἰς τὴν ἐπουράνιον σκηνὴν τοῦ Χριστοῦ, μετὰ τέλος εἰσέδυς, τοῦ μαρτυρίου σου, ἔνθα μνημονεύεις καὶ ἡμῶν τῶν εὐφημούντων σε.

**Θεοτοκίον.**

Ὑμνεῖν τὸν τρόπον τὸν ὑπερθαύμαστον, τῆς ὑπὲρ νοῦν καὶ ξένης, σῆς κυήσεως Πάναγνε, ἀπορεῖ ἀνθρώπων τὰ συστήματα· πάντα γὰρ ὑπερέχει, νοῦν καὶ διάνοιαν, καὶ νοήσεις πάντων λογισμῶν, καὶ τὴν τῶν λόγων ἰσχύν.

Ἄλλως. **Μυστήριον ξένον.**

Ἀθλήσεως δρόμον, ἀνύσας τὸν ἔνθεον νίκης στέφος ἔνδοξε, εἴληφας ἐκ χειρὸς τοῦ Κυρίου· διὸ τοὺς τιμῶντας τὴν σὴν πανσεβάσμιον θεόφρον ἑορτήν, πάσης βλάβης ἀνωτέρους διατήρησον.

Τῶν ἀρετῶν τεθρίππῳ, Πάτερ χρησάμενος, πρὸς πόλιν εἰσέφθασας, ἔνθα Πατριαρχῶν αἱ χορεῖαι, καὶ πάντων ἁγίων, μεθ᾽ ὧν ὑπὲρ πάντων ἐξιλέωσαι Θεὸν τῶν ἐν πίστει γεραιρόντων σου τὴν ἄθλησιν.

Ὡς ἔνδοξος σήμερον, πάντας ἐκάλεσεν, εὐφρανθῆναι Μόδεστος, νέμων ὑπερφυῶς βουλομένοις, ὑγιείαν πλουσίων, δι᾽ οὗ ἐπεγνώσθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

**Θεοτοκίον.**

Νενίκηνται φύσεως, ὅροι Πανάμωμε, τῷ ἀσπόρῳ τόκῳ σου, σὺ γὰρ ὑπερφυῶς τίκτεις Κόρη φύσεως τὸν Κτίστην· διὸ ὡς πρὸ τόκου σὺ διέμεινας ἀεὶ Πανάμωμητος Παρθένος μετὰ γέννησιν.



Καταβασία. Μεγάλυνον ψυχή μου... **Μυστήριον ξένον.**

Ἐξαποστειλάριον. **Γυναῖκες ἀκουτίσθητε.**

Τὸν μέγαν ἀρχιποιμένα καὶ μάρτυρα στερρότατον, Μόδεστον πάντες τὸν θεῖον, ἀνευφημήσωμεν ὕμνοις, ὑπὲρ Χριστοῦ γὰρ ἤθλησεν, κατὰ τῆς πλάνης ἅπαντες, αὐτῷ οὖν ἐκβοήσωμεν· Ἱερομαρτύρων τὸ κλέος, Χριστὸν ἀπαύστως δυσώπει.

Ἕτερον. **Ἐπεσκέψατο ἡμᾶς.**

Ἐπεφάνη νῦν ἡμῖν, ὁ μάρτυς τοῦ Θεοῦ ἡμῶν, μαρτυρῶν θαυματουργῶν, καὶ ἐκδιδάσκων νῦν τρανῶς, ἅπαντας τὴν ἀλήθειαν, ὅτι ἐκ τῆς Παρθένου ἐτέχθη ὁ Κύριος.

**Θεοτοκίον.**

Ἡ θεόπαις Μαριάμ, ἐξ ἧς ἐτέχθη ὁ Θεός, ἀνατολὴ ἀνατολῶν, ἡμῖν ἐν ζόφῳ τῶν δεινῶν, πάρεξον τὴν βοήθειαν, καὶ γὰρ ἐκ σοῦ Παρθένε, ἐλάβομεν λύτρωσιν.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ´ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τοῦ παραδόξου θαύματος, ἀπὸ γονέων σοφέ, ἐσχηκὼς τὴν εὐσέβειαν, τύραννον τὸν ἄθεον, εὐκλεῶς σὺ ἐμίσησας, καὶ ἐπὶ ξένης Μόδεστε ἔνδοξε, προσεκαρτέρεις, καὶ εἰς τὴν ἔνδοξον πόλιν τοῦ Κτίστου σου, παρεγένου ὅθεν σε, ὁ τῶν πιστῶν, δῆμος σε εὐμοίρησε, ποιμένα μέγιστον. Δὶς

Ὢ τοῦ παραδόξου θαύματος, τὰς πύλας σὺ τοῦ ναοῦ, κεκλεισμένας διήνοιξας, τῇ εὐχῇ τῆς πίστεως, καὶ τῇ πίστει χρησάμενος, ἐντεῦθεν βρύσις, θαυμάτων δείκνυσαι, ἐκ τῶν ἀνθρώπων καὶ βοῶν πάνσοφε· νόσων διώκων τε, καὶ στηρίζων ἅπαντας τοὺς εὐσεβεῖς, ἐν τῇ πίστει ἵστασθαι, Χριστοῦ τοῦ Κτίστου σου.

Ὢ τοῦ παραδόξου θαύματος ὑπὲρ Χριστοῦ προσαχθείς, τοῦ τυράννου ἐνώπιον, τούτου θείαν σάρκωσιν, καὶ θεότητα ἅπασιν θεολογήσας, πληγὰς καὶ θάνατον, καθυπομείνας, καὶ ἡμῶν μέμνησο, τῶν ἐκτελούντων σου, μνήμην τὴν πανένδοξον, καὶ δὸς ἡμῖν, χάριν τε καὶ ἔλεος, Μόδεστε πάνσοφε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Δόξα. Ἦχος πλ. α΄.

Σαλπίσωμεν ἐν σάλπιγγι ἀσμάτων, σκιρτήσωμεν ἑόρτια, καὶ χορεύσωμεν ἀγαλλόμενοι, ἐν τῇ ἐτησίῳ πανηγύρει, τοῦ Ἱερομάρτυρος Χριστοῦ. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν διὰ φρικτῶν κολαστηρίων, βασιλέα ἄνομον, καὶ τοὺς ἀθέους Ἰουδαίους, τῇ ὑπὲρ ἄνθρωπον καρτερίᾳ καταισχύναντα ὑμνήτωσαν. Ποιμένες καὶ διδάσκαλοι, τὸν τοῦ καλοῦ Ποιμένος, ὁμόζηλον ποιμένα, συνελθόντες εὐφημήσωμεν. Οἱ ἐν νόσοις τὸν ἰατρόν, οἱ ἐν κινδύνοις τὸν ῥύστην, οἱ ἁμαρτωλοὶ τὸν προστάτην· οἱ πένητες τὸν θησαυρόν, οἱ ἐν θλίψεσι τὴν παραμυθίαν, τὸν συνοδίτην οἱ ὁδοιπόροι, οἱ ἐν θαλάσσῃ τὸν κυβερνήτην. Οἱ πάντες τὸν πανταχοῦ, θερμῶς προφθάνοντα, μέγιστον ἀρχιεράρχην ἐγκωμιάζοντες, οὕτως εἴπωμεν. Μακαριώτατε Μόδεστε. Ἱερομάρτυς πρόφθασον, ἐξελοῦ ἡμᾶς θαυματουργέ, τῆς ἐνεστώσης ἀνάγκης, καὶ σῶσον πάντων τῶν κινδύνων τὴν ποίμνην σου, ταῖς ἱκεσίαις σου.

### Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

### ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Χρυσοστόμου εἰς τὰς ιγ΄ Νοεμβρίου.

---

## ΛΟΓΟΣ

## Πανηγυρικὸς εἰς τὸν Ἅγιον καὶ ἔνδοξον Ἱερομάρτυρα Μόδεστον.

Ὥρισεν ὁ πανάγαθος Θεὸς καὶ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τὸ Θεῖον καὶ Ἱερὸν αὐτοῦ Εὐαγγέλιον λέγων πρὸς τοὺς μαθητάς του «Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι ὅλως».

### Εὐλόγησον πάτερ

Ποῦ τὴν σήμερον οἱ φιλόζωοι ; ποῦ ἡ τοῦ κόσμου τούτου ματαία προσπάθεια ; ποῦ εἶναι οἱ φιλόσαρκοι, οἱ λέγοντες, σήμερον τρυφήσωμεν, καὶ αὔριον μετανοοῦμεν ; ποῦ εἶνε οὗτοι, ὧν ὁ Θεὸς ἡ κοιλία ; καθὼς λέγει ὁ θεῖος Ἀπόστολος ; Ἀπώλοντο, ἠφανίσθησαν, οὐδὲ σημεῖον, οὐδὲ ἴχνος αὐτῶν ἔμεινε. Τοιαῦτα γὰρ ἡ κακία ποιεῖ, ὄχι μόνον δηλαδὴ κολάζει ὕστερον τὸν δυστυχῆ ἄνθρωπον, ἀλλὰ καὶ ἐν ταύτῃ τῇ δυστήνῳ ζωῇ ἄτιμον καὶ ἄδοξον τὸν καταστaίνει. Ποῦ γὰρ εἶνε, οἱ βασιλεῖς ἐκεῖνοι, οἱ ἡγεμόνες, οἱ ἐξουσιασταί, οἱ τὴν οἰκουμένην ἐξουσιάσαντες ; δὲν ἠφανίσθησαν ; δὲν ἐχάθησαν ; ναί· βεβαιώτατα· ἀλλὰ ποῖοι ἔμειναν ; ποῖοι εὑρίσκονται ; Οἱ θεῖοι Ἀπόστολοι, οἱ ἅγιοι τοῦ Ἰησοῦ μαθηταί, καὶ γὰρ ἔλεγεν «ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ ζήσεται» τοὺς ὁποίους πέμπων εἰς τὸ κήρυγμα ἔλεγε, «Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι» Μὴ φοβηθῆτε βασιλεῖς, μὴ φοβηθῆτε ἡγεμόνας μὴ φοβηθῆτε ἄρχοντας καὶ ἐξουσιαστὰς μὴ φοβηθῆτε οὔτε ἄλλον, οὐδὲ αὐτὸν τὸν διάβολον· ἀλλὰ φοβήθητε τὸν Θεόν, ὅστις ἐξουσιάζει οὐ μόνον τὸ σῶμα ἀλλὰ καὶ ἐμβαλεῖν εἰς τὴν γέενναν τοῦ πυρός. Ταῦτα ἀκούσαντες οἱ θεῖοι Ἀπόστολοι, ὥρμησαν θαρραλέως, εἰς τὸν κίνδυνον. Ἑκουσίως ηὐτομόλησαν ὡς ἄκακα ἀρνία εἰς τοὺς λύκους, μὴ φοβηθέντες τελείως αὐτούς, οὐδὲ τὸν πατέρα τους τὸν διάβολον· ἀλλὰ τὸν Θεὸν μόνον ἐφοβοῦντο, αὐτὸν ἔτρεμον, αὐτὸν ὄχι μόνον ἔφριττον ἀλλὰ καὶ ἀγαποῦσαν. Καὶ οἱ μὲν αὐτοί, ἔχοντες παράδειγμα τὸν διδάσκαλόν τους, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, αὐτὸν ἐμιμοῦντο, καὶ οὕτως ἐδίδασκον καὶ τοὺς λοιπούς, τιθέντες παράδειγμα τὸν ἑαυτόν τους τοῖς πᾶσι, καὶ αὐτοὺς πάλιν ἐζήλωσαν καὶ ἐμιμήθησαν καὶ οἱ καθεξῆς θεῖοι ποιμένες καὶ ἀρχιερεῖς, ὧν εἷς ἐστι καὶ ὁ σήμερον ἐπαινούμενος καὶ ἑορταζόμενος σημειοφόρος καὶ μέγας πατὴρ ἡμῶν ἔνδοξος Μόδεστος. Ὅστις δὲν ἐπεθύμησε τὰ ἡδέα τοῦ κόσμου, οὔτε πλοῦτον, οὔτε ὑπερηφάνειαν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

οὔτε, ἄλλο τι τοῦ ματαίου τούτου βίου, ἀλλὰ μόνον τὸν Χριστὸν ἠγάπησεν, αὐτὸν ἐφαντάζετο, αὐτὸν ἐπεθύμει καὶ ἔλεγε : πότε ἀναλύσω, καὶ σὺν Χριστῷ ἔσομαι ; Καὶ ὄχι μόνον τὰς ἡδονὰς ἐμίσει τῆς παρούσης ζωῆς, ἀλλὰ καὶ αὐτὴν τὴν ἰδίαν ζωήν, καὶ τόσον ἐμίσησεν αὐτὴν τὴν ψεύτικην ζωήν, ὁποῦ καθ᾽ ἑκάστην ἐξόλης του ψυχῆς ἔλεγεν : οἴμοι, ὅτι ἡ παροικία μοι ἐμακρύνθη. Καὶ καθὼς εἶπον, ἄλλο δὲν ἐπεθύμει παρὰ μόνον τὸν Χριστόν, καὶ διὰ τὴν ἀγάπην του τὰ πάντα πρόσκαιρα κατεφρόνησε, διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ ἄφησε καὶ βασίλεια, καὶ τιμὴν καὶ ὑπερηφάνειαν καὶ πλοῦτον καὶ δόξαν. Διὰ τὸν Χριστὸν δὲν ἐφοβήθη τὸν παράνομον καὶ ἀσεβῆ βασιλέα, οὔτε τὰ ὅσα κολαστήρια ἐδοκίμασεν, ἀλλὰ ἔχων εἰς τὸν νοῦν του, αὐτὸν τὸν ἀληθῆ Βασιλέα, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τόσον θαρραλέως ἐπαρρησιάσθη εἰς τὸν ἀσεβῆ βασιλέα καὶ τόσον ἀφόβως τὸν ἀπεκρίνετο. ὡσὰν νὰ διαλέγεταί τις μὲ μωρὸν παιδίον.

Ἐπειδὴ ἀφ᾽ οὗ ἦλθεν ἐκεῖνο τὸ ἀσεβὲς πρόσταγμα, καὶ διελαλήθη εἰς τὸν κόσμον ἐκείνη ἡ ἄθεος προσταγή, ὅτι τινὰς νὰ μὴ πιστεύῃ τὸν Χριστόν εἰδὲ νὰ προσμένῃ κινδύνους φρικτούς, καὶ μὲ τὴν προσταγὴν αὐτὴν ἡτοιμάζετο κάθε εἶδος τιμωρίας καὶ κολάσεως, καὶ ὅλοι οἱ κριταὶ καὶ οἱ ἄρχοντες, μεγάλον θυμὸν ἔπνεον διὰ τοὺς χριστιανοὺς καὶ ἀναρίθμητα εἴδη βασάνων ἐφεύρισκον οἱ μιαροί.

Ἄναπτον μεγάλας πυρκαϊάς, ξίφη καὶ σπαθιά ἠκόνιζον, σταυροὺς ἔστεναν, λάκκους καὶ χάσματα ἔσκαπτον, ἔκαμναν τροχοὺς κατασκευασμένους μὲ διάφορα τιμωρητικὰ ὄργανα, ῥαβδία καὶ ξύλα ἑτοίμαζον, καὶ ἄλλα μυρία τοιαῦτα ἐπινόουν μόνον διὰ τοὺς χριστιανούς. Καὶ ἄλλοι μὲν χριστιανοὶ μὴ ὑποφέροντες νὰ μαρτυρήσουν ἔφευγον, καὶ ἄλλοι φοβούμενοι πάλιν, ἔκαμνον ὑπακοὴν εἰς τὸν βασιλέα οἱ ἀσύνετοι καὶ πάλιν ἄλλοι ἐστέκοντο ἀνδρειομένοι καὶ σταθερόψυχοι ὑπὲρ Χριστοῦ ἐμαρτυροῦσαν οἱ εὐλογημένοι. Τότε λοιπὸν μέγας φόβος καὶ μέγας τρόμος ἦτον εἰς τὸν κόσμον· τότε μανθάνοντες οἱ ἀσεβεῖς ἄρχοντες, ὅτι ὁ θεῖος Μόδεστος ἐστερέωνε τοὺς χριστιανοὺς εἰς τὴν εὐσεβῆ πίστιν, ἐσυμβουλεύθησαν ἀναμεταξύ τους λέγοντας. Ἐὰν νικήσωμεν τὸν ποιμένα καὶ βοσκόν, εὔκολον εἶνε νὰ νικηθοῦν καὶ τὰ πρόβατα. Καὶ εὐθὺς ἁρπάσαντες ὡς λύκοι τὸν ἅγιον, τὸν παρέστησαν εἰς τὸ κριτήριον, φανερώνοντές του τοῦ Βασιλέως τὰ γράμματα, καὶ παρακινοῦντές τον νὰ ὑπακούῃ, καὶ νὰ κάμῃ τὸ προσταττόμενον. Ὁ δὲ ἅγιος, ἐλευθέρα τῇ φωνῇ εὐθαρσῶς καὶ ἀνδρείως καὶ τελείως μὴ φοβηθεὶς διὰ τὰ



ὅσα κολαστήρια ἦτον ἕτοιμα παρόν, ἀπεκρίθη καὶ ἀφόβως λέγει : Χριστιανός εἰμι : Ὦ μακαρία γλῶσσα, ὢ εὐλογημένον στόμα, ὅπου ἐξεφώνησε τοιαύτην φωνήν! ἀπ᾽ αὐτὴν τὴν φωνὴν ὁ ἀὴρ ἡγιάσθη, οἱ ἄγγελοι ἀκούσαντες μεγάλως ἐχάρησαν, ὁ δὲ διάβολος μεγάλως ἐτραυματίσθη· καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, εὐθὺς ἐποίησε τὸν στέφανον. Ἀφόβως λοιπὸν καὶ μεγαλοφώνως ἔλεγε : Χριστιανός εἰμι : Ὁ δὲ βασιλεὺς ἀκούσας ἐθαύμασε πολλὰ τὴν παρρησίαν τοῦ ἁγίου, καὶ ἄρχησε πρῶτον μὲν μὲ κολακείας, ὕστερον δὲ καὶ μὲ φοβερισμούς, καὶ τελευταῖον μὲ διάφορα μαρτύρια. Ὁ δὲ ἅγιος μὴ βάνωντας εἰς τὸν νοῦν του τελείως τὰ τοιαῦτα, ἔκαμνε τὸν λόγον τοῦ Κυρίου τὸν λέγοντα : μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι : Καὶ οὕτω τελειωθεὶς ὁ ἅγιος διὰ τοῦ μαρτυρίου ἔλαβε διπλοῦν στέφανον καὶ τῆς ἱεραρχίας καὶ τοῦ μαρτυρίου. Χαῖρε λοιπὸν χαῖρε, ἔνδοξε Ἱερομάρτυς τοῦ Χριστοῦ Μόδεστε, χαῖρε λέγω ὅπου ἠκολούθησας τῷ διδασκάλῳ σου Χριστῷ τῷ λέγοντι «Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς». Χαῖρε ἔνδοξε ἱερομάρτυς, ὅπου ὡς φλυαρίας καὶ μωρολογίας ἐνόμισες τὰς κολακείας τοῦ βασιλέως. Χαῖρε ὅπου εἰς οὐδὲν ἐλογίσω τοὺς φοβερισμοὺς καὶ τὰς ἀπειλὰς αὐτοῦ, ὅπου ἐνόμισες τὰς κολάσεις καὶ τὰ φρικτὰ μαρτύρια ὡς τῶν μικρῶν παιδίων παίγνια. Χαῖρε ἔνδοξε ἱερομάρτυς ὅτι ἠξιώθης ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ θανατωθῆναι· ὅτι προέκρινας τῶν προσκαίρων τὰ αἰώνια. Χαῖρε λέγω, ὅτι βλέποντές σε οἱ ἅγιοι ἄγγελοι ἀνδρείως ὑπομένοντα τὰς κολάσεις μεγάλως ἔχαιρον, καὶ εὐφραίνοντο· χαῖρε, ὅτι βλέποντές σε οἱ μιαροὶ δαίμονες κατ᾽ αὐτῶν ἀριστεύοντα, ἀμέτρως ἐλυποῦντο. Χαῖρε, ὅτι, ὁ Κύριος ἡμῶν ἀποδεξάμενός σε, ὡς ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ θανατωθέντα, σὲ ἐστεφάνωσε, καὶ τῆς βασιλείας αὐτοῦ σὲ ἠξίωσε λέγων «Εὖ δοῦλε, ἀγαθὲ καὶ πιστέ, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου» Χαῖρε ὅτι σὲ ἀνέδειξε βρύσιν θαυμάτων. Χαῖρε ὅτι ἔλαβες χάριν ἐκ Θεοῦ ἰατρεύειν πάθη ψυχῶν τε καὶ σωμάτων. Καὶ πάλιν ἐρῶ χαῖρε ὅτι ἰατρεύεις ἀνίατα πάθη ἀνθρώπων καὶ ἀλόγων ζώων. Χαῖρε ὅτι κατοικεῖς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Λοιπὸν καὶ ἡμᾶς τοὺς δούλους σου, τοὺς δοξολογοῦντάς σε, καὶ πανηγυρίζοντας, καὶ κατ᾽ ἔτος ἑορτάζοντας τὴν παναγίαν σου μνήμην, ἐλευθέρωσον παντοίων ἀρρωστημάτων, καὶ λύτρωσαι πάντων τῶν ἐπηρειῶν τοῦ πονηροῦ. Ἐλευθέρωσον τὸ ἔθνος μας ἀπὸ παντὸς ἐχθροῦ ὁρατοῦ καὶ ἀοράτου, ἀπὸ πάσης διαβολικῆς ἐπηρείας καὶ σατανικῆς ἐνεργείας· καὶ δὸς ἡμῖν εἰρήνην βαθεῖαν, καὶ εἰρηνικὴν κατάστασιν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἡμεῖς δὲ ὁποῦ ἀκούομεν καθ᾽ ἑκάστην τοὺς βίους τῶν ἁγίων μας καὶ τὰ μαρτύρια, ἂς μιμηθῶμεν τὴν ἁγίαν αὐτῶν ζωήν, καὶ ἂς ἀγωνισθῶμεν ὡς καλοὶ στρατιῶται Χριστοῦ, ἕως ὁποῦ ἔχομεν καιρόν, καὶ ἂς ἠξεύρωμεν ὅτι δὲν ἀγωνιζόμεθα διὰ νὰ λάβωμεν πρόσκαιρον δόξαν καὶ τιμὴν τούτου τοῦ κόσμου, ἀλλὰ κοπιάζομεν διὰ νὰ συγχωρηθοῦν αἱ ἁμαρτίαι μας, καὶ διὰ νὰ ὑπάγωμεν εἰς παντοτεινὴν ζωήν, καὶ ὅταν κάμνωμεν καμμίαν ἀρετήν, ἂς μὴ ὑπερηφανευόμεθα, ἀλλὰ νὰ εἴμεθα ταπεινοὶ εἰς ὅλα μας τὰ ἔργα.

Ἂς μὴ μεριμνῶμεν καὶ ἂς μὴ φροντίζομεν μόνον διὰ τὰ σωματικὰ ἀλλὰ καὶ διὰ τὰ πνευματικά, καὶ τὴν ἐλπίδα μας ὅλην ἂς τὴν ἔχωμεν πρὸς τὸν Θεὸν μόνον, διὰ νὰ μᾶς δυναμώσῃ νὰ τελειώσωμεν ἐναρέτως τὴν ζωήν μας.

Ἂς μισήσωμεν ὅσον ἠμποροῦμεν τὴν ἀμέλειαν καὶ ὀκνηρίαν, ἐπειδὴ λέγει ὁ ἅγιος Ἀπόστολος «ἐπικατάρατος ὁ ἀμελῶν τοῦ καλοῦ ἔργου» ἂς μισήσωμεν πᾶσαν κακὴν γνώμην, καὶ τὸν κατηραμένον φθόνον, ἂς μισήσωμεν τῆς σαρκὸς τὴν εὐπάθειαν, καὶ ἂς ἐπιμεληθῶμεν ὅσον ἠμποροῦμεν διὰ τὴν ψυχήν μας· καὶ ἕως ἔχομεν καιρὸν εἰς ταύτην τὴν ζωὴν ἂς μετανοήσωμεν, ἂς κλαύσωμεν τὰς ἁμαρτίας μας. Ἂς ἀλλάξωμεν τὴν τρυφηλὴν ζωήν, ἂς μὴ εἴμεθα δεδουλωμένοι εἰς τὴν κατηραμένην κοιλίαν, ἐπειδὴ λέγει ὁ Ἀπόστολος «ὁ δὲ Θεὸς καὶ τὴν κοιλίαν καὶ τὰ φαγητὰ καταργήσει» Ἂς ἡσυχάσωμεν λοιπόν· ἂς μὴ γυρεύωμεν ἄκαιρα νὰ ἀπολαμβάνωμεν τὰς κακάς μας ὀρέξεις, ἐπειδὴ ὕστερα θέλομεν μετανοήσει χωρὶς ὄφελος καὶ θέλομεν πονέσει κατὰ πολλά. Ἂς ἔχωμεν λοιπὸν τὸν φόβον τοῦ Θεοῦ εἰς τὴν καρδίαν μας, καὶ αὐτὸς θέλει μᾶς φυλάξει, ἂς φυλάξωμεν τὰς παραγγελίας του καὶ τὰς ἐντολάς του, αἱ ὁποῖαι δὲν εἶνε βαρεῖαι ἀλλὰ ἐλαφραί, καὶ θέλουν μᾶς ὁδηγήσει εἰς τὴν ἀλήθειαν, καὶ πάντοτε τὰς ἀρετὰς νὰ στοχαζώμεθα, καὶ πρὸ πάντων τὴν ἀγάπην, καὶ αὐτὰς νὰ κάμνωμεν.

Νὰ εἴμεθα ταπεινοί, καὶ ὄχι αὐθάδεις, νὰ μὴ εἴμεθα φθονεροί, ὑπερήφανοι, οὔτε λαίμαργοι, νὰ μὴ ἀγαπῶμεν χωρατά, ἢ αἰσχρὰ λόγια, καὶ παιγνήδια, καὶ μωρολογήματα, εἰς τὰ ὁποῖα ὁ μὲν Θεὸς ὀργίζεται, ὁ δὲ διάβολος χαίρεται, καὶ ἡμεῖς ἂς ζήσωμεν εἰρηνικῶς καὶ ἐναρέτως· ἐκεῖνοι ἔχυσαν τὸ αἷμα τους, καὶ ἡμεῖς ἂς χύσωμεν δάκρυα. Καὶ οὕτω πολιτευόμενοι καὶ ζῶντες ἐναρέτως καὶ ὁσίως, θέλομεν ἀξιωθῆ καὶ τῆς βασιλείας τῶν οὐρανῶν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

αψξβ´ (1762) διὰ χειρὸς καὶ πόνου Κυρίλλου Ἱερομονάχου.

# ΒΙΟΣ

## Καὶ πολιτεία καὶ μαρτύριον τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Ἱερομάρτυρος καὶ θαυματουργοῦ Μοδέστου Πατριάρχου Ἱεροσολύμων.

Ὁ μέγας οὗτος πατήρ, καὶ θαυματουργὸς Μόδεστος ἦτο ἀπὸ τὴν Ἀνατολήν, ἀπὸ μίαν πόλιν καλουμένην Σεβάστειαν. Οἱ γονεῖς του ἦτον εὐσεβεῖς καὶ ὀρθόδοξοι, καὶ ὁ μὲν πατὴρ αὐτοῦ ἐκαλεῖτο Εὐσέβειος, ἡ δὲ μήτηρ Θεοδούλη· ἡ ὁποῖα μὲ τὸ νὰ ἦτο στεῖρα καὶ ἄτεκνος παρεκάλει τὸν Κύριον, διὰ νὰ τοὺς δοθῇ τέκνον· καὶ ἐπήκουσεν ὁ Θεὸς τὴν δέησιν αὐτῶν, καὶ ἐγέννησαν τοῦτον τὸν μέγαν Μόδεστον, μετὰ τεσσαράκοντα ἔτη τοῦ γάμου αὐτῶν. Κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἐβασίλευεν ὁ Μαξιμιανός, ὅστις μὲ τὸ νὰ ἦτο εἰδωλολάτρης μέγαν διωγμὸν ἐκίνησε κατὰ τῶν χριστιανῶν, τότε ἐπρόδωσαν καὶ τὸν πατέρα τοῦ ἁγίου Μοδέστου πῶς εἶνε χριστιανός, καὶ πιάνοντές τον, τὸν ἔδεσαν καὶ τὸν ἔβαλαν εἰς τὴν φυλακήν. Καὶ ἡ Θεοδούλη ἡ μήτηρ τοῦ ἁγίου, μανθάνοντάς το ἐπῆρε τὸν Μόδεστον, ὁποῦ τὸν εἶχε βρέφος μικρόν, καὶ ἐπῆγε καὶ αὐτὴ μὲ τὸ παιδὶ μέσα εἰς τὴν φυλακήν· καὶ ἐκεῖ ἔκαμαν προσευχὴν εἰς τὸν Θεόν, καὶ ἐτελειώθησαν ἐν εἰρήνῃ καὶ οἱ δύο τους. Καὶ τὸ πρωῒ ἐλθόντες οἱ στρατιῶται εἰς τὴν φυλακὴν διὰ νὰ εὐγάλουν τοὺς ἁγίους νὰ τοὺς τιμωρήσουν, τοὺς εὗρον καὶ τοὺς δύο ἀπεθαμένους· καὶ τὸ παιδίον ἀναμέσον αὐτῶν κλαυθμηρίζον, καὶ πέρνοντές το, τὸ ἐπῆγαν εἰς τὸν βασιλέα Μαξιμιανόν, καὶ ἦτο τότε μηνῶν πέντε; καὶ ὁ βασιλεὺς βλέπων τὸ παιδίον, εὔμορφον καὶ χαρούμενον τὸ ἔδωσεν ἑνὸς ἄρχοντός του, διὰ νὰ τὸ τρέφῃ μὲ ἐπιμέλειαν, ἕως νὰ αὐξηνθῇ καὶ τότε νὰ τὸ κάμουν κανδηλάπτην τῶν Θεῶν των. Εἰς αὐτὸν τὸν ἄρχοντα λοιπὸν ἐτράφη καὶ ηὐξήνθη ὁ ἅγιος, καὶ ἔμαθε πῶς ἔγινε, καὶ πῶς ἐκατεστάθη, καὶ τίνες ἦτον οἱ γονεῖς του, καὶ πῶς ἀπέθανον διὰ τὸ ὄνομα τοῦ Χριστοῦ. Καὶ ὅταν ἔγινεν ὁ ἅγιος δεκατριῶν χρόνων, εὗρεν ἕνα χριστιανὸν ἄνθρωπον, ὅπου ἦτον κεκρυμμένος διὰ τὸν φόβον τοῦ βασιλέως, καὶ ἀπ᾽ αὐτὸν τὸν ἄνθρωπον ἐδιδάχθη καὶ ἔμαθε τὴν ἀληθῆ πίστιν τοῦ Χριστοῦ. Ὅμως πολλὰ ἐλυπεῖτο, καὶ ἀδημονοῦσε πῶς εὑρίσκετο μαζὺ μὲ εἰδωλολάτρας ἀνθρώπους, καὶ καθ᾽ ἡμέραν ἐπήγαινεν εἰς τὸ μνῆμα τῶν γονέων του, καὶ ἔκλαιεν ἐκεῖ πολλά, καὶ τοὺς παρεκάλει νὰ τὸν ἐλευθερώσουν ἀπὸ τοὺς ἐθνικούς· καὶ ἐκεῖ ἔτυχεν ἕνας χριστιανός, ὅπου ἤρχετο ἀπὸ τὰς Ἀθήνας ὅστις ἦτο χρυσοχόος, καὶ βλέπων τὸν ἅγιον τὸν ἠρώτησε, διατὶ ἔκλαιεν ἐκεῖ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τόσον πολλά, καὶ ὁ ἅγιος τοῦ εἶπε τὰ συμβάντα ὅλα· τότε τὸν ἐπῆρεν ἐκεῖνος ὁ Ἀθηναῖος, καὶ τὸν ἐπῆγεν εἰς τὰς Ἀθήνας, καὶ τὸν ἔδωσε τοῦ Ἀρχιερέως, καὶ ὁ Ἀρχιερεὺς τὸν ἐβάπτισε καὶ τὸν ἐδίδαξε, καὶ ὅταν τὸν ἐβάπτιζεν ἔβλεπεν ὁ Ἀρχιερεὺς ἕνα στύλον πυρὸς καὶ ἦτον ἀπὸ τὸν οὐρανὸν ἕως εἰς τὴν κεφαλὴν τοῦ Μοδέστου· καὶ ἀφ' οὗ ἐβαπτίσθη ἰάτρευσε τὸν ἀδελφὸν τοῦ Χρυσοχόου, ὁποῦ εἶχε μεγάλην ἀσθένειαν, καὶ ἐκινδύνευεν εἰς θάνατον, κάμνωντας προσευχὴν εἰς τὸν Θεόν, καὶ πιάνοντάς τον ἀπὸ τὸ χέρι τὸν ἐσήκωσεν ἀπὸ τὴν ἀσθένειάν του. Ὁμοίως ἰάτρευσε καὶ ἕνα δαιμονισμένον. Καὶ εἰς ὀλίγον καιρὸν ἀπέθανεν ἡ γυνὴ τοῦ χρυσοχόου, καὶ εἰς ὀλίγας ἡμέρας ἐκινδύνευσεν εἰς θάνατον καὶ αὐτὸς ὁ χρυσοχόος, καὶ ἔκαμε διαθήκην, ὅτι ὁ Μόδεστος νὰ τὸν κληρονομήσῃ μαζὺ μὲ τὰ παιδιά του τοὺς δύο του υἱούς, καὶ αὐτὸς μὲν ἐτελεύτησεν ὁ δὲ Μόδεστος δὲν ἠθέλησε νὰ λάβῃ τελείως ἀπὸ τὴν κληρονομίαν, ἀλλὰ τὰ ἐμοίρασε χαρίζωντάς τα ὅλα εἰς τοὺς υἱοὺς τοῦ χρυσοχόου, καὶ δὲν ἐκράτησεν οὔτε ἕνα ὀβολόν. Αὐτὸς δὲ ἐπῆγεν ἔξω ἀπὸ τὰς Ἀθήνας καὶ ἔβοσκε τοὺς βόας τῶν ἀνθρώπων, καὶ ἔζη ὡσὰν ἕνας ἀσκητὴς πτωχός. Ὅμως ἀπὸ τὰ πολλὰ θαύματα ὁποῦ ἔκαμεν εἰς τοὺς βόας καὶ εἰς τοὺς ἀνθρώπους. ὡσὰν ὁποῦ ἰάτρευε πᾶσαν ἀσθένειαν, ὅλοι οἱ ἄνθρωποι τὸν ἀγαποῦσαν καὶ τὸν ἐτιμοῦσαν ὡς ἅγιον, καὶ οἱ δύο υἱοὶ τοῦ χρυσοχόου, βλέποντας πῶς τιμοῦν τὸν ἅγιον ὅλοι οἱ ἄνθρωποι, ἐφθόνησαν κατὰ πολλά, καὶ λοιπὸν ἐπροφασίσθησαν πῶς τάχα μέλλουσι νὰ ὑπάγωσιν διὰ πραγματείαν εἰς τὴν Αἴγυπτον, καὶ οὕτως ἐπῆραν καὶ τὸν ἅγιον μαζύ τους, καὶ πηγαίνοντες ἐκεῖ τὸν ἐπούλησαν ὡσὰν σκλάβον, καὶ ἕνα ἄπιστον ἄρχοντα, ὅστις μὲ τὸ νὰ ἦτο κακότροπος καὶ διεστραμμένος ἄνθρωπος, πολλὰ ἐτυράννιζε καὶ ἐτιμωροῦσε τὸν ἅγιον ἕως ἑπτὰ χρόνους, ὁ δὲ ἅγιος κάμνωντας μεγάλην ὑπομονὴν καὶ παρακαλῶν μετὰ δακρύων τὸν Θεὸν τὸν ἐλευθέρωσεν ἀπὸ τὴν ἀπιστίαν, καὶ τὸν ἔκαμνε πιστὸν χριστιανόν, καὶ τὸν ἔσωσεν ἀπὸ μεγάλην ἀρρωστίαν. Μετὰ δὲ τὸν θάνατον αὐτοῦ, ἐπῆγεν ὁ ἅγιος εἰς τὸ ὄρος Σινᾶ, διὰ νὰ προσκυνήσῃ καὶ ἀπ' ἐκεῖ ἐπῆγεν εἰς Ἱεροσόλυμα, καὶ ἐκείναις ταῖς ἡμέραις ἐτελεύτησεν ὁ Πατριάρχης τῶν Ἱεροσολύμων· καὶ οἱ ἐκεῖ χριστιανοὶ εἶχον συνήθειαν ὅταν ἤθελον νὰ κάμουν Πατριάρχην, νὰ παρακαλῶσι τὸν Θεόν, νὰ τοὺς ἀποκαλύψῃ ποῖος ἦτον ἄξιος. Εἶτα ἐπήγαιναν ὅλοι εἰς τὴν αὐλὴν τῆς Ἐκκλησίας, καὶ ὅποιος ἤθελεν ἀνοίξῃ τὰς θύρας τῆς Ἐκκλησίας μὲ τὴν προσευχήν του, ἐκεῖνον ἔκαμναν Πατριάρχην. Οὕτω λοιπὸν ἔκαμαν καὶ τότε· καὶ πηγένωντας καὶ ὁ ἅγιος Μόδεστος καὶ κάμνωντας προσευχήν, εὐθὺς ἀνοίχθησαν αἱ θύραι τῆς ἐκκλησίας καὶ οὕτως ἐπίασαν ὅλοι οἱ Χριστιανοὶ τὸν ἅγιον καὶ τὸν ἔκαμαν ἀρχιερέα καὶ ποιμένα τους δοξάζοντες τὸν Θεόν. Καὶ μετὰ τὴν χειροτονίαν τόσον ἐδόθη ὁ ἅγιος εἰς τὴν ἀρετὴν καὶ εἰς τὴν ἄσκησιν, ὅπου ἠξιώθη ἀπὸ τὸν Θεὸν καὶ ἔκαμνε θαύματα παράδοξα, καὶ ἰάτρευε πᾶσαν ἀσθένειαν καὶ πᾶν πάθος, ὄχι μόνον τῶν ἀνθρώπων ἀλλὰ καὶ τῶν ἀλόγων ζώων. Καὶ ἀπὸ τὰ θαύματα τὰ πολλὰ ὁποῦ ἔκαμνεν, ἐφημίσθη ὁ ἅγιος πανταχοῦ· καὶ μερικοὶ κακότροποι ἐθνικοὶ καὶ ἑβραῖοι ἐφθόνησαν καὶ τὸν ἐπρόδωσαν εἰς τὸν βασιλέα, λέγοντες πῶς τὰ θαύματα ὁποῦ κάμνει ὁ Μόδεστος εἶνε μὲ μαγικὴν τέχνην καὶ μάλιστα ὑβρίζει καὶ ἀτιμάζει τὰ εἴδωλα καὶ τοὺς προσκυνοῦντας ταῦτα.



Ταῦτα ἀκούσας ὁ βασιλεὺς πολλὰ ἐθυμώθη, καὶ ἔστειλεν εὐθὺς πεντήκοντα στρατιώτας νὰ τὸν δέσουν καὶ νὰ τὸν φέρουν ἔμπροσθέν του· καὶ οὕτως ἔγινε· καὶ βλέποντάς του ὁ βασιλεὺς θεωρητικὸν καὶ σεβάσμιον, εἶπέ του· εἰπέ μας Μόδεστε τὴν ἀλήθειαν, πόθεν σοῦ ἐδόθη τόση δύναμις νὰ κάμνῃς θαύματα τόσα ; καὶ διατὶ ὑβρίζεις τοὺς Θεούς μου τὰ εἴδωλα, καὶ διδάσκεις τοὺς ἀνθρώπους νὰ φεύγωσιν ἀπὸ τὰ εἴδωλα καὶ νὰ προσκυνῶσι τὸν Χριστόν ; Καὶ ὁ ἅγιος ἀπεκρίθη· Βασιλεῦ ! τὰ εἴδωλα ποῦ προσκυνεῖς δὲν εἶνε θεοὶ ἀλλὰ δαίμονες, καὶ διὰ τοῦτο διδάσκω τοὺς ἀνθρώπους νὰ μὴ προσκυνοῦν τοὺς δαίμονας ἀλλὰ τὸν ἀληθῆ Θεὸν τὸν Κύριον Ἰησοῦν Χριστόν, τὸν ποιητὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς· αὐτὸς μὲ ἔδωσε καὶ τὴν χάριν αὐτὴν νὰ κάμνω θαύματα. Καὶ σὲ διδάσκω, καὶ σὲ παρακινῶ καὶ ἐσένα βασιλεῦ, νὰ ἀφήσῃς αὐτὰ τὰ μιαρὰ εἴδωλα καὶ νὰ γίνῃς χριστιανὸς νὰ πιστεύσῃς εἰς τὸν Θεόν μου τὸν ἀληθινὸν ὅπου εἶνε ὁ Ἰησοῦς Χριστός. Ἀκούσας ταῦτα ὁ βασιλεὺς πολλὰ ἐθυμώθη καὶ ἐπρόσταξεν εὐθὺς καὶ ἔδεσαν τὸν ἅγιον εἰς τὰς οὐρὰς τῶν μουλαρίων ὁποῦ ἦτο κατὰ πολλὰ ἄγρια διὰ νὰ τρέχουν νὰ καταξεσχίζεται ὁ ἅγιος ἀπὸ τὰς πέτρας συρόμενος βιαίως εἰς τὴν γῆν. Ὅμως εὐθὺς ὁποῦ ἄρχισαν νὰ τρέχουν τὰ μουλάρια εὑρέθη ὁ ἅγιος λυμένος, χωρὶς νὰ πάθῃ κανένα κακόν. Βλέπωντας ὁ βασιλεὺς τοῦτο, ἐθαύμασε πολλὰ καὶ ἔλεγε ὅτι μὲ μαγείαν ἔκαμεν αὐτό· καὶ προστάζει πάλιν ὁ βασιλεὺς νὰ τοῦ δέσουν τὰς χεῖρας καὶ νὰ τὸν δέσουν εἰς τὰ μουλάρια ὡς καὶ τὸ πρῶτον· καὶ ἀφ' οὗ τὸν ἔδεσαν εἰς αὐτὰ τὰ ἠνάγκασαν νὰ τρέξουν μὲ μεγάλην ὁρμήν, καὶ ὁ ἅγιος συρόμενος οὕτως ἐλεεινῶς, ἔψαλε λέγων, «τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν ; σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος» καὶ εἰς ὀλίγην ὥραν ἐσταμάτησαν ἀφ' ἑαυτοῦ των, καὶ ὁ ἅγιος ἐστέκετο

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὄρθιος χωρὶς νὰ ἦνε τελείως βλαμμένος καὶ ψάλλων τῷ Θεῷ. Ἰδὼν δὲ ὁ βασιλεὺς ὅτι δὲν ἔπαθε τίποτε κακὸν ὁ ἅγιος μήτε τότε, πολλὰ ὠργίσθη· καὶ ἐπρόσταξε καὶ ἔφεραν ἐκεῖ παρὼν καρφία ὀξυμητερά, καὶ τὰ ἐκάρφωσαν εἰς τοὺς πόδας τοῦ ἁγίου ὑπὸ κάτω· καὶ οὕτω τὸν ἐσύκωσαν ὀρθόν, καὶ τὸν ἐβίασαν δέρνοντές τον διὰ νὰ τρέχῃ νὰ ὑπάγῃ ἕως τρία μίλια. Καὶ μὲ αὐτὴν τὴν βάσανον τελείως κανένα κακὸν ὁ ἅγιος δὲν ἔπαθε,

Ὥστε ὁποῦ βλέπωντας ὁ βασιλεὺς πολλὰ ἐθαύμασε· καὶ ἐπρόσταξε πάλιν καὶ ἔστρωσαν εἰς τὴν γῆν ἀκάνθια σιδηρένια ἀκανθωτὰ καὶ ὀξυμητερά, καὶ ἐπάνω εἰς αὐτὰ ἐβίαζαν τὸν ἅγιον νὰ περιπατῇ ἕνα μίλιον.

Καὶ οἱ μὲν τύραννοι ταῦτα ἔκαμνον, ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδυνάμωνε τὸν ἅγιον δίδωντάς τον ὑπομονὴν εἰς τὰ βάσανα. Λοιπὸν βλέποντάς τον ὁ βασιλεύς, πῶς ὅλα τὰ μαρτύρια τὰ νικᾷ, ἐθαύμαζε καὶ δὲν ἤξευρε πλέον τὶ νὰ κάμῃ. Τότε ἦλθον οἱ ἑβραῖοι καὶ εἶπον. Πρόσταξε, ὦ βασιλεῦ, νὰ τὸν λιθοβολήσωμεν διὰ νὰ χαθῇ καὶ αὐτὸς καὶ νὰ ἐλευθερωθῇς καὶ σύ. Καὶ ἤρεσε τοῦ βασιλέως, καὶ εὐθὺς ἐπρόσταξε, καὶ εὐγάνοντές τον ἔξω τῆς πόλεως ἐλιθοβόλουν. Ὁ δὲ ἅγιος ἐστέκετο ὄρθιος, ἔχων τὰς χεῖρας ὑψηλὰ καὶ ἐπροσηύχετο καὶ ἀπὸ πρωῒ ἕως τό μεσημέρι τὸν ἐλιθοβόλουν οἱ σκληροτράχηλοι Ἰουδαῖοι, ὅμως τελείως οὔτε μία πέτρα δὲν ἐπῆγεν ἐπάνω του, νὰ τοῦ βαρέσῃ, ὥστε ὁποῦ ἐθαύμαζον ὅλοι τους, μὴ ἠξεύροντες πλέον, οὔτε τὶ νὰ εἰποῦν, οὔτε τὶ νὰ κάμουν· καὶ τὴν ἄλλην ἡμέραν ἔβαλαν τὸν ἅγιον, μέσα εἰς ἕνα λέβητα, ὅστις ἦτο γεμάτος μολύβι, καὶ ἀνάψαντες ὑποκάτω φλόγα τὸν ἔβραζαν μίαν ἑβδομάδα, ὅμως ὁ ἅγιος τελείως κανένα κακὸν οὔτε τότε δὲν ἔπαθε, καὶ βλέποντές τον ἐξεπλάγησαν, καὶ πέρνοντες αὐτόν, τὸν ἐπῆγαν εἰς τὸν βασιλέα τους, καὶ θεωρῶντας αὐτὸν ὁ βασιλεὺς ἀπὸ τὴν λύπην του ὀλίγον ἔλειψε νὰ ἀποθάνῃ, ὡσὰν ὁποῦ δὲν ἠμπόρεσε νὰ τὸν νικήσῃ. Καὶ λοιπὸν προστάζει καὶ ἐτρύπησαν μίαν κολώναν καὶ ἔσφιξαν μέσα εἰς ἐκείνην τὴν τρύπαν τὰς χεῖρας τοῦ ἁγίου, καὶ ξεγυμνώσαντες αὐτὸν τοῦ ἔχυναν εἰς τὸ κορμί του βρασμένον μολύβι, καὶ τριγύρω του ἄναψαν φλόγα μεγάλην καὶ ἐβλασφήμουν τὸν ἅγιον λέγοντές τον, μάγον καὶ γόητα. Καὶ πάλιν ὁμοίως ὁ ἅγιος Μόδεστος οὔτε εἰς τὸν νοῦν του τὰ ἔβανε ταῦτα· ἐπειδὴ ἡ μὲν κολώνα ἐσχίσθη καὶ ἡ πυρκαϊὰ ἐσβέσθη τελείως, καὶ ὁ ἅγιος ὑψώνωντας τὰς χεῖρας του ἄνω εἰς τὸν οὐρανὸν ηὐχαρίστει τὸν Θεόν. Ἰδόντες δὲ ταῦτα οἱ ἀσεβεῖς ἔφριξαν καὶ ἐφοβήθησαν, ὅμως δὲν ἐ-



πίστευσέ τις ἀλλ᾽ ἔμενον εἰς τὴν ἀπώλειαν, καὶ ἔκραζον λέγοντες· ἔλα Μόδεστε μαζύ μας καὶ κάμε θυσίαν εἰς τοὺς θεούς μας καὶ ὑπάκουσε εἰς τὸν βασιλέα μας, διὰ νὰ ἐλευθερωθῇς ἀπὸ τὰ κολαστήρια ὁποῦ ἑτοιμάζει ὁ βασιλεὺς διὰ ἐσένα. Καὶ ὁ ἅγιος ἀκούσας ταῦτα εἶπεν· ἐγὼ ἕνα Θεὸν ἔμαθα νὰ προσκυνῶ καὶ νὰ λατρεύω, τοὺς δὲ θεοὺς ὁποῦ ἐσεῖς ὡς ἄγνωστοι προσκυνᾶτε, μαζὺ μὲ σᾶς τοὺς ὑβρίζω καὶ τοὺς ἀναθεματίζω. Ταῦτα ἀκούσαντες καὶ μεγάλως θυμωθέντες ἔβαλλον τὰς χεῖρας του καὶ τοὺς πόδας του εἰς τὸ βαρὺ ξύλον ἐκεῖνο, ὅπου δ..νουν τοὺς κλέπτας, καὶ ἐπάνω εἰς τὸ σῶμα του χύνουσι μολύβι βρασμένο. Τελείως ὅμως δὲν ἤγγιζεν εἰς τὸν ἅγιον τὸ μολύβι, καὶ πολλὰ θαυμάζοντες εἰς ταῦτα δὲν ἤξευρον πλέον τὶ νὰ κάμουν· καὶ ὕστερον ἐπίασαν καὶ ἄλειψαν τὴν ἱερὰν κεφαλὴν τοῦ ἁγίου μὲ πίσσαν καὶ λάδι, καὶ ἔβαλαν πῦρ, καὶ οὕτω μὲ ἀναμμένην τὴν κεφαλήν του τὸν ἔσυρνον βιαίως εἰς τὸν κόσμον διὰ μέσου τῆς πόλεως. Ταῦτα βλέποντες καὶ οἱ λοιποὶ ἄνθρωποι τῆς πόλεως ἠγανάκτησαν κατὰ τοῦ βασιλέως καὶ τὸν ἐκατηγόρουν φανερῶς. Μανθάνωντας δὲ ταῦτα ὁ βασιλεὺς μεγάλως ἐθυμώθη, ἐπειδὴ εἶδεν ὅτι ἔγινε μεγάλη στάσις καὶ σύγχυσις διὰ τὸν ἅγιον, καὶ προσεκάλεσε τοὺς ἄρχοντας τῆς βασιλείας του καὶ τοὺς μεγιστάνας καὶ εἶπεν αὐτοῖς. Τὶ λέγεται διὰ τὸν Μόδεστον ; Τὶ νὰ τὸν κάμωμεν ; νὰ τὸν θανατώσωμεν ἢ νὰ τὸν ἀφήσωμεν ; ἐὰν τὸν ἀφήσωμεν ὅλος ὁ κόσμος θέλει πιστεύσει εἰς τὸν Θεόν του, ἐπειδὴ ἠξεύρουν ὅλοι πῶς ἀπὸ ὅσα κακὰ καὶ μαρτύρια τοῦ ἐκάμαμεν κανένα δὲν τὸν ἔβλαψεν, ἀλλ᾽ ὅλα τὰ ἐνίκησε· καὶ λοιπόν, συλλογισθῆτε τὶ νὰ τὸν κάμωμεν ; Ταῦτα εἶπεν ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες ἀπεκρίθησαν· Βασιλεῦ· μὴ προστάζεις ἄλλο τι διὰ τὸν Μόδεστον, ἀλλὰ νὰ κοπῇ ἡ κεφαλή του· καὶ ἐπρόσταξεν ὁ βασιλεὺς εὐθὺς νὰ φέρουν σπαθὶ καὶ δείχνωντας εἰς τὸν ἅγιον τὸ σπαθὶ λέγει αὐτῷ. Μόδεστε, ἢ μαρτύρησαι ἡμῖν φανερῶς τὰς μαγείας σου, ἢ νὰ ἠξεύρῃς ὅτι μὲ τοῦτο τὸ σπαθὶ θέλω προστάξει νὰ κόψουν τὴν κεφαλήν σου. Τότε ἀποκριθεὶς ὁ Ἅγιος, λέγει τῷ βασιλεῖ. Ἀληθῶς, ὦ βασιλεῦ, σήμερον θέλεις μοῦ προξενήσει τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἐκεῖνα ὁποῦ ἀπὸ πολὺν καιρὸν ἐπιθυμοῦσα, σήμερον θέλεις μοῦ τὰ προξενήσει. Ἀκούωντας ταῦτα ὁ βασιλεύς, καὶ βλέπωντας πῶς δὲν μετεβλήθη τελείως ἡ γνώμη τοῦ ἁγίου, ἔδωκε τὴν τελευταίαν ἀπόφασιν λέγων. Τὸν Μόδεστον ὁποῦ δὲν ἠθέλησε νὰ ὑπακούσῃ εἰς τὴν βασιλείαν μου, μήτε νὰ θυσιάσῃ εἰς τοὺς θεούς, κελεύω νὰ τὸν ἀποκεφαλίσουν. Καὶ ἀκούσαντες ταῦτα οἱ στρατιῶται ἔλαβον τὸν ἅγιον, καὶ τὸν ἐπῆγαν ἔξω εἰς τὴν πόλιν, καὶ ὡς ἔφθασαν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἰς τὸν τόπον τῆς καταδίκης ἐζήτησεν ὁ ἅγιος διωρίαν διὰ νὰ προσευχηθῇ καὶ σταθεὶς κατὰ ἀνατολὰς ἐπροσευχήθη λέγων.

Ὁ τοῦ φωτὸς δημιουργὸς Κύριε Ἰησοῦ Χριστέ, καταξίωσόν με τῆς βασιλείας ἐπιτυχεῖν ὅτι Σὲ Δέσποτα καὶ μόνον ἐπεπόθησεν ἡ ψυχή μου, καὶ διὰ τὸ Σὸν ὄνομα, θανάτου καὶ βασάνων ἠλόγησα. Μὴ οὖν ἀνάξιόν με κρίνῃς φιλάνθρωπε τῶν σῶν ἀγαθῶν, ἀλλ᾽ ἐπάκουσόν μοι τοῦ Σοῦ δούλου καὶ πρόσδεξαί μου ταύτην τὴν προσευχήν· ὅστις δὲ τὸ ἐμὸν ἐπικαλέσηται ὄνομα, καὶ τὴν μνήμην ἐμοῦ τοῦ ταπεινοῦ ἐκτελέσει, βοηθὸς τῷ τοιούτῳ γενοῦ, καὶ μὴ ἐγκαταλίπῃς αὐτόν· ἀλλ᾽ ἔμπλησον τῶν ἀγαθῶν Σου, καὶ δώρησαι αὐτῷ πλούσια τὰ ἐλέη Σου. Ἔτι δὲ τῷ ἐκ πίστεως τοῦ ἐμοῦ μαρτυρίου καὶ τῆς ἐμῆς ἀθλήσεως μεμνημένῳ, γένοιτο εὐλογία φιλάγαθε Κύριε ὁ Θεός μου. Ἀπελαθήτω δὲ καὶ ἀποδιωξάσθω τοῦ οἴκου τοῦ τοιούτου ἀνδρὸς καὶ πάντων τῶν βασκανισμάτων, καὶ τῶν κτηνῶν αὐτοῦ, πᾶσα νόσος καὶ οἱαδήποτε ἀσθένεια, διὰ τὸ πανάγιον καὶ προσκυνητὸν ὄνομά Σου.

Ναὶ Δέσποτα Ἅγιε, ἔπιδε ἐξ ἁγίου κατοικητηρίου Σου, ἐπὶ τὴν ἐμὴν προσευχήν, καὶ εὐλόγησον, ἁγίασον, ἐνδυνάμωσον καὶ πλήθυνον τὰ κτήνη αὐτοῦ, ὡς εὐλόγησας καὶ ἐπλήθυνας τοῦ Ἀβραὰμ τὰ ποίμνια, τοῦ τε Ἰσαὰκ καὶ Ἰακὼβ ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὁ μὲν ἅγιος ταῦτα εἰπὼν καὶ εὐξάμενος ἔκλινε τὴν κεφαλήν, ὁ δὲ δήμιος τὸν ἀπεκεφάλισεν εὐθὺς τότε, ἔχοντος τοῦ Δεκεμβρίου δέκα ὀκτώ, ἡμέρᾳ Παρασκευῇ. Καὶ τὸ μὲν μαρτύριον τοῦ ἁγίου τοῦτο εἶνε, καὶ οὕτως ἐπολιτεύθη καὶ ἐμαρτύρησεν ὁ ἅγιος οὗτος Μόδεστος διὰ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Πρέπει δὲ ὅμως νὰ εἴπωμεν καὶ μερικὰ θαύματα τοῦ ἁγίου διὰ νὰ ἠξεύρωμεν πόσην τιμὴν ἐκ Θεοῦ ἔλαβεν.

Ἕνας κτίστης εὑρισκόμενος εἰς τὰ Ἱεροσόλυμα, εἶχε βόδια μερικά, εἰς τὰ ὁποῖα ἐσυνέβη ἀσθένεια δυνατὴ ἐκ τοῦ πονηροῦ διαβόλου, καὶ μὴ δυνάμενος τί ποιῆσαι ὁ κτίστης, ἔτρεξεν εἰς τὸν ἅγιον Μόδεστον, ὅταν ἦτον ζῶν, πρὶν δηλαδὴ νὰ μαρτυρήσῃ· καὶ πηγαίνωντας ὁ ἅγιος εἰς τὸν τόπον ὅπου ἦσαν οἱ βόες καὶ εὐλογήσας τούτους, εὐθὺς ἔλαβον τὴν ὑγείαν των· ὁ δὲ διάβολος ἔλεγε μεγαλοφώνως· πολλὰ μὲ ἀδικεῖς Μόδεστε, ἐπειδὴ αὐτὸς ὁ κτίστης εἶνε ἰδικός μου, ὁμοίως καὶ τὰ κτήνη του ἰδικά μου εἶνε. Τότε ἐνουθέτησεν αὐτὸν τὸν κτίστην ὁ ἅγιος καὶ εὐλογήσας αὐτὸν τὸν ἐδίδαξεν ὁποῦ νὰ μὴ κάμνῃ πλέον τὸ



θέλημα τοῦ διαβόλου διὰ νὰ σωθῇ καὶ αὐτὸς καὶ διὰ νὰ μὴ ἀσθενοῦσιν οἱ βόες του.

Ὁμοίως καὶ ἕνας πτωχὸς ἄνθρωπος εἶχεν ἕνα μοσχάρι τὸ ὁποῖον ἐψόφησε καὶ πηγαίνωντας ὁ πτωχὸς εἰς τὸν ἅγιον τὸν παρεκάλεσε νὰ ἀναστήσῃ τὸ μοσχάρι του, καὶ κάμνωντας προσευχὴν ὁ ἅγιος τὸ ἀνέστησεν εὐθύς. Ἕνας δράκων μέγας, ὄφις δηλαδή, ἐλθὼν ἀπὸ τὴν ἔρημον, καὶ εὑρίσκωντας τόπον ἁρμόδιον. κοντὰ εἰς τὴν Ἱερουσαλήμ, ἐκάθητο φονεύων καὶ θανατώνων καὶ ἀνθρώπους καὶ ζῶα καὶ τόσον ὁ ποῦ ἔκλυσεν ὁ δρόμος ἐκεῖνος, καὶ λοιπὸν ἐσυναθροίσθησαν, καὶ εἰς τὸν ἅγιον ἦλθον πολλοὶ ἄνθρωποι καὶ χριστιανοὶ καὶ ἐθνικοί, καὶ ἔλεγον οἱ ἐθνικοὶ ὅτι ἂν φονεύσῃ τὸν δράκοντα ὅλοι νὰ γίνουν χριστιανοί. Ἀκούσας ταῦτα ὁ ἅγιος ἐχάρη· καὶ ἦλθεν εἰς τὸν τόπον ὅπου ἦν τὸ θηρίον, τὸν ἠκολούθησαν καὶ ὅλοι οἱ ἄνθρωποι, καὶ σταθεὶς πλησίον καὶ ἔμπροσθεν τοῦ δράκοντος ὁ ἅγιος, ἔκαμνε προσευχήν. Καὶ εὐθὺς ἔγινε σεισμὸς εἰς ἐκεῖνον τὸν τόπον καὶ τελειώνοντας τὴν προσευχήν του, ἔλαβε τὴν ῥάβδον του, καὶ μετ᾽ αὐτὴν ἔκαμεν ἐπάνω εἰς τὸ θηρίον ἕνα σταυρόν, καὶ εὐθὺς ἐνεκρώθη τὸ θηρίον καὶ ἰδόντες τὸ παράδοξον τοῦτο θαῦμα ὅλοι οἱ ἄνθρωποι, πολλὰ ἐφοβήθησαν τὸν ἅγιον, καὶ εἶπον, μέγας ὁ Θεὸς τοῦ Μοδέστου, καὶ δι᾽ αὐτὸ τὸ θαῦμα, πολλοὶ ἐπίστευσαν εἰς τὸν Χριστόν.

Μία γυνὴ χήρα εἶχε πέντε ζεύγη βοῶν, καὶ ἄλλο τι δὲν εἶχε, μόνον αὐτὰ καὶ εἰς αὐτὰ εἶχε τὴν ἐλπίδα της, ἐπειδὴ τὰ ἔδιδεν εἰς ἄλλους ἀνθρώπους, μὲ μισθὸν καὶ ἐδούλευον· καὶ οὕτως ἐτρέφετο· καὶ εἰς ἕνα καιρὸν ἠσθένησαν καὶ τὰ πέντε καὶ ἐκινδύνευον νὰ ψοφήσουν, καὶ μὴ ἠμπορῶντας τί νὰ κάμῃ, ἔτρεχεν εἰς τὰς Ἐκκλησίας καὶ ἐπαρεκάλει τοὺς ἁγίους νὰ ἰατρεύσουν τοὺς βόας της, ὁμοίως ἐπῆγε καὶ εἰς τὴν Ἐκκλησίαν τῶν ἁγίων Ἀναργύρων. Καὶ τὴν νύκτα φαίνεται ὁ ἅγιος Κοσμᾶς καὶ λέγει της· ὦ γύναι, νὰ ἠξεύρῃς πῶς ὄχι εἰς ἡμᾶς, ἢ εἰς ἄλλον ἅγιον, ἀλλ᾽ εἰς τὸν Μόδεστον τὸν Πατριάρχην τῆς Ἱερουσαλὴμ ἐδόθη αὕτη ἡ χάρις, νὰ ἰατρεύῃ δηλαδὴ τοὺς βόας. Ἀκούσασα ταῦτα ἡ γυνὴ παρεκάλει ἡμέραν τε καὶ νύκτα τὸν ἅγιον εἰς τὸν οἶκον της, ἐπειδὴ ἦτο εἰς μακρυνὸν τόπον, κατὰ πολλὰ μακρυὰ τῆς Ἱερουσαλήμ, καὶ μίαν νύκτα, φαίνεται εἰς τὸν ὕπνον της ὁ Ἅγιος Μόδεστος, καὶ λέγει της. Ἐγὼ εἶμαι ὁ Μόδεστος, ὅπου μὲ κράζεις, καὶ λοιπὸν ὕπαγε εἰς τὸ τάδε χωρίον καὶ εὑρίσκεις ἕνα χαλκέα Εὐστάθιον ὀνομαζόμενον, καὶ εἰπέ του νὰ σοῦ κάμῃ ἕνα σιδηροῦν σταυρόν, καὶ ἀφ᾽ οὗ τὸν κάμει νὰ τὸν δώσῃς ἑπτὰ ἱερέων νὰ τὸν λειτουργήσουν, καὶ τὴν ἑβδό-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μην ἡμέραν νὰ κάμουν οἱ ἱερεῖς ἀγρυπνίαν εἰς τὸν οἶκον σου, νὰ κάμουν καὶ εὐχέλαιον, καὶ πέρνοντας τὸ ἅγιον ἔλαιον τοῦ εὐχελαίου, νὰ τὸ ραντίσουν μὲ τὸν σταυρὸν εἰς τοὺς βόας σου, καὶ οὕτως ἰατρεύονται. Καὶ οὕτω ποιήσασα ἡ γυνὴ ἰατρεύθησαν οἱ βόες της, μὲ τὴν δύναμιν τοῦ Θεοῦ καὶ μὲ τὴν χάριν τοῦ ἁγίου Μοδέστου.

Ἕνας βουκόλος εἶχε βόας πολλούς ὅμως ὅλοι στεῖροι· ἐπῆγεν εἰς τὸν Ἅγιον, λέγων μετὰ δακρύων, λυπήσου με ἅγιε Δέσποτα τὸν πτωχὸν ἐπειδὴ ἔχω βόας καὶ ὅλοι ἐστείρευσαν, καὶ δὲν τεκνογονοῦν τελείως· καὶ ὁ ἅγιος τὸν ἐλυπήθη καὶ τοῦ λέγει : Κύριος ὁ Θεὸς ὁ εὐλογήσας τοῦ Ἀβραὰμ καὶ Ἰακὼβ τὰ κτήνη, αὐτὸς νὰ σοῦ χαρίσῃ καὶ σὲ τέκνον μου βόας πολλούς. Ἀκούσας ταῦτα ὁ βουκόλος ἐχάρη πολλά, καὶ εἰς κάθε χρόνον ἐτεκνοποιοῦσαν μὲ τὴν χάριν καὶ εὐλογίαν τοῦ ἁγίου.

Ἀρκετὰ εἶνε ταῦτα τὰ θαύματα, νὰ καταλάβῃ τις πόσην τιμὴν ἔλαβεν ὁ ἅγιος ἐκ Θεοῦ, ὁποῦ ζῶν ἔκαμνε τόσα θαύματα, καὶ ὄχι μόνον τόσα, ἀλλὰ ἀναρίθμητα. Ἀφ' οὗ ὅμως ἐμαρτύρησεν ὁ ἅγιος, πολλὰ περισσότερα ἔκαμε καὶ κάμνει καθ' ἑκάστην εἰς ὅσους τὸν ἐπικαλεσθοῦν, μετὰ πίστεως.

Ἂς τὸν δοξολογήσωμεν λοιπὸν καὶ ἡμεῖς ἐτησίως ἀδελφοί, διὰ νὰ πρεσβεύῃ ὑπὲρ ἡμῶν πρὸς τὸν ἅγιον Θεόν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

---

**Εὐχὴ τοῦ Ἁγίου Μοδέστου λεγομένη εἰς πᾶσαν θανατηφόρον ἀσθένειαν καὶ βλάβην βοῶν, ἵππων, ὄνων, ἡμιόνων, προβάτων, αἰγῶν, μελισσῶν, καὶ τῶν λοιπῶν ζώων.**

**Τοῦ Κυρίου δεηθῶμεν.**

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ὁ ἐλεήμων καὶ πανάγαθος, ὁ πᾶσαν τὴν νοητὴν καὶ αἰσθητὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ τοὺς οἰκτιρμούς Σου ἐκχέων ἐπὶ πάντα τὰ ὑπὸ Σοῦ δημιουργηθέντα, ὁ διὰ τῆς παναγάθου Προνοίας Σου πάντων προνοῶν καὶ πάντα κηδόμενος τῶν κτισμάτων Σου, ἀΰλων, ὑλικῶν, λογικῶν, ἀλόγων, ἐμψύχων, ἀψύχων, ἀπὸ τῶν πρώτων ἕως τῶν ἐσχάτων· οὐδὲν γὰρ ἀπρονόητον, οὐδὲ ἠμελημένον παρὰ Σοὶ τῷ Ποιητῇ καὶ Προνοητῇ τοῦ παντός. Σὺ γὰρ εἶ ὁ ἀνοίγων τὴν χεῖρά σου καὶ ἐμπιμπλῶν πᾶν ζῶον εὐδοκίας· σὺ εἶ ὁ ἐξανατέλλων χόρτον τῆς κτήνεσι καὶ χλόην, ἕνεκα τῆς δουλείας τῶν ἀνθρώπων. Σὺ εἶ ὁ πάλαι τὰς τῶν ζώων ἀγέλας τοῦ Ἰσραήλ, ἀνω-



τέρας διαφυλάξας τῆς θανατηφόρου πληγῆς τῶν πρωτοτόκων ζώων τῶν Αἰγυπτίων. Σὺ εἶ ὁ διὰ τῆς ἐνσάρκου οἰκονομίας καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ τῷ θανάτῳ Σου θανατώσας τὸν θάνατον. Σὺ εἶ ὁ καὶ δι' ἐμοῦ τοῦ ἀναξίου δούλου Σου τὸν μὲν ὄφιν θανατώσας, τὸν τὴν πηγὴν τοῦ ὕδατος τῷ ἑαυτοῦ ἰῷ διαφθείραντα, τὰ δὲ ἐξ αὐτῆς πίνοντα ζῶα καὶ νεκρωθέντα, τῇ ζωοποιῷ δυνάμει Σου ἀναστήσας, τὸν δὲ εἰς τοῦτο συνεργήσαντα δαίμονα, ἐμφανῆ γενέσθαι παρασκευάσας, ὀμνύοντα μηδέποτε προσεγγίσαι τολμῆσαι, ὅπου ἂν ἐπικληθείη τὸ ταπεινὸν ἐμοῦ ὄνομα. Σοῦ τοίνυν δέομαι, Δέσποτα πανάγαθε, Ποιητὰ τοῦ παντός, καὶ Σὲ ἱκετεύω τὸν τῆς ζωῆς πάσης αἴτιον, ἐπάκουσον ταύτης μου τῆς δεήσεως· καὶ ἀπέλασον πᾶσαν θανατηφόρον ἀσθένειαν, καὶ βλάβην ἀπὸ τῶν βοῶν καὶ ἵππων, ὄνων, ἡμιόνων, προβάτων, αἰγῶν, μελισσῶν, καὶ τῶν λοιπῶν ζώων τῶν εἰς χρείαν ὄντων τῆς ζωῆς τῶν δούλων Σου, τῶν ἐπικαλουμένων Σὲ τὸν Σωτῆρα πάντων τῶν ἀγαθῶν, καὶ τὸ ἐμὸν ὄνομα. Καὶ δὸς Κύριε πᾶσι τοῖς τὴν ἐμὴν μνήμην ἐπιτελοῦσι, καὶ μετὰ πίστεως προστρέχουσι τοῖς λειψάνοις μου, εἰρήνην σταθεράν, πληθυσμὸν ζώων, ἀφθονίαν σίτου, οἴνου καὶ ἐλαίου, καὶ ἐπὶ πᾶσαν ἄφεσιν ἁμαρτιῶν, σωμάτων ὑγείαν, καὶ τὴν τῶν ψυχῶν αἰώνιον σωτηρίαν. Ναὶ Κύριε Ἰησοῦ Χριστέ, τοῖς ἰδίοις σπλάγχνοις ἐπικαμπτόμενος, οἴκτειρον τὰ πάσχοντα ζῶα, τῇ δρεπάνῃ τοῦ θανάτου ἀγεληδὸν θεριζόμενα· καὶ ὡς λόγον μὴ ἔχοντα, μόνοις τοῖς μυκηθμοῖς καὶ ταῖς γοεραῖς καὶ ἀνάρθροις φωναῖς τὸ πάθος καὶ τὴν ὀδύνην αὐτῶν ἐλεεινῶς ἐξαγγέλοντα, ὥστε καὶ τοὺς λογικοὺς εἰς συμπάθειαν τούτων ἕλκεσθαι. Εἰ γὰρ δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ κατὰ τὸ γεγραμμένον, πῶς οὐκ οἰκτειρήσεις ταῦτα Σύ, ὁ τούτων ποιητὴς καὶ προνοητής ; Σὺ γὰρ εὔσπλαγχνε καὶ τῶν ἐν τῇ Κιβωτῷ ζώων ἐμνήσθης ὑπὸ τῆς οἰκείας χρηστότητος καὶ τῶν οἰκτιρμῶν Σου νικώμενος, ἵνα διὰ τῆς εὐεξίας καὶ τοῦ πληθυσμοῦ τῶν βοῶν καὶ τῶν λοιπῶν τετραπόδων ζώων, καλλιεργεῖται μὲν ἡ γῆ, αὐξάνουσι δὲ οἱ καρποί, καὶ ἀφθόνως οἱ δοῦλοί Σου οἱ ἐπικεκλημένοι τὸ ὄνομά Σου, ἀπολαύωσι τῶν ἰδίων γεωργιῶν· ἐκ τούτων δὲ πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύουσιν εἰς πᾶν ἔργον ἀγαθὸν καὶ δοξάζωσι μὲν Σὲ τὸν χορηγὸν παντὸς ἀγαθοῦ, τιμῶσι δὲ κἀμὲ τὸν Σὸν δοῦλον, ἱκέτην θερμότατον τῆς Παντοκρατορικῆς βασι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λείας Σου. Ὦ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

**Ἑτέρα εὐχὴ εἰς τὸ εὐλογῆσαι ποίμνην**

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐξουσίαν ἔχων πάσης κτίσεως. Σοῦ δεόμεθα, καὶ Σὲ παρακαλοῦμεν, ὡς εὐλόγησας καὶ ἐπλήθυνας τὰ ποίμνια τοῦ Πατριάρχου Ἰακώβ, εὐλόγησον καὶ τὴν ποίμνην τοῦ δούλου Σου (τοῦδε,) καὶ πλήθυνον καὶ ἐνδυνάμωσον αὐτήν, καὶ ποίησον αὐτὴν εἰς χιλιάδας, καὶ ῥῦσαι αὐτὴν ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου, καὶ τῶν ἀλλοφύλων, καὶ πάσης ἐπιβουλῆς ἐχθρῶν, καὶ βορρᾶς ἀγρίων θηρίων καὶ αὔρας θανατικῆς, καὶ λοιμικῆς ἀσθενείας καὶ νόσου. Περιφρούρησον αὐτὴν δι᾽ ἁγίων ἀγγέλων Σου, πᾶσαν ἀσθένειαν, πάντα φθόνον καὶ πειρασμόν, φαρμακείας καὶ γοητείας ἐξ ἐνεργείας ἐπερχομένης τοῦ διαβόλου, ἀποδιώκων ἀπ᾽ αὐτῆς. Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

**Εὐχὴ εἰς νόσων βοῶν.**

Δέσποτα φιλάνθρωπε Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας πάντα τὰ ὄντα, καὶ ἐξουσίαν ἔχων πάσης Κτίσεως, Σοῦ δεόμεθα, καὶ Σὲ παρακαλοῦμεν, ὡς εὐλόγησας καὶ ἐπλήθυνας τὰ ποίμνια τοῦ Ἰακώβ, εὐλόγησον καὶ τὰ ζῶα ταῦτα, ἅπερ εἰς χρῆσιν καὶ δουλείαν ἡμῖν τοῖς δούλοις σου δέδωκας· ἀπόστησον ἀπ᾽ αὐτῶν, πολυέλεε Κύριε, πᾶσαν ἀσθένειαν, καὶ τὸν ἐπικίνδυνον τοῦτον θάνατον, ὃν αὐτοῖς ἐπέθηκας διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ ποίησον αὐτὰ ὑγιῆ καὶ εὔρωστα καὶ ῥῦσαι ταῦτα ἐκ πάσης ἀσθενείας, καὶ τῆς καταδυναστείας τοῦ διαβόλου, καὶ πάσης ἐπιβουλῆς καὶ βλάβης ἐχθρῶν, καὶ αὔρας θανατικῆς, καὶ λοιμικῆς νόσου. Περιφρούρησον αὐτὰ Κύριε δι᾽ ἁγίων ἀγγέλων Σου, ὅτι Σὺ εἶ ὁ εὐλογῶν καὶ συντηρῶν τὰ σύμπαντα· καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.



**Δέησις ἐν καιρῷ πυρκαϊᾶς, ὑπὸ Ἰωακεὶμ τοῦ Γ΄. Πατριάρχου Κων)πόλεως.**

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Ἔτι δεόμεθα ὑπὲρ τῆς πόλεως ταύτης καὶ τῶν ἐν αὐτῇ οἰκούντων εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν. Ἔτι δεόμεθα ὑπὲρ εἰρήνης καὶ καταστάσεως αὐτῆς καὶ τῶν ἐν αὐτῇ. Ἔτι δεόμεθα ὑπὲρ ἀπαλλαγῆς καὶ σωτηρίας αὐτῆς ἀπὸ πάσης ἐπικειμένης αὐτῇ καὶ ταῖς ἐν αὐτῇ καὶ περὶ αὐτὴν ἀπειλῆς καὶ πυρὸς καὶ πάσης τῆς ἐξ αὐτοῦ ὀλέθρου ἐπηρείας.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ καταπέμψαι ὄμβρον εἰς κατάπαυσιν τοῦ μαινομένου πυρὸς τῶν κτήσεων αὐτῆς καὶ εἰς πλουσίαν καρποφορίαν εἰς ἀνάπαυσιν τῶν κατοικούντων ἐν αὐτῇ. Ἔτι δεόμεθα ὑπὲρ τῆς ἀπελάσεως, τῆς ἀποσοβήσεως πάσης ἀντικειμένης καὶ ἐπιβλαβοῦς καταδρομῆς. Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν ἡμῶν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, ἐν συντριβῇ καὶ δάκρυσι δεομένων καὶ ἐλέησον ἡμᾶς. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Καὶ ἡ Εὐχή.

**Τοῦ Κυρίου δεηθῶμεν.**

Βασιλεῦ ἄναρχε, Παντοδύναμε καὶ Πολυέλεε. Σοῦ δεόμεθα καὶ Σὲ παρακαλοῦμεν Ἅγιε Ἁγίων, ἐπάκουσον ἡμῶν δεομένων ἐν τῇ ὥρᾳ ταύτῃ τοῦ πυρὸς καὶ τῆς ἀπειλῆς τῶν κυκλούντων ἡμᾶς δεινῶν. Ναὶ Κύριε δεόμεθα τῆς Σῆς ἀγαθότητος, ἐξαπόστειλον ἄγγελον ἐξ ἁγίου κατοικητηρίου Σου, ἵνα ῥάνῃ ἐφ᾽ ἡμᾶς ὄμβροις σωτηρίας εἰς ἀπαλλαγὴν ἀπὸ τοῦ καταλαβόντος καὶ κατεχομένου ἡμᾶς πυρός, τῶν ἄνευ τῆς Σῆς δροσοβόλου χάριτος τὸν ὄλεθρον ἡμῶν ἐπηρείᾳ ἀντικειμένῃ διασκεδάζοντος. Ναὶ φιλάγαθε, οἴδαμεν ὅτι ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν Σου οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν, ἀλλ᾽ οὐκ ἀπέστημεν ἀπὸ Σοῦ. Σὲ μόνον ὁμολογοῦντες Θεὸν ἐν Τριάδι ἀληθινόν. Σὲ μόνον προσκυνοῦντες, Σὲ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μόνον δοξολογοῦντες. Ἐπάκουσον τοίνυν ἡμῶν τῶν μετὰ καρδίας συντετριμμένης καὶ πνεύματι ταπεινώσεως ἐπικαλουμένων τὸ ἔλεός Σου, καὶ ἀπάλλαξον ἡμᾶς καὶ τὰ περὶ ἡμᾶς τῆς φοβερᾶς τοῦ πυρὸς ἀπειλῆς, ἀποδίωξον ἀφ' ἡμῶν τὸν φοβερὸν τοῦτον ἐχθρὸν τὸν ἐπιζητοῦντα τὸν ὄλεθρον τῆς Ἱερᾶς ἡμῶν Μονῆς (ἢ τῆς Πόλεως ταύτης) καὶ τῶν κτημάτων αὐτῆς· ἐξαπόστειλον εἰς κατάσβεσιν αὐτοῦ δρόσον οὐράνιον, τὴν ἐκτρέφουσαν τὴν βλάστησιν καὶ τὴν χαρὰν καὶ εἰρήνην καὶ τὴν δοξολογίαν τοῦ Παναγίου ὀνόματός Σου ἐπιβράβευσιν, ἵνα δοξάζωμεν τὸ πανάγιον καὶ ὑπερύμνητον ὄνομα τῆς ἐν Τριάδι θεότητος τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος Ἀμήν.

Λέγεται ἡ εὐχὴ αὕτη τρὶς παρὰ τριῶν ἱερέων, ἀφ' οὗ προηγουμένως ἀναγνωσθῇ μετὰ τὸ Εὐλογητὸς καὶ τὸ τρισάγιον καὶ τὸ Ἐλέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς κ.τ.λ.

Ἡ εὐχὴ τοῦ Ἁγιασμοῦ ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον.

"ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ„ ΑΡΙΘ. 5

# ΑΚΟΛΟΥΘΙΑ
## τοῦ Ἁγίου νέου ὁσιομάρτυρος
# ΡΩΜΑΝΟΥ
## ΤΟΥ ΑΠΟ ΚΑΡΠΕΝΗΣΙΟΥ

Μαθητοῦ τοῦ ἁγίου Ἀκακίου τοῦ Καυσοκαλυβίτου, μαρτυρήσαντος ἐν Κωνσταντινουπόλει ἐν ἔτει 1694

Ἀντιγραφεῖσα ἐξ ἀρχαίου χειρογράφου τῆς καλύβης τοῦ ἁγίου Ἀκακίου, Σκήτεως Καυσοκαλυβίων

ΥΠΟ

ΙΣΙΔΩΡΟΥ ΜΟΝΑΧΟΥ ΚΑΥΣΟΚΑΛΥΒΙΤΟΥ

**ἐκ καλύβης ἁγίου Χαραλάμπους, ἐν ἔτει 1915**

Μετὰ κανόνος εἰς τὸ τέλος εἰς τοὺς ἁγίους Πάντας καὶ ἄλλα τινὰ ἀνέκδοτα Ἰωσὴφ τοῦ Τυρνόβου

**Σταλείσης δὲ ἡμῖν πρὸς ἐκτύπωσιν ὑπὸ τοῦ Μοναχοῦ τῆς ἐν τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθῳ Ἱερᾶς Μονῆς τῆς Μεγίστης Λαύρας ὑπὸ**

ΣΠΥΡΙΔΩΝΟΣ ΛΑΥΡΙΩΤΟΥ

ΙΑΤΡΟΥ

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται

ΥΠΟ

**ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ**

ΙΑΝΟΥΑΡΙΟΣ 1937

1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀπαγορεύεται αὐστηρῶς ἡ ἀνατύπωσις

## ΜΗΝΙ ΙΑΝΟΥΑΡΙΩ Ε΄. (*)

**Μνήμη τοῦ Ἁγίου νέου ὁσιομάρτυρος Ρωμανοῦ τοῦ ἀπὸ Σοβολὰκ τοῦ Καρπενησίου, μαθητοῦ τοῦ Ἁγίου Ἀκακίου τοῦ Καυσοκαλυβίτου, μαρτυρήσαντος ἐν Κων)πόλει ἐν ἔτει 1694.**

### ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὴν α΄. στάσιν τοῦ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Τὸν ἁπλούστατον βίον σου, Ρωμανὲ ἐχαρίτωσας, πρώην δι᾽ ἀσκήσεως ὡς ὑπήκοος, τοῦ Ἀκακίου γενόμενος, ὁσίου τοῦ μάκαρος, ὡς ἀλείπτης σου σοφέ, πρὸς τὴν ἄθλησιν γέγονεν ὁλοῦστερον, δι᾽ ἧς ἔτυχες τέλους ὡς ἐπόθεις εὐφραινόμενος ἐν δόξῃ, μετὰ μαρτύρων μακάριε. Δὶς

Καὶ θεόκλητος γέγονας, καὶ θεόσεπτος ἔνδοξε. ὡς δηλοῖ ὁ τρόπος σου καὶ ὁ πόθος σου, ὤφθη γὰρ ὅλος ἀκράτητος, καὶ ὅλος ἀκλόνητος, τοῦ παθεῖν ὑπὲρ Χριστοῦ, πολυώδυνον θάνατον, δι᾽ ἀθλήσεως, ᾧ καὶ νῦν ἠξιώθης ἀθλοφόρε, μετασχεῖν αὐτοθελήτως, νέος φανεὶς ὁσιόαθλος. Δὶς

Διὰ σοῦ ὁ Ἀκάκιος ἐπιστώθη τὰ κρείττονα, Ρωμανὲ πολύαθλε Χριστοῦ γνήσιε, ὡς δι᾽ αὐτοῦ σοὶ ἐγνώρισται, Θεοῦ θεῖον θέλημα, τοῦ δοξᾶσαι ἐν τοῖς σοῖς, θείοις ἄθλοις τὸν Κύριον, ὃ καὶ γέγονεν, ὡς αὐτὸς μετὰ πότμον σοῦ τὸ θεῖον, συνεδόξασεν εἰκότως, σκῆνος φωτὶ μάρτυς ἔνδοξε. Δὶς

Τοὺς ὁσίους καὶ μάρτυρας συνεδόξασας Κύριε, ὡς αὐτοὶ ἐδόξασαν καὶ δοξάζουσι, τὸ σὸν πανάγιον ὄνομα, οἱ μὲν ταῖς ἀσκήσεσιν, ὥσπερ ἄσαρκοι βρωτοί, μοναστῶν τε τὰ τάγματα καὶ ὁσίων τε, οἱ χοροὶ τῶν ἁγίων καὶ δικαίων, συναγάλλονται, ὦ μάρτυς, ὡς τῶν ἀγγέλων συνόμιλος. Δὶς

**Δόξα ἦχος πλ. β΄.**

Χαίρει ἐν τῇ μνήμῃ σου σήμερον τῶν ἐν Ἄθῳ μοναζόντων ἡ πληθύς, Ρωμανὲ ὁσίαθλε μακάριε οὐ γὰρ ἔστεργες πανέν-

(*) Τὴν μνήμην τοῦ Ἁγ. Ὁσιομάρτυρος Ρωμανοῦ τὴν ἀναφέρει ὁ Συναξαριστὴς καὶ κατὰ τὴν ΙΣΤ΄. Φεβρουαρίου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

δοξε, τοῖς ἀσκητικοῖς ἀγῶσι τοῦ σοῦ προστάτου, καὶ συνασκητοῦ σου Ἀκακίου, ἀλλ᾽ ἔδωκας σεαυτόν, εἰς ἀγῶνας φοβεροὺς τοῦ μαρτυρίου, τὸν Χριστὸν μιμούμενος, καὶ τοὺς αὐτοῦ μαθητὰς καὶ Ἀποστόλους, ὅθεν οὐκ ἀπέτυχες τοῦ ποθουμένου σοι, τοῦ μετὰ Μαρτύρων συνεῖναι, καὶ πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν θεοτοκίον· ὁ αὐτός.**

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, Σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος.** Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ μαρτυρικὰ Ἀναγνώσματα.

**Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.**

Κεφ. Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα,
ΜΓ΄. 9 καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ καὶ ἀκουσάτωσαν. Γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**

Κεφ. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν
Γ΄. 1 βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Κεφ. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐ-
Ε΄. 16 τῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργήν, εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Στιχηρὰ Προσόμοια

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Χαίροις ὁσιομάρτυς Χριστοῦ, ὁ καταισχύνας τῶν ἀπίστων τὰς φάλαγγας, καὶ στήσας κατὰ τῆς πλάνης τρόπαιον μέγα σοφέ, Ῥωμανὲ Θεόφρον, στηριζόμενος, ταῖς θείαις ἐντεύξεσιν, Ἀκακίου τοῦ μάκαρος τοῦ σοῦ ἀλείπτου, καὶ πολλὰς ἐνεγκάμενος, θλίψεις πάνσοφε, καὶ τὸν βίαιον θάνατον, ὅθεν μακαριώτατε, ἐ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

στέφθης ὡς γνήσιος, Μάρτυς Χριστοῦ καὶ ἀνέπτης, εἰς οὐρανοὺς δοξαζόμενος, μετά τε τῶν πάλαι, καὶ τῶν νέων συμμαρτύρων, ὢ τῆς ἀξίας σου.

**Στιχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος.**

Χαίροις ὁσιομάρτυς Χριστοῦ, Καρπεννησίου, τὸ ἐξαίρετον καύχημα, ὁσίου τε Ἀκακίου, ὁ μύστης ὁ ἐκλεκτός, δι' οὗ χάριν εὗρες τὴν οὐράνιον, τομῶς γὰρ κατῄσχυνας, ἔθνος ὄντως μισόχριστον, τὸ ἐκ τῆς Ἄγαρ, τὸ δεινὸν καὶ ἐπάρατον καὶ ἐδόξασας, τὸ χριστώνυμον ἔνδοξε, ὅθεν καὶ χάριν εὕρηκας συνεῖναι τῷ Κτίστῃ σου, ἐν Οὐρανοῖς μετὰ δόξης, ὅσιος ὥσπερ καὶ μέγιστος, ἐν Μάρτυσι μάρτυς, καὶ πρεσβεύεις ὑπὲρ πάντων, τῶν εὐφημούντων σε.

**Στιχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

Χαίροις ὁσιομάρτυς Χριστοῦ, ὁ τῶν ἀπίστων, ἀπειλὰς μὴ πτοούμενος, ὑπέστης γὰρ ῥαβδισμούς τε, μετὰ μεγίστης ὀργῆς, τῶν δεινῶν δημίων καρτερώτατα, τῆς γλώττης ἀφαίρεσιν, παρειῶν τε τὴν κάκωσιν, καὶ τὴν ζοφώδη τὴν τοῦ φρέατος κάθειρξιν, τεσσαράκοντα ἡμερῶν ἀξιάγαστε, ὅθεν λωροτομούμενος καὶ κάραν τεμνόμενος, Θεῷ εὐάρεστος ὤφθης, καὶ νικηφόρος ἀνέδραμες, ἐν πόλῳ συνεῖναι, τοῖς ἀγγέλοις καὶ πρεσβεύειν ὑπὲρ τῶν δούλων σου.

Δόξα. Ἦχος δ'.

Ἀκακίῳ τῷ σοφῷ μαθητευθείς, καὶ ὑπ' αὐτοῦ μυηθεὶς τὰ δέοντα, ὄντως Θεῷ εὐηρέστησας, ἀμφοτέρωθεν εὐδοκιμήσας, Ῥωμανὲ ὁσιομάρτυς πανένδοξε· ὑποστὰς γὰρ πᾶσαν βάσανον, στεφηφόρος ἀνέπτης εἰς τὰ οὐράνια, συμβασιλεύων Χριστῷ τῷ Θεῷ καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν Θεοτοκίον ἦχος δ'.**

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Ἀπολυτίκιον**

**Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.**

Ἀσκητικῶς προγυμνασθεὶς ἐν τῷ Ἄθῳ, ταῖς Ἀκακίου διδαχαῖς τοῦ ὁσίου, καὶ ἐξ αὐτοῦ λαβὼν τὴν θείαν βούλησιν, ὑπα-



στῆναι ἔδραμες, μαρτυρίου τὰς θλίψεις, ἅμα καὶ τὸν θάνατον, Ῥωμανὲ καὶ παρέστης, στεφανηφόρος μάρτυς τοῦ Χριστοῦ, ὑπὲρ ἡμῶν πρεσβεύειν πανένδοξε.

Τὰ λοιπὰ τοῦ Ἑσπερινοῦ καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν α'. Στιχολογίαν. Κάθισμα.

**Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.**

Ὁσίων καλλονή, καὶ Μαρτύρων ἀκρότης, ἐδείχθης Ῥωμανέ, ἀληθῶς ἐν τῷ βίῳ καὶ ὅλος εὐδόκιμος, ἑκατέρωθεν γέγονας, ὡς ἁπλούστατος, κατὰ Θεὸν παιδιόθεν, καὶ ἀγράμματος, ὡς οἱ Ἀπόστολοι ὅθεν, τιμῶμεν τὴν μνήμην σου.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον ὅμοιον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων, καὶ θλίψεων. Σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους σου.

Μετὰ τὴν β'. στιχολογίαν. Κάθισμα.

**Ἦχος γ'. Τὴν ὡραιότητα.**

Τὸν κακομήχανον νικήσας πρότερον, πολλῇ ἀσκήσει σου, ἐν δὲ τὸ ὕστερον, τελείως ᾔσχυνας αὐτόν, ἀθλήσεως τοῖς ἀγῶσιν, ἔφερες γὰρ μώλωπας, τῶν μαστίγων καὶ κάθειρξιν, ἔνδον ἐν τῷ φρέατι, Ῥωμανὲ πολυήμερον, διὸ καὶ ἐδοξάσθης εἰκότως, παρὰ Θεοῦ ὡς μάρτυς μέγιστος.

**Δόξα τὸ αὐτὸ Καὶ νῦν. Θεοτοκίον ὅμοιον.**

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· Ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι. Διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὸν πολυέλαιον. Κάθισμα.

**Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.**

Παρειῶν σου τὰς πληγάς, καὶ τὴν τῆς γλώττης ἐκτομήν, ἔφερες ὅλῃ σου ψυχῇ, ὑπὲρ Χριστοῦ ὃς δι' ἡμᾶς, σταυρὸν ὑ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πέστη, καὶ θάνατον καὶ ἄλλα, μάρτυς Ῥωμανέ, ἀλλ' ἔτι ἔφερες, καὶ μέρος τῆς δορᾶς σου τὴν ἀφαίρεσιν, καὶ τὸν ἐκ ξίφους θάνατον ὡσαύτως, καὶ νῦν οἰκεῖς τὰ οὐράνια, μετὰ μαρτύρων καὶ τῷ Δεσπότῃ, ὑπὲρ ἡμῶν πρεσβεύεις μακάριε.

**Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον ὅμοιον.**

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε· βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε. Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει Παρθένος.

Οἱ ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον. Ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.

**Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον Μαρτυρικόν, ὁ Ν.'**

**Δόξα· ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν· ταῖς τῆς Θεοτόκου.**

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ Ἰδιόμελον.

**Ἦχος πλ. β'.**

Σήμερον ἡ οἰκουμένη πᾶσα, ταῖς τοῦ ἀθλοφόρου αὐγάζεται ἀκτῖσι, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία τοῖς ἄνθεσιν ὡραϊζομένη, Ῥωμανὲ βοᾷ σοι, θεράπον Χριστοῦ, καὶ προστάτα θερμότατε, μὴ ἐλλείπῃς πρεσβεύειν ὑπὲρ τῶν δούλων σου.

**Οἱ Κανόνες**

Ὁ Κανὼν τῆς Θεοτόκου, μετὰ τῶν εἱρμῶν εἰς ϛ'. καὶ τοῦ Ἁγίου εἰς ϛ'.

Τῆς Θεοτόκου. **Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.**

«Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν »διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· τῷ λυτρωτῇ, καὶ Θεῷ »ἡμῶν ᾄσωμεν».

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν. Ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.



Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας ἐμπιπλῶσαί μου τὴν ψυχήν. Εἰρήνευσον, κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη, Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Ὁ Κανὼν τοῦ Ἁγίου.

**Οὗ ἡ ἀκροστιχὶς καὶ ἀλφάβητον ἀντίστροφον, ἄνευ τῶν Θεοτοκίων.**

**Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.**

Ὡς ἐκ παιδὸς νουνεχής τε ὡς εὐσεβῶν, γεννητόρων βλάστημα, ὑπὲρ ἄλλων ἀγαθῶν, τὸν Θεὸν ἠγάπησας σοφέ, Ῥωμανὲ καί σου τὸ ζῆν αὐτῷ ἀνέθηκας.

Ψυχὴν ἐζώωσας μάρτυς θείᾳ στοργῇ, τόπους ἀμειβόμενος τοὺς ἁγίους ἐν Σιὼν καὶ εἰς κόρον ὅλος θερμανθείς, μαρτυρίου τὴν ὁδόν, χαίρων ἐβάδισας.

Χριστὸν κηρύξας θεάνθρωπον κατ' ἀρχάς, μάρτυς κατ' ἐνώπιον, τῶν ἀθέων Ῥωμανέ, τὸν ἐπάρατον Μωάμεθ ὡς εἰκός, ἐναπέδειξας υἱὸν γεέννης ἔνδοξε.

**Θεοτοκίον.**

Θεοχαρίτωτε Κόρη ἡ κραταιά, τῶν πιστῶν βοήθεια. καὶ ἐλπὶς τῶν ταπεινῶν, σύ με ἐλευθέρωσον σαρκός, ἡδονῶν τε καὶ παθῶν τῶν πολεμούντων με.

Καταβασία: **Ἀνοίξω τὸ στόμα μου.**

Τῆς Θεοτόκου. **Ὠδὴ Γ'. Ὁ Εἱρμός.**

«Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δο»μῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφε»τῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε».

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε, σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου· σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη Πανάχραντε.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Χαλεπαῖς ἀρρωστίαις, καὶ νοσηροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον.

Τοῦ Ἁγίου· **οὐκ ἔστιν Ἅγιος ὡς σύ.**

Φέρεις μαστίγων τὰς πληγάς, παρειῶν τε τὰς τρώσεις, Ῥωμανὲ ὁλοψύχως, καὶ κηρύττεις σεαυτόν, χριστώνυμον εὐθαρσῶς, ἐν σταδίῳ, τῷ τῆς ματαιότητος.

Ὑπὸ κακίστων δυσμενῶν, ὁ ἀήττητος μάρτυς, ὑπομένει τὰ πάντα, ἑκουσίως, καὶ ἐστὼς λοροτομεῖται δεινῶς. προσδεύων, ὅλος εἰς τὰ κρείττονα.

Τῷ ὄρει τοῦ Ἄθῳ ἀρδευθείς, ἐκ πηγῆς ζωηφόρου, Ἀκακίου τοῦ θείου, ὁ θεόφρων Ῥωμανὸς καὶ ἀνακάμψας φαιδρός, αὖθις τρέχει παρρησιαζόμενος.

**Θεοτοκίον.**

Οὐκ ἔστιν ὅστις πρὸς τὴν σήν, καταπέφευγε σκέπην, καὶ οὐκ ἔτυχε Κόρη, τῶν πολλῶν σου οἰκτιρμῶν, διὸ κἀγὼ δυσωπῶ ἵνα τύχω, τῆς σῆς ἀντιλήψεως.

Καταβασία: **Τοὺς σοὺς Ὑμνολόγους.**

Κάθισμα. **Ἦχος πλ. α΄ Τὸν Συνάναρχον Λόγον.**

Μαθητεύσας ὁσίως, Πατρὶ Ὁσίῳ τε, τῷ σοφῷ Ἀκακίῳ ὁ εὐφημούμενος, νῦν ὁ θεῖος Ῥωμανὸς ἔνθα ἀπείληφε, τὴν κατὰ τῶν ἀσεβῶν, παρρησίαν ὡς υἱός, φωτός σε τοῦ ἀπροσίτου· καὶ νῦν πρεσβεύει ἀπαύστως, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

**Δόξα. τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.**

Χαῖρε ἅγιον Ὄρος, καὶ θεοβάδιστον. Χαῖρε ἔμψυχε βάτε, καὶ ἀκατάφλεκτε. Χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς πρὸς τὴν αἰώνιον ζωήν. Χαῖρε ἀκήρατε κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.



Τῆς Θεοτόκου. **Ὠδὴ Δ΄. Ὁ Εἱρμός.**

«Εἰσακήκοα, Κύριε τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα».

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων, Θεονύμφευτε.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ἀπολαύοντες, Πάναγνε, τῶν σῶν δωρημάτων, εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε, Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

Τοῦ Ἁγίου. **Χριστός μου δύναμις**

Σοφῶς διέπρεψας, ἐν Ἄθῳ ἔνδοξε, ὅς δι' εὐχῆς τοῦ ἀλείπτου σου πορευθεὶς εἰς τὴν Βασιλεύουσαν, ἐν ᾗ ἐκήρυξας σαυτόν, Χριστοῦ δοῦλον πρὸς τοὺς ἄφρονας.

Ῥωσθεὶς μακάριε, ἐκ θείας χάριτος, ὑπομένεις ἱστάμενος Ῥωμανέ, τεσσαρακονθήμερον ἔνδον τοῦ φρέατος σοφέ, κακουχίαν ὑπὲρ ἄνθρωπον.

Πολλὰ ὑπέμεινες, καὶ ἄλλα βάσανα, ἐξ ἀπίστων ἀθέων ὀθωμανῶν, ἀλλὰ χαίρων ἔμεινεν ὅλος ἀκλόνητος, Θεοῦ θείᾳ χάριτι ῥωννύμενος.

**Θεοτοκίον.**

Ὁ Λόγος Ἄσπιλε, ἐν σοὶ ἐσκήνωσεν, ἀλογίας τὸν κόσμον τῆς τῶν παθῶν, Δέσποινα λυτρούμενος καὶ βασιλείας οὐρανῶν, ἀξιῶν τοὺς ἀνυμνοῦντάς σε.

Καταβασία. **Τὴν ἀνεξιχνίαστον.**

Τῆς Θεοτόκου. **Ὠδὴ Ε΄. Ὁ Εἱρμός.**

«Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου, Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε».

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἔμπλησον, Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου; τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον.

Λύτρωσαι ἡμᾶς ἐκ κινδύνων, Θεοτόκε, ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν καὶ τὴν εἰρήνην, τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τὴν ἀχλὺν τῶν πταισμάτων μου, Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προαιώνιον.

Ἴασαι, Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σοῦ ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

Τοῦ Ἁγίου. **Τῷ θείῳ φέγγει σου Ἀγαθέ.**

Ὁ νεομάρτυς σου Ἰησοῦ, χάριτι σου θείᾳ ὁ Ῥωμανός, ἔργῳ τὴν κλῆσιν ἀπέδειξεν, ῥώμην γὰρ τὴν ἄνωθεν ἐνδυθείς, τῶν ἀσεβῶν βασάνους, καταπεφρόνηκε.

Ξεσμοὺς καὶ μάστιγας εἰς οὐδέν, καὶ τὰς τοῦ προσώπου σου πληγάς, ταύτας ἐλογίσω μακάριε, ἀλλὰ καὶ τῆς γλώσσης τὴν ἐκκοπήν, μάρτυς Χριστοῦ, ἐδέξω χαρμοσύνως, Θεοῦ ὡς γνήσιος.

Νομίμως ἤθλησας Ῥωμανέ, τῶν Ἀγαρινῶν τὸ ἀσεβές, ὅλως σοφὲ ἐξουδένωσας, ἀλλὰ καὶ ψευδώνυμον καὶ πλάνον εἰπών, ἐκείνων τὸν Προφήτην, ὑπέστης θάνατον.

**Θεοτοκίον.**

Φωτί σου θείῳ ὡς ἀγαθή, τὴν ἐσκοτισμένην μου ψυχήν, ταῖς ἡδοναῖς φωταγώγησον, καὶ πρὸς σωτηρίας τρίβον ὁδήγησον, ἡ μόνη τὸν Σωτῆρα, Χριστὸν κυήσασα.

Καταβασία. **Ἐξέστη τὰ σύμπαντα.**

Τῆς Θεοτόκου. **Ὠδὴ ΣΤ΄. Ὁ Εἱρμός.**

«Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ » μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ Ἅδῃ προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς· ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε».

Θανάτου καὶ τῆς φθορᾶς ὃς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν κατασχεθεῖσαν, Παρθένε, δυσώπησον τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.



Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην, Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν· καὶ δέομαι διὰ παντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι, Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα, καὶ νῦν ἡμᾶς τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ᾽ ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Τοῦ Ἁγίου. **Τοῦ βίου τὴν θάλασσαν.**

Μακάριος γέγονας, ἐκλεχθεὶς παρὰ Θεοῦ, εἰς μαρτυρίου στάδιον, ὡς αὐτὸς ᾑρετίσω ἐξ ἁπαλῶν, ὀνύχων πανένδοξε, ὡς ἐχέφρων τὸ κρεῖττον ἐκλεξάμενος.

Λαὸς ὁ παράνομος τῶν δεινῶν ἀγαρηνῶν, θανάτῳ κατεδίκασε, τοῦ Χριστοῦ σε τὸν γνήσιον Ῥωμανέ, αὐτοὺς καταισχύναντα, σοῦ τῇ θείᾳ ἐντάσει πρὸς τὰ κρείττονα.

Καλῶς διετέλεσας, σοῦ τὸν βίον Ῥωμανέ, τὸν διὰ ξίφους θάνατον, ὑπομείνας γενναίως ὑπὲρ Χριστοῦ καὶ στέφει ἐκόσμισας μαρτυρίου σαυτὸν ὑστέροις ἔτεσι.

**Θεοτοκίον**

Τὴν μόνην Πανύμνητον, τὴν καλὴν ἐν γυναιξί, τὴν τοῦ Θεοῦ λοχεύτριαν, χριστιανῶν τὸ τεῖχος τὸ ἀρραγές. Μαρίαν τὴν Ἄχραντον, ἀδιστάκτῳ καρδίᾳ μακαρίσωμεν.

Καταβασία : **Τὴν θείαν ταύτην.**

Κοντάκιον. **Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.**

Τὸν Ῥωμαλέον Ῥωμανὸν πρᾶγμα καὶ ὄνομα, τὸν ἐν ὑστέροις τοῖς καιροῖς φανέντα μάρτυρα καὶ αἰσχύναντα τὸ ἄθεον ὅλον γένος, εὐφημήσωμεν ἐν ὕμνοις τούτῳ λέγοντες· τῶν τιμώντων σου τὴν μνήμην Θεῷ πρέσβευε, καὶ βοώντων σοι, χαῖρε μάρτυς πολύαθλε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ὁ οἶκος.**

Ἄνωθεν ἐψηφίσθης, Μαρτυρίου εἰς κλῆρον, σοφὲ ἐξ ἁπαλῶν σου ὀνύχων, τοῦτο γὰρ ποθῶν ἐκ παιδικῆς ἡλικίας Ῥωμανὲ μακάριε, ὁ δι' Ἀκακίου πρεσβειῶν τετύχηκας· καὶ παρ' ἡμῶν ἀκούεις ταῦτα.

Χαῖρε, πατρίδος σου ὡραιότης, χαῖρε, τοῦ Ἄθω ἡ κοσμιότης.

Χαῖρε, εὐσεβῶν γεννητόρων τὸ βλάστημα, χαῖρε Ἀθλητῶν νεωτέρων τὸ καύχημα.

Χαῖρε, ὅτι τὰς πληγὰς ἤνεγκας γλώττης καὶ τῶν παρειῶν, χαῖρε, ὅτι μεμακάρισαι ὑπ' ἀγγέλων καὶ βροτῶν.

Χαῖρε, ὁ ὑπομείνας φρέατος τὰς κακώσεις, χαῖρε, ὁ διὰ ξίφους πρὸς Θεὸν ἀνυψώθης.

Χαῖρε, ὁ δοὺς σεαυτὸν εἰς τὰ βάσανα, χαῖρε, ὁ γνοὺς τῆς σαρκὸς τὴν ἀπάθειαν.

Χαῖρε, δι' οὗ οἱ πιστοὶ εὐοδοῦνται, χαῖρε, δι' οὗ οἱ νόθροὶ ἀνορθοῦνται.

Χαῖρε, μάρτυς πολύαθλε.

**Συναξάριον**

Τῇ Ε'. τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου νέου Ὁσιομάρτυρος Ῥωμανοῦ τοῦ ἀπὸ Καρπεννησίου, τοῦ πρότερον ἐν τῇ ἱερᾷ Σκήτῃ τῶν Καυσοκαλυβίων ἀσκήσαντος, ὕστερον δὲ ἐν Κ)πόλει ἀθλήσαντος, ἐν ἔτει 1694.

**Στίχοι.**

Τὸν Ῥωμανὸν ἐν Μάρτυσι νέον στέφει.
Στεφάνῳ νίκης, ὁ Στεφοδότης ἄνω.

(καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ).

Τῆς Θεοτόκου. Ὠδὴ Ζ.' Ὁ Εἱρμός.

«Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες ἐν Βαβυλῶνι »ποτέ, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου, »κατεπάτησαν ψάλλοντες. Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογη»τὸς εἶ».



Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας, Σῶτερ, οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας. Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας, Μῆτερ ἁγνή, δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας. Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀρρωστίας, Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστόν, ἡμῖν ἀποτεκοῦσα.

Τοῦ Ἁγίου. **Δροσοβόλον μὲν τὴν κάμινον.**

Ἵνα δείξῃ σε τοῖς πᾶσιν ὁ φιλάνθρωπος, μάρτυρα ἐκλεκτὸν ἑαυτοῦ, φῶς οὐράνιον κατελθὸν ἐφώτιζε σαφῶς, τὸν τάφον σου μάρτυς Ῥωμανέ, σὺ δὲ ἐδόξαζες Θεὸν τὸν τῶν Πατέρων ἡμῶν.

Θεοφόρος λευκοφόρος ὅλος φαίνεται, τῷ ὁσίῳ Ἀκακίῳ ὁ κλεινός, καὶ ἐν νεομάρτυσιν ὁ θεῖος Ῥωμανός, καὶ τοῦτον ἐπόσητε βοᾶν· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἠξιώθης τοῦ συνεῖναι μάρτυς ἔνδοξε, μέσον νεομαρτύρων σοφέ, καὶ σὺν αὐτοῖς πρεσβεύειν τῷ Θεῷ ἐκτενῶς, ὑπὲρ τῶν τελούντων σου ἀεί, ἄθλησίν σου τὴν σεπτήν, καὶ φωσφόρον πατερ μνήμην σου.

**Θεοτοκίον.**

Ἰακὼβ σε καλλονὴν καὶ θείαν κλίμακα, κάτωθεν ἣν ἑώρακεν πρίν, ἐκτεταμένην πρὸς ὕψος γινώσκομεν σεμνή, κατάγουσαν ἄνωθεν Θεόν, σεσαρκωμένον καὶ βροτούς, αὖθις ἐπανάγουσαν.

Καταβασία. **Οὐκ' ἐλάτρευσαν.**

Τῆς Θεοτόκου. Ὠδὴ Η'. **Ὁ Εἱρμός.**

»Τὸν Βασιλέα τῶν οὐρανῶν, ὃν ὑμνοῦσι στρατιαὶ τῶν Ἀγγέ»λων, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας».

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς, Παρθένε, ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε, Κόρη εἰς αἰῶνας.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις τοῖς πιστῶς ὑμνοῦσί σε, Παρθένε, καὶ ὑπερυψοῦσι τὸν ἄφραστόν σου Τόκον.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας, Παρθένε, ἵνα σὲ δοξάζω, τὴν Κεχαριτωμένην.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους, Παρθένε· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τοῦ Ἁγίου. **Ἐκ φλογὸς τοῖς Ὁσίοις.**

Ζῆς καὶ ἔτι ἐν βίῳ ὡς μάρτυς γνήσιος, τοῦ Χριστοῦ εἰ καὶ πόλῳ κλῆρον ἀπέλαβες, μάκαρ Ῥωμανὲ μετὰ τῶν συμμαρτύρων σου, ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἐκ ζωῆς τῆς προσκαίρου, εἰς ζωὴν μένουσαν, ἐπληρώθης ὡς μάρτυς ἔτι καὶ ὅσιος, ὅθεν Ῥωμανέ, καὶ διπλοῦν φέρεις στέφανον, καὶ θεὸν δοξάζεις, εἰς πάντας τοὺς αἰῶνας.

Διδαχῇ καὶ δεήσει τῇ τοῦ ἀλείπτου σου, πατρὸς Ἀκακίου μαρτύρων γέγονας, σύσκηνος σοφέ, Ῥωμανὲ καὶ ἐπάξιος τοῦ δοξάζειν, τὸν Κύριον εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Οὐκ ἐπίσταμαι πλὴν σου ἄλλην ἀντίληψιν, σὲ προβάλλομαι πρέσβιν, Ἁγνὴ πανάμωμε, σὲ πρὸς τὸν ἐκ σοῦ τεχθέντα μεσίτριαν, πάντων τῶν λυπούντων ἐλεύθερόν με δεῖξον.

Καταβασία. **Παῖδας εὐαγεῖς.**

Τῆς Θεοτόκου. **Ὠδὴ Θ΄. Ὁ Εἱρμός.**

«Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν οἱ διὰ σοῦ σεσωσμένοι, » Παρθένε ἁγνή, σὺν ἀσωμάτοις χορείαις σὲ μεγαλύνοντες».

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα, Παρθένε, Χριστὸν κυήσασα.

Χαρᾶς μου τὴν καρδίαν πλήρωσον, Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων γενοῦ, Παρθένε, καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλοντας.



Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα, Παρθένε, θεράπευσον, ἐξ ἀρρωστίας εἰς ῥῶσιν μετασκευάζουσα.

Τοῦ Ἁγίου. **Θεὸν Ἀνθρώποις.**

Γνωστὸς ἐγένου τοῖς μὴ ζητοῦσί σε, σοφὲ τοῖς ἀσεβέσι Ῥωμανὲ ὁσιόαθλε, διὰ γάρ σου ἅγιε ᾐσχύνθη κακῶς, γένος ἀγαρινῶν τε τὸ δὲ χριστώνυμον, μᾶλλον ἐδοξάσθη, διὰ σου τὸ θεοδόξαστον.

Βλαστὸς εὐώδης εὐσεβὲς γέννημα, καὶ τῷ Θεῷ ἐδείχθης ἀφιέρωμα ἅγιον, ὅλος ἐξ οἰκείας σου θεόφρον βουλῆς, ὅλος ἀπὸ ψυχῆς σου καὶ προαιρέσεως, μάρτυς ἐθελούσιος, οὐκοῦν, ἐγένου ἔνδοξος.

Ἀεὶ πρεσβεύεις ὑπὲρ τῶν δούλων σου, τῶν σοὶ πιστῶς βοώντων Ῥωμανὲ καὶ αἰτούντων σοι, τοῦ ῥυσθῆναι ἅπαντας ἀπάσης ὀργῆς, ἵνα καὶ σοῦ τιμῶμεν, μνήμην τὴν ἔνθεον, καὶ μακαριοῦμέν σε ἀεὶ τὸν νεομάρτυρα.

**Θεοτοκίον.**

Ὑμνεῖν δοξάζειν καὶ μακαρίζειν σε, δίδου ἡμῖν ἀξίως τοῖς τιμῶσί σε Πάναγνε, καὶ τὸν θεῖον τόκον σου μεγαλύνουσι, μόνη εὐλογημένη, σὺ γὰρ τὸ καύχημα, τῶν χριστιανῶν καὶ πρὸς θεόν, πρέσβις εὐπρόσδεκτος.

Καταβασία. **Ἅπας γηγενής.**

Ἐξαποστειλάριον. **Τοῖς μαθηταῖς συνέλθωμεν.**

Τὸν Ῥωμανὸν ἐν Μάρτυσι καὶ ὁσίοις τιμῶμεν, ὑπὲρ Χριστοῦ γὰρ ἤθλησε, διὰ ξίφους καὶ χάριν ἄνωθεν ἐκομίσατο, ἐκ Θεοῦ ὁ γενναῖος, τοῦ δοξασθῆναι ὡς Μάρτυς, μετὰ πότμον ὁ μέγας, ἀναφανδόν, τάφῳ γὰρ κατήρχετο οὐρανόθεν, θεῖόν τε φῶς οὐράνιον, ἐξαστράπτον καὶ φαῖνον.

Θεοτοκίον ὅμοιον.

Λόγου θεοῦ Μητέρα σε, ἀνυμνοῦμεν σὺν πόθῳ ἐν θεοπνεύστοις ᾄσμασι, Παναγία Παρθένε, οἱ διὰ σοῦ σεσωσμένοι· νέμοις οὖν Θεοτόκε, τοῖς ἀναξίοις δούλοις σου ἱλασμὸν καὶ εἰρήνην, καὶ φωτισμόν, ὅσα γὰρ θέλεις δύνασαι καὶ ἰσχύεις, ὡς πάντων οὖσα, Δέσποινα, ὑπερένδοξε Κόρη.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.**

Ὅσιε καὶ Μάρτυς ἔνδοξε, τὸν Σταυρὸν τοῦ Χριστοῦ, ἐπὶ ὤμων ἐβάστασας, πρῶτον δι' ἀσκήσεως, καὶ τὸ ὕστερον ἔδραμες, εἰς τὸ βαστάσαι Χριστοῦ τὰ στίγματα· ἐν τῇ σαρκί σου, καὶ διὰ αἵματος, τοῦ ἐκ τραχήλου σου, παραδοὺς τὸ πνεῦμά σου, χειρὶ Θεοῦ, Ῥωμανὲ μακάριε, ὢ τῆς σῆς χάριτος.

Μάρτυς Ῥωμανὲ μακάριε, ἀνακαθάρας τὸν νοῦν, νουθεσίᾳ τῇ κρείττονι Ἀκακίου πρότερον, εἰς τὸ στάδιον ἔδραμες, τοῦ μαρτυρίου, αὐτοῦ τῇ χάριτι καὶ ὑπομείνας, πληγὰς καὶ κάθειρξιν, ἔχαιρες ἄριστα, τεσσαρακονθήμερον ἐν τῷ αὐτῷ, διαμείνας φρέατι, Χριστοῦ τῇ χάριτι.

Μάρτυς Ῥωμανὲ μακάριε, τόπους ἁγίους Χριστοῦ προσκυνήσας τὸ πρότερον, μαρτυρίου ἔλαβες θεῖον ἔρωτα ὕστερον, διὸ ἀσκήσας, ἱκανῶς ἔνδοξε, ἐν προστασίᾳ πατρὸς θεόφρονος, ἐπροοιμίασας, τοὺς πολλοὺς ἀγῶνάς σου ἀθλητικούς, καὶ τὸ διὰ ξίφους τε, τέλος τὸ θεῖόν σου.

Πόνους ὑποστὰς πανεύφημε, τοὺς ἐκ μαστίγων πολλούς, παρειῶν τε τὴν κάκωσιν, γλώττης τὴν ἀφαίρεσιν, καὶ τοῦ φρέατος κάθειρξιν, ἔχαιρες βλέπων σαυτὸν ὁλόστικτον, ἀλλὰ καὶ ἔτι λωροτομούμενος, μακαριώτατε, καὶ παρατεμνόμενος ἔστης Χριστῷ, διπλοστεφανούμενος ὡς ὁσιόαθλος.

**Δόξα. Ἦχος πλ. δ'.**

Ὅσιε καὶ μάρτυς ἐν ταυτῷ, Ῥωμανὲ πανεύφημε, χαίροις ἐν τῇ μνήμῃ σου σήμερον· σὺ γὰρ ἐκ πρώτης ἡλικίας, τὸν Θεὸν πρὸ πάντων τῶν ὄντων ἀγαπήσας, γνήσιος αὐτοῦ γέγονας, δι' ἄκρας τε ἀσκήσεως, καὶ πολυπαθοῦς ἀθλήσεως, καὶ τῆς διὰ ξίφους τελευτῆς σου· διὸ καὶ παῤῥησίας τυγχάνων πρὸς Χριστὸν τὸν Θεόν, αἴτησαι τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.



**Καὶ νῦν. Θεοτοκίον ὁ αὐτός.**

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου, αἱ ᾠδαὶ γ'. καὶ ς'.

**Ἀπόστολον, ζήτει εἰς τὰς 2 Σεπτεμβρίου.**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΒΙΟΣ

## Τοῦ Ἁγίου Ὁσιομάρτυρος Ρωμανοῦ.

### Εὐλόγησον πάτερ

Οὗτος ὁ εὐλογημένος ἦτον ἀπὸ τὸ Καρπενῆσι, υἱὸς γονέων εὐσεβῶν, ὅμως ἀγραμμάτων· ὅθεν καὶ αὐτὸς ἔμεινεν ἀγράμματος, καὶ ἄλλο κᾀνένα δὲν ἤξευρε, παρὰ μόνον πῶς εἶναι Χριστιανός. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν, ἤκουσε μερικοὺς ὁποῦ ἐδιηγοῦντο διὰ τὸν Ἅγιον Τάφον τοῦ Κυρίου μας, καὶ παρακινηθεὶς ἐπῆγεν εἰς τὰ Ἱεροσόλυμα, καὶ προσκυνῶντας τὸν ζωοδόχον Τάφον καὶ ὅλους τοὺς ἁγίους τόπους, ἐπῆγε εἰς τὴν ἱερὰν μονὴν τοῦ Ἁγίου Σάββα, καὶ ἐκεῖ ἀκούσας τὰ μαρτύρια τῶν Ἁγίων ὁποῦ ἀνεγίνωσκον οἱ πατέρες, καὶ ὅτι οἱ ἅγιοι μάρτυρες ὑπέμειναν διὰ τὸ ὄνομα τοῦ Χριστοῦ τόσα καὶ τόσα πάνδεινα βάσανα διὰ νὰ ἀπολαύσουν τὰ μέλλοντα ἀγαθά, καὶ ἐρωτήσας καὶ μαθών, ποῖα εἶναι τὰ μέλλοντα ἀγαθὰ ἐπεθύμησε καὶ αὐτὸς ὁ ἀοίδημος νὰ ἀπολαύσῃ τὰ τοιαῦτα ἀγαθὰ μὲ μαρτύριον. Λοιπὸν γυρίζοντας εἰς τὰ Ἱεροσόλυμα, κοινολογεῖ τὸν σκοπόν του εἰς τὸν τότε Πατριάρχην, ὁ ὁποῖος τὸν ἐμπόδιζεν ἀπὸ τὸ μαρτύριον διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως καὶ διὰ νὰ μὴ ἀκολουθήσῃ καὶ κᾀνένα κακὸν εἰς τὸν Ἅγιον Τάφον· αὐτὸς ὅμως ποθῶντας ὅλως δι' ὅλου τὸ μαρτύριον, δὲν ἠδύνατο πλέον νὰ βαστάσῃ τὸν ἑαυτόν του ἀπὸ τὴν φλόγα ὁποῦ ἄναπτεν εἰς τὴν καρδίαν του· ὅθεν φυγὼν ἐκεῖθεν, ἐπῆγεν εἰς τὴν Θεσσαλονίκην, καὶ εὐθὺς ἀπελθὼν εἰς τὸν κριτὴν ὡμολόγησε παῤῥησίᾳ, πῶς ὁ Ἰησοῦς Χριστὸς εἶναι Θεός, ποιητὴς τοῦ παντός, καὶ Σωτὴρ τῶν ἀνθρώπων, ὁ δὲ προφήτης τῶν Ἀγαρηνῶν εἶναι μυθολόγος, ἀπατεὼν καὶ πολέμιος τοῦ Χριστοῦ, καὶ ἡ θρησκεία του εἶναι μία πλάνη, καὶ ὅλη γεμάτη ἀπὸ παραμύθια, καὶ ἄξια γέλωτος. Ἀκούωντας αὐτὰ ὁ κριτὴς ἐπρόσταξε καὶ τὸν ἔδειραν σφοδρῶς· τοῦ εὔγαλαν λουρία ἀπὸ ταῖς πλάταις, τοῦ ἔκοψαν τὰ μάγουλα μὲ πέταλα καὶ ἄλλα διάφορα βάσανα τοῦ ἔκαμαν, βιάζοντές τον νὰ ἀρνηθῇ τὸν Χριστόν· ἐπειδὴ δὲ κατ' οὐδένα τρόπον δὲν ἐπείθετο εἰς αὐτό, ἀλλ' ἔμενε στερεὸς εἰς τὴν πίστιν τοῦ Χριστοῦ, ἀπεφάσισεν ὁ κριτὴς νὰ τὸν θανατώσουν διὰ ξίφους· τυχὼν δὲ ἐκεῖ ὁ καπετάνος τῶν φρεγάδων τῆς Θεσσαλονίκης, ἐζήτησε τὸν μάρτυρα ἀπὸ τὸν κριτήν, νὰ τὸν ἔχῃ διὰ τὸ κουπί, λέγωντας, ὅτι αὐτὴ ἡ παιδεία εἶναι εἰς αὐτὸν μεγαλητέρα καταδίκη ἀπὸ τὸν διὰ ξίφους θάνατον, ὡσὰν ὁποῦ καὶ αὐτὸς διὰ τοῦτο ἦλθε, καὶ ἐπαῤῥησιάσθη, διὰ νὰ λάβῃ διὰ τὴν πίστιν του θάνατον, καὶ δὲν θέλει λυπηθῇ δι' αὐτὸ ἀλλ' εἰς τὴν φρεγάδαν ἔχει νὰ βα-



σανίζεται εἰς ὅλην του τὴν ζωήν. Ταῦτα εἶπεν ὁ καπετάνος, ὁ δὲ λόγος εἰς ὅλους ἄρεσε, καὶ τοῦ τὸν ἐχάρισαν· πέρνοντάς τον λοιπὸν ὁ καπετάνος τοῦ ἐξύρισε γένεια καὶ μαλλία, καὶ τὸν ἔβαλε, νὰ τραβᾷ τὸ κουπί.

Ἀφοῦ δὲ ἐπέρασεν ὀλίγος καιρός, μερικοὶ Χριστιανοὶ φίλοι τοῦ καπετάνου, τὸν ἐπαρακάλεσαν, καὶ τοῦ ἔδωσαν μερικὰ ἄσπρα, καὶ τὸν ἠλευθέρωσαν, καὶ τὸν ἔστειλαν εἰς τὸ Ἅγιον ὄρος· πηγαίνοντας δὲ ἐκεῖ, ἔμεινεν ὁμοῦ μὲ τὸν ὅσιον Ἀκάκιον ὁποῦ ἡσύχαζεν εἰς τὸ Καυσοκαλύβι, καὶ ἠγωνίζετο μετ' αὐτοῦ ὑπὲρ ἄνθρωπον, πλὴν ὁ λογισμός του δὲν εἶχεν εἰρήνην, καὶ ἦτο ὡς ξένος εἰς τὴν παροῦσαν ζωήν, καὶ οὔτε περὶ φαγητοῦ τὸν ἔμελλε, οὔτε περὶ πιοτοῦ, ἀλλὰ μόνον τὸ μαρτύριον ἐφαντάζετο. Λοιπὸν κοινῇ γνώμῃ νηστεύσαντες καὶ οἱ δύο ὅ,τε Γέροντας καὶ ὁ Ῥωμανὸς ἡμέρας ἱκανάς, καὶ παρακαλέσαντες θερμῶς τὸν Θεόν, διὰ τὴν ἔκβασιν τοῦ μαρτυρίου, εἶδε δι' ἀποκαλύψεως ὁ ὅσιος Ἀκάκιος, ὅτι εἶναι θέλημα Θεοῦ, καὶ ὅτι θέλει τελειώσει καλῶς τὸ ὑπὲρ Χριστοῦ μαρτύριον ὁ Ῥωμανός. Λοιπὸν ἐνδυθεὶς τὸ ἀγγελικὸν σχῆμα τῶν μοναχῶν κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς, καὶ στηριχθεὶς μὲ τὰς εὐχὰς τοῦ ὁσίου, καὶ τῶν ἐκεῖ πατέρων, ἀπῆλθε πάλιν εἰς τὰ Ἱεροσόλυμα, θέλοντας τάχα νὰ ὑπάγῃ μὲ μοναχικὴν στολὴν εἰς τὸν Ἅγιον Τάφον, διὰ νὰ τύχῃ τοῦ ποθουμένου· ἀλλὰ καὶ πάλιν ἀκούσας, ὅτι εἴτε καλόγηρος, εἴτε κοσμικὸς παῤῥησιασθῇ ἐκεῖ, μεγάλην ζημίαν λαμβάνει ἀπὸ τοὺς ἀγαρηνοὺς ὁ Ἅγιος Τάφος, ἐστράφη καὶ ἐπῆγεν εἰς τὴν Κωνσταντινούπολιν, καὶ παῤῥησιάζεται μὲ τρόπον τοιοῦτον.

Πιάσας ἕνα μικρὸ σκυλάκι, τὸ ἔδεσε μὲ τὸ ζωνάρι του καὶ τὸ ἔσερνε μέσα εἰς τὸ παζάρι· οἱ δὲ Τοῦρκοι βλέποντες αὐτόν, τὸν ἠρώτησαν διὰ ποίαν ἀφορμὴν σύρνει ἔτσι τὸ σκυλάκι· καὶ ὁ μάρτυς τοὺς εἶπε, διὰ νὰ τὸ τρέφω, καθὼς οἱ Χριστιανοὶ τρέφουν ἐσᾶς τοὺς Ἀγαρηνούς. Ταῦτα ἀκούσαντες ἐκεῖνοι, καὶ θυμωθέντες πολλά, ὥρμησαν κατεπάνω του ὡς θηρία ἀνήμερα, καὶ δέρνοντες, καὶ σπρώχνοντες, τὸν ἔφεραν εἰς τὸν βεζύρην, ὁ ὁποῖος ἐρωτῶντας αὐτὸν καὶ ἀκούοντας τὰ αὐτὰ λόγια ἀπὸ τὸ στόμα του, τὸν ἐπαράδωκαν εἰς τοὺς βασανιστὰς νὰ τὸν βασανίζουν, ἕως οὗ νὰ τὸν καταπείσουν νὰ ἀρνηθῇ τὴν πίστιν του. Ἐκεῖνοι δὲ πέρνοντες αὐτόν, τον ἔῤῥιψαν εἰς ἕνα ξεροπήγαδον, ἐκεῖ ὁποῦ βάνουν τοὺς φονεῖς, καὶ ἔκαμεν ὁ εὐλογημένος ἐκεῖ μέσα νηστικὸς τεσσαράκοντα ἡμέρας, ἔπειτα τὸν εὔγαλαν καὶ τὸν ἐτιμώρησαν ἀνηλεῶς μὲ διάφορα βασανιστήρια καὶ μὴ δυνηθέντες νὰ τὸν καταπείσουν, τὸν ἀνέφεραν εἰς τὸν Βεζύρην, ὅστις ἐπρόσταξε νὰ τὸν θανατώσουν διὰ ξί-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

φους· ἐκεῖ δὲ ὁποῦ τὸν ἐπήγαιναν εἰς τὸν τόπον τῆς τελειώσεως, ὅπου ἔβλεπε Χριστιανὸν ἐχαιρέτα, καὶ ἔτρεχε μετὰ χαρᾶς, ὡσὰν νὰ ἐπήγαινεν εἰς γάμον, καὶ ὄχι εἰς σφαγήν. Βλέπωντας δὲ ἕνας ἄρχοντας τὴν τόσην χαρὰν τοῦ μάρτυρος ἠπόρησε, καὶ μαθὼν ὅτι τρέχει διὰ τὸν Χριστὸν εἰς τὴν σφαγήν, ἔδραμε καὶ αὐτὸς κατόπιν του, νὰ ἰδῇ τὸ τέλος· περνῶντας δὲ ἀπὸ ἕνα τζαμὶ ἔτυχε νὰ φωνάζῃ ὁ χόντζας τὴν ὥραν τοῦ μεσημερίου κατὰ τὴν συνήθειάν τους, καὶ κοιτάζοντάς τον ὁ μάρτυς τὸν ἔπτυσε, καὶ παρευθὺς οἱ δήμιοι τοῦ ἔκοψαν τὴν γλῶσσαν, τὴν ὁποίαν μόνος του εὔγαλε προθύμως ὁ Ἅγιος διὰ νὰ τοῦ τὴν κόψουν, καὶ πάλιν ὁμοίως μὲ σχῆμα χαρούμενον ἐχαιρέτα τοὺς Χριστιανούς, καὶ τὰ αἵματα ἔτρεχον ἀπὸ τὸ στόμα του.

Ἀφοῦ δὲ ἔφθασαν δὲ εἰς τὸν τόπον τῆς καταδίκης, εὐχαριστῶντας τὸν Θεὸν νοερῶς καὶ μὲ σχῆμα, καὶ οὕτως ἔλαβε τὸν στέφανον τοῦ μαρτυρίου· καὶ ἡ μὲν μακαρία του ψυχὴ ἀνέβη μὲ δόξαν πολλὴν εἰς τὸν οὐρανόν, διὰ νὰ χαίρεται εἰς τὸν χορὸν τῶν Μαρτύρων· τὸ δὲ Ἅγιόν του λείψανον, ἀφοῦ ἔκοψαν τὴν κεφαλήν του, ἔπεσε κατ' ἀνατολάς, ὡσὰν νὰ ἦτο ζωντανόν· διὰ τὸ ὁποῖον φθονήσαντες οἱ ἀγαρηνοί, δέρνοντες ἐδίωκον τοὺς Χριστιανοὺς ὁποῦ ἔδραμον ἐκεῖ πλῆθος ἄπειρον· ἐτίμησε δὲ καὶ τοῦτο τὸ Ἅγιον λείψανον ἡ θεία χάρις ἄνωθεν μὲ φῶς οὐράνιον, τὸ ὁποῖον ἐφώτιζεν αὐτὸ τρεῖς ὁλοκλήρους νύκτας, ἐκεῖ ὁποῦ τὸ ἐφύλαττον, καὶ τὸ ἔβλεπαν ὅλοι καὶ ἐθαύμαζαν. Καὶ οἱ μὲν Χριστιανοὶ ἐχαίροντο, δοξάζοντές τὸν Θεόν, οἱ δὲ ἀγαρηνοὶ κατεσχύνοντο· ἐπειδὴ δὲ κατὰ τύχην ἦτον ἐκεῖ ἕνα καράβι ἐγγλέζικον, ἠγόρασε τὸ Ἅγιον λείψανον μὲ πεντακόσια γρόσια, καὶ τὸ ἐπῆγεν εἰς τὴν Ἀγγλίαν, ὁ δὲ ἄρχοντας ὁποῦ ἠκολούθησε τὸν μάρτυρα ὡς προείπομεν, βλέπων πῶς ἐδίωκον τοὺς Χριστιανοὺς οἱ ἀγαρηνοὶ ἐκεῖθεν μὲ ἀτιμίαν, ἔδωκεν εἰς ἕνα τουρκόπουλον πέντε γρόσια καὶ τὸ ἔστειλε, καὶ ἔβαψε τὸ μανδήλιόν του εἰς τὸ αἷμα τοῦ μάρτυρος καὶ τοῦ τὸ ἔφερεν· ὕστερον δὲ τὸ τουρκόπουλον εἶπε τοῦτο εἰς ἕνα καὶ ἄλλον ἀγαρηνόν, ὅθεν ἐκεῖνοι τὸ ἔστειλαν, καὶ ἐζήτησεν ἀπὸ τὸν Χριστιανὸν ἀκόμα ἄλλα πέντε γρόσια, καὶ ἐπειδὴ ἐκεῖνος δὲν ἤθελε νὰ τὰ δώσῃ τὸν ἐπρόδωσαν εἰς τὸν Βεζύρην, ὅστις καὶ ἀπεφάσισε νὰ τὸν θανατώσουν. Ἀλλ' ἐπειδὴ ὁ δραγουμάνος τῆς Βασιλείας τὸν εἶχε φίλον, τὸν ἐγλύτωσεν ἀπὸ τὸν θάνατον, τὸν ἔρριψαν ὅμως εἰς μίαν σκοτεινὴν φυλακὴν καὶ ἔκαμεν ἐκεῖ ἓξ μῆνας, καὶ κάθε βράδυ ἔβλεπε μίαν ἀκτῖνα φωτός, ὁποῦ ἤρχετο ἀπὸ τὸν τόπον ὁποῦ ἔκοψαν τὸν μάρτυρα, καὶ τοῦ ἔλαμπε μέσα εἰς τὴν φυλακὴν καὶ ἐπαρηγορεῖτο, ἀλλέως ἤθελεν ἀποθάνῃ ἀπὸ τὴν πολλὴν στενο-



χωρίαν. Ἔπειτα δίδοντας τέσσαρες χιλιάδες γρόσια, εὐγῆκεν ἀπὸ τὴν φυλακὴν καὶ ὁμοῦ μὲ τὸν ἀδελφόν του πωλοῦντες εἴτι εἶχον, ἐπῆγαν καὶ ἐπροσκύνησαν τοὺς Ἁγίους τόπους εἴς τε τὴν Ἱερουσαλήμ, καὶ εἰς τὸ Σίναιον ὄρος, καὶ ἐλθόντες εἰς τὸ Ἅγιον ὄρος ἐμόνασαν, μετονομασθέντες ὁ μὲν πρῶτος Ἀγάπιος ὁ ὁποῖος ἐτελείωσε θεαρέστως τὴν ζωήν του εἰς τὴν μονὴν τοῦ Δοχειαρίου, εἰς τὴν ὁποίαν ἀφιέρωσε καὶ τὸ μανδήλιον τὸ βαμμένον μὲ τὸ αἷμα τοῦ μάρτυρος, ὁ δὲ ἄλλος ἐτελείωσεν εἰς τὴν μονὴν τοῦ Κουτλουμουσίου. Οὕτω γοῦν ὁ μακάριος Ῥωμανὸς ἔλαβε τὸν στέφανον τοῦ μαρτυρίου καὶ τῆς καλῆς τελειώσεως εἰς δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΠΑΝΤΑΣ

Οὗ ἡ ἀκροστιχίς: **Τοὺς ἁγίους ἅπαντας ἀνυμνῶ**: Ἐν δὲ τοῖς Θεοτοκίοις ἀντιστρόφως: **Κυρίλλου.**

### Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ.

Τὴν τῶν ἁγίων ἁπάντων χαρμονικῶς, ἀνυμνῶν πανήγυριν ἐτησίως ἐν ᾠδαῖς, τὸν Θεὸν καὶ κτίστην τοῦ παντός, ἱκετεύω ἐκ ψυχῆς χάριν δοθῆναί μοι.

Ὁ φαιδρότατος ἅπας τῶν προφητῶν, ἐπαινείσθω σήμερον ἁγιόλεκτος χορός, κατὰ χρέως ἅπασιν ἡμῖν, ὡς κηρύξας τὸν Χριστὸν Θεὸν καὶ Κύριον.

Ὕμνοις τιμάσθω ἀξίως ἡ λιγυρά, μελουργὸς καὶ εὔλαβος Θεοκρότητος σαφῶς, τῆς χορείας λύρα τῶν σοφῶν, ἀποστόλων τοῦ Χριστοῦ ἐνθέως σήμερον.

### Θεοτοκίον.

Ὑπὸ τὴν σκέπην Παρθένε σὴν κραταιάν, ὁ ἀχρεῖος δοῦλός σου κατακείμενος ἐγώ, ἱκετεύω σὲ τὴν ἀληθῆ, Θεοτόκον τοῦ σωθῆναί με τὸν δοῦλόν σου.

### Ὠδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Σοφίαν θείαν οἱ σεπτοί, τὴν τοῦ Πνεύματος σχόντες, Ἱεράρχαι Κυρίου καὶ διδάσκαλοι πιστῶς, ἐφώτισαν τοὺς λαοὺς ἐν αἰνέσει, ὅθεν μακαρίζονται.

Σάλπιγγα θείαν μελουργόν, τὴν διάπυρον γλῶσσαν, τὴν σειρήνιον λύραν, τὴν παναρμόνιον πιστοί, τῶν διδασκάλων ᾠδαῖς δεῦτε πάντες, ἀνυμνολογήσωμεν.

Ἅπασαν πόλιν τῶν πιστῶν, ἁγιάζουσι θείως ἐν διπλαῖς εὐλογίαις, ἱερωσύνης τῆς σεπτῆς, καὶ μαρτυρίου διό, ἐπαινείσθω οἱ ἱερομάρτυρες.

Γένος ἅπαν τῶν πιστῶν, εὐφημήσωμεν ὕμνοις, ἐτησίως τὴν θείαν μυριάριθμον πληθύν, τὸν δῆμον τὸν εὐκλεῆ, τοῦ Κυρίου τοὺς ἁγίους μάρτυρας.



### Θεοτοκίον.

Ὅλη ὑπάρχεις φωτισμός, Πάναγνε καὶ λαμπρότης, ὡς ἐγέννησας μόνη, τὸν φωτουργὸν τοῦ παντός, ὅθεν κἀμοῦ τὴν ψυχήν, Θεοτόκε λάμπρυνον τοῦ δούλου σου.

### Κάθισμα. Ὁ ὑψωθείς.

Ὁ θεοκόσμητος χορὸς τῶν ἁγίων, ἡ μυριάριθμος πληθὺς τῶν ἁπάντων, ἀνυμνείσθω σήμερον ἀξίως ἐν ᾠδαῖς. Οὗτοι καὶ γὰρ λάμπουσιν, καὶ λαμπροὶ ὡς ἀστέρες, ἐν τῷ στερεώματι, τοῦ Κυρίου τῆς δόξης, ὑπὲρ ἡμῶν τὸν Κύριον θερμῶς, ἐκδυσωποῦσι σωτηρίας τεύξασθαι.

### Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Ἰσχὺς ἀφῄρηται, τοῦ κοσμοκράτορος, ἰδοὺ γὰρ καὶ γυναῖκες ἀρρενωπῶς, μύριαι ἠρίστευσαν, διὰ Χριστὸν τὸν Θεόν, ὅθεν ταύτας εὐφημήσωμεν.

Ὁλικῶς ποθήσαντες, Χριστὸν τὸν Κύριον, οἱ πιστοὶ αὐτοκράτορες βασιλεῖς, πᾶσιν ἀνεκήρυξαν, ὅθεν κατὰ χρέως αὐτούς, εὐφημήσωμεν γηθόμενοι.

Ὑπὸ τῆς ἄνωθεν ῥοπῆς οἱ ὅσιοι, δυναμούμενοι πάντες τὴν νοητὴν θάλασσαν διέπλευσαν, καὶ εἰς γαλήνην σαφῶς, Θεοῦ λιμένα προσωρμίσθησαν.

### Θεοτοκίον.

Λαίλαψ ἔχει με, τῆς ἀνομίας μου, καὶ κινδυνεύω Παρθένε κατὰ ψυχήν, σῶσόν με τὸν δοῦλόν σου, τὸν ἐλπίζοντα εἰς σέ, σωτηρίας ἐπιτεύξασθαι.

### Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου.

Σωμάτων τῆξιν καὶ τὰ στερρά, πάντων φθειρομένων ἐπὶ γῆς, γύναια σοφῶς προετίμησαν, δάκρυσι τοῖς ἀσκητικοῖς προδόντα ἑαυτάς, ἀξίως οὖν τρυφῶσι τῆς ἀλήκτου χαρᾶς.

Ἀνάργυροι πέλοντες ἐπὶ γῆς, θεῖοι ἰατροὶ ἐν οὐρανοῖς, νῦν ἀπελαύετε χαίροντες, βασιλείαν τοῦ ποιητοῦ τοῦ ὄντως Θεοῦ, αὐτὸν οὖν ὑπὲρ ἡμῶν ἐξιλεώσατε.

Παράδοξα ὄντα ὡς ἀληθῶς, τὰ τῶν ἁγίων σου Χριστέ, ὁσιομαρτύρων τὰ τρόπαια, τῶν τελειωθέντων διπλῶς διόπερ καὶ νῦν, διπλῶς καὶ χαρμοσύνως ἀντιδοξάζονται.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Θεοτοκίον.

Λάμπρυνον φέγγει σου ἀγαθῇ, τὸν ἐσκοτισμένον πολλοῖς τοῖς τὸν νοῦν μου πταίσμασι δέομαι, σὲ δοξάζειν λόγου Θεοῦ Μητέρα παναληθῆ, καὶ σῶσόν με Παρθένε σεμνὴ τὸν δοῦλόν σου.

'Ωδὴ ϛ.' τοῦ βίου τὴν θάλασσαν.

Ἀξίως ὡς ἅγιος ἐπαινείσθω παρ' ἡμῶν, χορὸς ὁ θεοσύλλεκτος, τῶν ἁγίων ἁπάντων, τὸν γὰρ Χριστόν, Θεὸν ἀνεκήρυξεν, ἐκ φθορᾶς τοὺς ἀνθρώπους λυτρωσάμενον.

Ναμάτων τοῦ Πνεύματος ἐμφορούμενος σαφῶς, ὁ θεῖος καὶ πανάγιος, τῶν ἁγίων ἁπάντων φαιδρὸς χορός, Χριστὸν τὸν φιλάνθρωπον, ἱκετεύει τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ μέγα καὶ πάντιμον μυριάριθμον ὁμοῦ, ἅρμα μυριοπλάσιον, τῶν ἁγίων ἁπάντων ᾠδαῖς πιστοί, πληθὺν πολυώνυμον, δεῦτε πάντες φαιδρῶς ἀνευφημήσωμεν.

Θεοτοκίον.

Ἰδού σε Πανύμνητε, ὑπερτέρα Χερουβὶμ καὶ Σεραφεὶμ ἀνώτερε, ὡς τὸν Θεὸν χωρήσασα ἐν γαστρί, μακαρίζομεν πάντοτε, ὥσπερ ἔφης καὶ δοξολογοῦμέν σε.

'Ωδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἀποστόλων καὶ μαρτύρων θεῖος σύλλογος, νῦν εὐφραίνεται ἐν τοῖς οὐρανοῖς, τῶν ἐντολῶν γὰρ τοῦ Κυρίου ὤφθησαν πληρωταί, καὶ γηθόμενοι ψάλλουσιν αὐτῷ, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Σὺν προφήταις ἀποστόλοις ὦ Θεόφρονες, τοὺς ἁγίους μάρτυρας φαιδρῶς εὐφημοῦντες γηθόμενοι, σήμερον ᾠδαῖς μέλψωμεν Χριστῷ τῷ Θεῷ· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἀδιστάκτως τὸν Κύριον ἀγαπήσαντες, ἅγιοι μεγαλομάρτυρες ἐσφαγιάσθητε, ἄρνες ὥσπερ ἐκλεκτοὶ καὶ νῦν στεφόμενοι μέλπετε Χριστῷ, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Θεοτοκίον.

Ῥωμαλαίαν μοι διάνοιαν πανάμωμε, τῷ δούλῳ σου κτίσον ἐν ἐμοὶ τοῦ φρονεῖν, καὶ ποιεῖν τὰ θεῖα ἐκ ψυχῆς, καὶ πάντοτε μέλπειν σε φαιδρῶς, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.



'Ωδὴ η'. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ἀκλινεῖ διανοίᾳ Χριστὸν φιλήσαντες, καὶ κηρύξαντες τοῦτον πᾶσι τοῖς ἔθνεσι, γνώμῃ σταθερᾷ, οἱ ἀήττητοι μάρτυρες, νῦν ὑπερυψοῦνται ἐνδόξως εἰς αἰῶνας.

Νῦν ἐν γῇ παραδείσου φαιδρῶς δροσίζονται, οἱ πυρὶ λαυρωτάτῳ ὁλοκαυτούμενοι, μάρτυρες Χριστοῦ οἱ ἀήττητοι ψάλλοντες, σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ὑπὸ πάντων οἰκτίρμων παρακαλούμενος, τῶν ἁγίων μαρτύρων καὶ ἀποστόλων σου, Δέσποτα Χριστὲ ἡμᾶς σῶσον τοὺς δούλους σου, σὲ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὑπὸ τὴν σκέπην Παρθένε τῆς ἀντιλήψεως, προσπεφευγὼς τῆς σῆς ὁ ἀχρεῖος ἱκέτης σου, δέομαι βοῶν ἱλάσθητι σῶσόν με, σὲ ὑπερυψοῦντα εἰς πάντας τοὺς αἰῶνας.

'Ωδὴ θ.' Θεὸν ἀνθρώποις.

Μαρτύρων θείων χορὸς ὁ ἔνθεος, ἀποστόλων ἐνδόξων ἡ πληθὺς ἡ πανίερος, διδασκάλων ὁσίων καὶ τῶν προφητῶν πάντων τε, τῶν ἁγίων δῆμος ὁ ἔνδοξος, σὺν ταῖς οὐρανίαις στρατιαῖς νῦν ἐπαγάλλονται.

Νομίμως πάντες ἀγωνισάμενοι, ὡς καλοὶ στρατιῶται καὶ γενναιόφρονες, οἱ γενναῖοι μάρτυρες Χριστοῦ τοῦ Θεοῦ, ἐν τοῖς ἐπουρανίοις νῦν ἐπαγάλλονται, ὑπὲρ τῶν τιμώντων αὐτοὺς καθικετεύοντες.

Ὦ πάντων ἁγίων πληθὺς ἡ ἔνθεος, παρεμβολὴ ἡ θεία φωταυγὴς καὶ πανέντιμος, τοὺς τὴν σὴν πανηγύριν πιστῶς ἑορτήν, ῥῦσαι παντὸς κινδύνου, ῥῦσαι καὶ θλίψεως, τοὺς ἐπιτελοῦντας, καὶ δοξάζοντας ἑκάστοτε.

Θεοτοκίον.

Κυρία μόνη καὶ παναμώμητος σὺ ὑπάρχεις Παρθένε, ὡς τεκοῦσα τὸν Κύριον, κατακυριευθέντα μὲ πάθεσι πολλοῖς, πρόστηθι Παναγία ἐκλυτρουμένη με, καὶ γὰρ τὰς ἐλπίδας ἐπὶ σὲ θαρρῶν ἀνέθηκα.

: Καὶ οὗτος μὲν πέρας εἴληφεν ἐν ἔτει αωξϛ'. Ἰανουαρίου κζ'. ἐν τῇ Λαύρᾳ, τῷ δὲ ἀρρωγῷ Θεῷ δόξα αἰώνιος ἀμήν. Κύριλλος.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ᾿Αποφθέγματα καὶ λόγοι

## ΙΩΣΗΦ ΠΡΩΗΝ ΤΥΡΝΟΒΟΥ (*)

**(Λαυρεωτικὸς Κῶδιξ λ 197)**

Οἱ ζῶντες ἐν ἀρετῇ δὲν εἶνε δυνατὸν ἀπὸ ὅλους ἀκούειν καλῶς καὶ πάλιν ἀρετῆς ἐπιμελούμενον δὲν εἶνε δυνατὸν, ἐὰν καὶ δὲν ἔχει πολλοὺς ἐχθρούς. Ὅθεν καὶ ὁ ἀπόστολός φησιν : οἱ θέλοντες ζήσονται ἐν Χριστῷ διωχθήσονται, καὶ ὅστις θέλει ἀρέσει ἀνθρώποις, Θεῷ οὐ δυνήσεται· καὶ μακάριος ὅστις καταστήσει πάντα δι᾿ εὐλάβειαν καὶ ὅλως φιλεῖ γενέσθω μωρὸς ἐν τῷ αἰῶνι τούτῳ, εὐδαίμων καὶ ἔξει σοφός. Οἱ μὲν κακοὶ εὐτυχοῦντες, ἀγαθοὶ δὲ πένονται, θαυμάζειν οὐ δεῖ τῶν μὲν κακῶν ἡ εὐτυχία, οὐκ ἂν ὠφελοῖ τὴν κακίαν, τοῖς δὲ ἀγαθοῖς ἡ ἀρετὴ μόνον ἀρέσκει καὶ αὐτὴ μόνη ἐστὶν ἀναφαίρετος· οὐδὲν τιμιώτερον ἀρετῆς καὶ ἀγάπης· δύσληπτον τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει, καὶ εὔκολον τὸ πονηρὸν τῇ ἀνθρωπίνῃ κλίσει, ἐπειδὴ οὐκ ἔστι πόλεμος.

Ἕλληνες ἐξ ᾿Ελλένου, καὶ ἀπὸ τῆς ἐν ᾿Αθήναις ἐλαίας ὡς ἔθος βλαστησάσης.

Ἴωνες ἀπὸ Ἴωνος ἑνὸς τῶν τὸν πύργον οἰκοδομησάντων, δι᾿ ἣν αἰτίαν καὶ μέροψ κέκληνται, διὰ τὴν μεμερισμένην φωνήν.

Ὦ ἀγάπη μου· ὦ διαρκής μου χαρά· ὦ κοινὸν ὄφελος καὶ ἀπόλαυσις· ὦ ψυχῆς μου τρυφή· ὦ θέλγητρον τῆς ἐμῆς ἀκοῆς ἡδονὴ καὶ ἀπόλαυσις, ὦ πλοῦτος ἀγάπης, ὦ πλοῦτος αἰνέσεως καὶ σοφίας.

Τῷ λογιωτάτῳ διδασκάλῳ κυρίῳ ᾿Ιαννοκῷ σωτηρίαν παρὰ Θεοῦ.

Εἰς χρείαν ἤλθομεν τῆς φυσικῆς τοῦ Κορυδαλλέως ἵνα ἀδελφός τις αὐτὴν ἀντιγράφῃ, διϋπνήσας ἡμᾶς πρὸς καταβολὴν τῶν πάλαι καταργηθέντων· ὅθεν εἰ μὲν τὸ αἴτημα δόξῃ εὐλογοφανές, ἀπολαύσομεν εὐμενῶς ταύτην τὴν ἀδελφικήν σου διακονίαν.

Ἤρετό με τις, τίς εἰμὶ ἐγώ ; εἶπον αὐτῷ οὐδὲν ἄλλο, ἢ βδέλυγμα τῷ κόσμῳ ἄγος· ἐμαυτῷ ἐχθρὸς ἀσκητῶν γέλως· ἀγγέλων μῖσος, ἁγίων θρῆνος· βροτῶν ἔκτρωμα, δαιμόνων παίγνιον, τῶν συνόντων λύμη· ἡ ζωή μου πρὸς τὸν ἅπαντα χρόνον ῥιπὺς ὀφθαλμοῦ· αἱ πράξεις ἀπόβλητοι· καὶ πάντα οὐδὲν τὰ ἐμά.

---

**(*) Οὗτος ὁ ὀνομαστὸς δι᾿ ἀρετὴν καὶ προκοπὴν, ἤκμασε κατὰ τὰς ἀρχὰς τοῦ ΙΗ΄. αἰῶνος (1709) καὶ ἀπεβίωσεν ἐν τῇ Μονῇ τῆς Λαύρας τῷ 1755. Τούτου βιογραφίαν ἔχει δημοσιεύσει Ἀλέξανδρος ὁ λαυριώτης εἰς τὴν ᾿Εκκλησ. ᾿Αλήθειαν 1887, ᾿Ιανουαρίου 15, τεῦχος ιζ΄.**



### Πρὸς τὸν ὀρεστιάδος.

᾿Αδελφέ, ἃ γράφεις οὕτως ἔχει· καὶ φέρομεν τὸν ἔλεγχον, εἰδότες τὸν ἐκ τούτου καρπόν· ἀλλὰ γὰρ οὐκ ἔξεστί σοι τοῦ διδάσκειν τὸ μὴ κατορθούμενον ἀλλ᾿ ἐξ ἀφεστίας (;) καὶ τῶν προτέρων σε δεῖ ὑπαλείφειν τοὺς ἄλλους καὶ οἴνομεν τὸν λόγον σου ὡς ὁ κηρὸς τῇ σφραγίδι· συνιὼν γὰρ δοκεῖς ἀλλὰ φητιοῖς (;) καὶ μὴ εἰδὼς σχηματίζει.

᾿Ανάγκη τοὺς τῆς Εὔας κληρονόμους θλίβεσθαι· καὶ ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα· καὶ ἀνάγκη τὰ γινόμενα ὡς γίνεται γίνεσθαι· καὶ ὁ μὲν μὴ εἰδὼς ὅ τίποτέ ἐστι κόσμος, οὐκ οἶδεν ὅπου ἐστίν· ὁ δὲ ἕν τι τούτων ἀπολιπών, οὐδὲ πρὸς ὅ,τι αὐτὸς πέφυκεν εἴποι. Οὐδεὶς οὕτως ἑαυτοῦ φείδεται ὡς πάντων ἡμῶν ὁ Θεός· πολλῷ γὰρ ἡμῶν αὐτὸς βούλεται, μηδὲν ἡμᾶς πάσχειν κακόν· διόπερ οὔτε ἐν συμφοραῖς ἀεὶ ἀφίνει ἡμᾶς, ἵνα μὴ ἐκκακῶμεν ἢ ἀποκάμωμεν· οὔτε πάλιν ἐν ἀνέσει διόλου, ἵνα μὴ ῥαθυμότεροι γινόμενοι ἐκπέσωμεν τοῦ τῶν σπουδαίων χοροῦ. ᾿Απέτυχες, μὴ ἀθύμει· ὅτι τὸ ἀποτυχεῖν, ὅταν ὁ Θεὸς βούλεται οὐκ ἔλαττόν ἐστι τοῦ ἐπιτυχεῖν· οὐδὲ γὰρ ἴσμεν ἡμεῖς τὸ συμφέρον ἡμῶν κατ᾿ ἀκρίβειαν, ὡς αὐτὸς τοῦτο σαφῶς καὶ πανσόφως ἐπίσταται. Οὐδὲν γὰρ ἀπρονόητον οὐδὲ ἠμελημένον, οὐδὲ ἐπιλελησμένον ἐστὶ παρὰ τῷ Θεῷ· πάντα σκοπεύει ὁ ἀκοίμητος ὀφθαλμός, πάντων προνοεῖται τὸ παντέφορον ὄμμα, καὶ πᾶσι πάρεστιν ὁ τὰ πάντα πληρῶν, φροντίζων ἑκάστου τὰ πρόσφορα. Γίνωσκε δὲ ὅτι ὁ παιδευόμενος ἐνταῦθα διὰ τὴν ἰδίαν αἰσχύνην, ἐκ τῆς ἰδίας γεέννης ἐσθίει. Περὶ τῶν ἀδυνάτων οὐδεμία ἐστὶν ἐνοχή.

Εὐχή· ὁ Θεὸς ἀδελφὲ νὰ οἰκονομήσῃ τὸ συμφέρον τῆς ψυχῆς σου, νὰ σὲ στερεώσῃ εἰς τὸν φόβον καὶ νὰ σὲ ἀξιώσῃ μετὰ τῶν ἐκλεκτῶν τῆς οὐρανίου βασιλείας καὶ θείας μακαριότητος.

᾿Εν ἔτει αψος΄ διατρίβοντος ἐμοῦ ἐν τῷ τζιλτικίῳ τῆς Θράκης, γέγονε τοιοῦτόν τι σημεῖον. Τῇ ιζ.΄ τοῦ ᾿Ιουλίου, ἡμέρᾳ Κυριακῇ, μέγαν ὑετὸν κατήγαγεν· εἶτα ἀὴρ σφοδρὸς ἐπηγάγετο καὶ σὺν αὐτῷ μελανοερυθρίασεν ὁ ἥλιος καὶ οὐκ ἐφαίνετο, οὔτε αὐτός, οὔτε ἡ γῆ, οὔτε οὐρανός· οὔτε ὄρος· οὔτε νάπαι ἐκ τῆς μεγίστης καὶ ἐρυθρᾶς αὐτῆς γῆς ἀλλὰ τοῦ ἀέρος καὶ αὐτοῦ τοῦ ἀφανοῦς σχεδὸν ἡλίου καταχνιᾶς μέχρι τῆς κα΄. τοῦ ᾿Ιουλίου. ᾿Εν δὲ τῷ μεταξὺ ὄντων ἡμῶν ἐν τῷ ὄρει πρὸς ἑορτὴν τοῦ προφήτου θείου ῾Ηλιοῦ, περὶ τὴν δ΄. ὥραν τῆς νυκτὸς τῆς ἑορτῆς, ὁλολαμπὴς καὶ πανσέληνος οὖσα ἡ σελήνη, ἤρξατο ἐκλείπειν ὀλίγον κατ᾿ ὀλίγον, ἕως οὗ ὡς τέλος ἐξέλειπε καὶ οὐδὲ τόπος ἢ ἴχνος ταύτης ἐφαίνετο εἰς τὸ παντελὲς ἕως ὄρθρου· εἶτα ἐκ διαλειμ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μάτων λαμβάνουσα τὸ φῶς πανσέληνος ὡράθη, μέχρις ἀνατολῆς ἡλίου. Ἐν δὲ τῷ αὐτῷ ἔτει Ἰανουαρίου ιβ.΄ περὶ τρίτην τῆς νυκτὸς ὥραν, ὁλολαμπούσης φαιδρῶς τῆς σελήνης κατ' ὀλίγον ἐξέλιπεν ὁλοτελῶς, καίτοι λαμπρᾶς αἰθρίας οὔσης· μετὰ δὲ δύο ἢ τρεῖς ὥρας κατ' ὀλίγον ὑποφαίνουσα αὖθις ἄρτιος ὤφθη.

---

**Ἰωσὴφ τοῦ Τλήμονος, πρώην Τυρνόβου, ἔπη καὶ λόγοι καὶ διδάγματα, ταῦτα ψυχῶν τροφὴ τὸ χρῆμα λειμὼν ἡδύνων ἡμῶν χαρίτων χῶρος ἀνθῶν αὐτῷ, ἣν γεωργὸς καὶ χάρις τοῦ Πνεύματος.—Δρέπεστε καρπὸν τὴν βίβλον ταύτην πᾶσαν.**

### Τίς ἡ τοῦ οὐρανοῦ οὐσία;

Ὁ μὲν Ἀριστοτέλης πέμπτον σῶμα φησὶ τὸν οὐρανὸν καὶ ἕτερον ἐκ τῶν τεσσάρων στοιχείων· ἀποδεικνύων ἐκ τῆς κινήσεως οὕτως, ὧν αἱ κινήσεις διάφοροι, διάφοροι καὶ αἱ φύσεις· διαφέρουσι δὲ αἱ τῶν στοιχείων κινήσεις πρὸς τὴν τοῦ οὐρανοῦ κίνησιν, τῶν μὲν κατ' εὐθεῖαν κινουμένων, τοῦ δὲ οὐρανοῦ κύκλῳ· ὥστε τούτων ἐστὶν ἑτερόφυλος. Ἔνστασις πρὸς ταῦτα. Εἰ ὧν, ὦ φιλόσοφε, αἱ κινήσεις διάφοροι, διάφοροι καὶ αἱ φύσεις, λοιπόν, ὧν αἱ κινήσεις αἱ αὐταὶ καὶ φύσεις αἱ αὐταὶ καὶ μὴν ὁρῶμεν τὴν τῆς γῆς κίνησιν ἐπὶ τὰ κάτω καὶ τὴν τοῦ ὕδατος, ὥστε μία φύσις ἀμφοῖν· καὶ ὁ ἀὴρ καὶ τὸ πῦρ ἀνωφερῆ μὲν ἕτερα δὲ τὴν φύσιν εἰσίν. Ὁ δὲ Πλάτων ἐκ τῶν τεσσάρων στοιχείων συγκεῖσθαι τὸ οὐράνιον ἀπεφήνατο σῶμα. Ὁ δὲ Πρόκλος τούτῳ συνηγορῶν, φησίν, ἐκ τοῦ ἄνθους αὐτοῦ συγκεῖσθαι τῶν στοιχείων.

### Πῶς φωτίζονται οἱ ἀστέρες;

Περὶ τούτου πολλὴ ἡ ἀμφιβολία τοῖς πάλαι σοφοῖς ἐγένετο· τινὲς γὰρ ὁρῶντες τὴν σελήνην παρὰ τοῦ ἡλίου δεχομένην τὸ φῶς καὶ περὶ πάντων ἀστέρων ἀπεφήναντο, ὡς καὶ αὐτοὶ παρὰ τοῦ ἡλίου φωτίζονται. Ἄλλος δὲ πάλιν ὁρῶν τὴν Ἀφροδίτην καὶ τὸν Ἑρμῆν ὑπὸ τὸν ἥλιον ὄντας καὶ μὴ πόρρωθεν αὐτοῦ ἀφισταμένους, ὡς φωτίζεσθαι παρ' αὐτοῦ, ἐδόξασαν ἔχειν τούτοις τε καὶ ἄλλους οἰκεῖον φῶς. Πότερον, οἱ ἄγγελοι πλείους ἢ ἄνθρωποι;

Ἐλάττοις τῶν ἀνθρώπων κατὰ τὸ πλῆθος οἱ ἄγγελοι· καὶ ὅρα ὅτι πάντες οἱ ἀριθμοὶ οἱ πλησιάζοντες τῇ μονάδι, ἐλάττους εἰσὶ κατὰ τὸ ποσὸν τῶν πορρωτέρω ἀριθμῶν· οἷον ἡ δυάς, ἡ τριάς, καὶ ἡ τετράς, ἐλαττότεραί εἰσι τῶν εἴκοσι καὶ τριάκοντα· ὥσπερ οἱ ἐγγύτεροι



τῆς ἐννάδος ἀριθμοί, ἐλάσσονές εἰσιν· οἱ δὲ πορρωτέρω πλείους· οὕτως οἱ ἐγγύτεροι τοῦ ἑνὸς καὶ μόνου Θεοῦ, ἔλαττον ἔχουσι τὸ ποσόν· οἱ δὲ πορρωτέρω πλέον. Καὶ ἄλλον ὅτι οἱ μὲν ἄγγελοι ἤδη κατὰ τὸν ἀριθμὸν ἐπερατώθησαν, τοῖς δὲ ἀνθρώποις εἰς τὸ ἄπειρον προχεῖται ἡ γένεσις.

### Περὶ ἁγνείας.

Ἁγνεύουσί τινες ἢ ὑπὸ Θεοῦ σκεπτόμενοι, ἢ ψυχρᾶς ὑπάρχοντες κράσεως, ἢ ἐξ ἀσκήσεως ἑαυτοὺς βιαζόμενοι, καὶ τινὰ μὴ κρίνοντες, ἢ καὶ ὑπερηφανείαν ἢ φιλαργυρίαν ἔχοντες· καὶ διὰ τοῦτο διὸ τοῦ σατανᾶ καταφρονηθέντως, ὡς ἱκανῆς οὔσης τῆς οἰήσεως ὑπὲρ ὅλα τὰ πάθη ἐνόχους αὐτοὺς ποιῆσαι τῆς αἰωνίου κολάσεως

## ΔΙΗΓΗΣΙΣ ΩΡΑΙΑ

Εἶνέ τις τῶν ἁγίων, ἠκούσαμεν παρά τινων ἁγίων τὸν Χριστὸν ἐχόντων ἐν ἑαυτοῖς, λαλούντων περὶ συμφωνίας τεσσάρων πρεσβυτέρων ἁγίων, οἵτινες δεξιὰν ἔδωκαν ἀλλήλοις, ἵνα ὁμοψύχως καὶ ὁμοφρόνως ζήσαντες ἐν τῷ αἰῶνι τούτῳ, ὁμοῦ πάλιν ἐν τοῖς οὐρανοῖς εὑρεθῶσι, τῇ δεσποτικῇ πιστεύσαντες φωνῇ τῇ λεγούσῃ «ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τὸ αὐτὸ ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσονται παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, γενήσεται αὐτοῖς. Καὶ οἱ μὲν τρεῖς τῇ ἀσκήσει προσκαρτεροῦντες ἡσύχαζον, ὁ δὲ διηκόνει αὐτοῖς τὰ πρὸς τὴν χρείαν. Συνέβη οὖν τοὺς δύο τελειωθῆναι ἐν Χριστῷ, καὶ ἀναλῦσαι ἐκ τοῦ βίου, καὶ ἀπενεχθῆναι ἐν ἑνὶ τόπῳ ἀναπαύσεως· περιληφθῆναι δὲ τοὺς δύο ἐν τῇ γῇ. Ἐξ ἐπιβουλῆς δὲ τοῦ πονηροῦ, περιέπεσεν ὁ διακονητὴς εἰς πορνείαν, καὶ ἀπεκαλύφθη ἑνὶ τῶν ἁγίων ὅτι οἱ τελειωθέντες παρεκάλεσαν τὸν Θεὸν λέγοντες· ὅτι παράδως, Κύριε τὸν ἀδελφὸν βρωθῆναι ὑπὸ λέοντος, ἢ ὑπὸ ἄλλου θηρίου, ἵνα ἀπονιψάμενος τὴν ἁμαρτίαν ἔλθῃ ἔνθα ἐσμέν, καὶ μὴ διαπέσῃ ἡ συμφωνία ἡμῶν. Ἐγένετο δὲ ἐν τῷ ἐλθεῖν τὸν ἀδελφὸν κατὰ τὸ ἔθος τῆς διακονίας καὶ ἐν τῷ ὑποστρέφειν αὐτὸν πρὸς τὸν ἡσυχαστήν, ὑπήντησεν αὐτῷ λέων καὶ ἐζήτει αὐτὸν θανατῶσαι· ἔγνω δὲ ὁ ἡσυχαστὴς τὸ γενόμενον, ἀπεκαλύφθη γὰρ αὐτῷ· καὶ ἔστη εἰς προσευχὴν δεόμενος τοῦ Θεοῦ ὑπὲρ τοῦ ἀδελφοῦ καὶ εὐθέως ἔστη ὁ λέων· οἱ ἄνω δὲ δύο παρεκάλουν ἵνα συγχωρήσῃ βρωθῆναι, ὅπως σωθῇ μετ' αὐτῶν, λέγοντες· μὴ ὑπακούσῃς Δέσποτα τοῦ παρακαλοῦντος ἐν τῇ γῇ ὑπὲρ αὐτοῦ. Ὁ δὲ γέρων ἐν τῷ κελλίῳ ἐκτενέστε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρον ηὔχετο μετὰ δακρύων, ἱκετεύων τὸν Θεὸν ἐλεηθῆναι τὸν ἀδελφόν καὶ ῥυσθῆναι τοῦ θηρός. Ὑπήκουσε δὲ ὁ Θεὸς τῆς κραυγῆς τοῦ γέροντος, καὶ φησὶ πρὸς τοὺς ἄνω· δίκαιόν ἐστιν ἐκεῖνον μᾶλλον ἐπακοῦσαι ἢ ὑμᾶς, ὑμεῖς γὰρ ὧδε ἐν ἀνέσει ἐστέ, ἀπαλλαγέντες τῶν πόνων καὶ τῶν ἱδρώτων τοῦ βίου· ἐκεῖνος δὲ κεκμηκὼς ἐν τῷ μόχθῳ τῆς σαρκός, καὶ ἐν πάλαις πρὸς τὰ παλαίσματα τῶν πονηρῶν πνευμάτων· δίκαιον οὖν ἐκείνῳ δοῦναι τὴν χάριν ἤπερ ὑμῖν· καὶ εὐθέως ἀνεχώρησεν ὁ θὴρ ἀπὸ τοῦ ἐν ὄνυξιν ἀδελφοῦ. Ἐλθὼν δὲ ἐν τῷ κελλίῳ, εὗρε τὸν γέροντα δακρύοντα ὑπὲρ αὐτοῦ· καὶ διηγήσατο αὐτῷ πάντα τὰ συμβάντα αὐτῷ, ἐξομολογούμενος τὴν ἁμαρτίαν αὐτοῦ καὶ γνοὺς ὅτι ἐφείσατο αὐτοῦ ὁ Θεός, μετενόησε, καὶ ἐντὸς ὀλίγου χρόνου ἦλθεν εἰς τὰ πρῶτα μέτρα. Καὶ κοιμηθέντες ὁμοῦ ἐν Κυρίῳ ἀμφότεροι, ἀπεκαλύφθη τῷ προρρηθέντι διορατικῷ ἁγίῳ, ὅτι καὶ οἱ τέσσαρες ἐν ἑνὶ τόπῳ εἰσί, κατὰ τὰς ἀψευδεῖς ἐπαγγελίας τοῦ Κυρίου· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας Ἀμήν.

## Πρὸς μοναχὸν πεπτωκότα.

Διττῶς μοι ἐνέσκηψε τοῖς κόλποις τῆς διανοίας μου ἐκ τῆς πρὸς σὲ ὑποθέσεως· ἢ γάρ τις ἀσυμπαθὴς τρόπος προκαταρξάμενος εἰς μισαδελφίας με ῥίπτει ἐγκλήματα, ἢ αὖθις συμπαθεῖν ἐθέλοντα καὶ πρὸς τὰ πάθη μὴ μαλακίζεσθαι, κακῶς μετατίθησι· διόπερ καὶ χαράττειν μέλλων τοῦτό μοι τὸ γράμμα, τὴν μὲν χεῖρα ναρκῶσαν τοῖς λογισμοῖς μου ἐνεύρωσα· τὸ δὲ πρόσωπον ἠπορημένον ἐκ τῆς πρὸς σὲ κατηφείας ἀλλοιῶσαι οὐκ ἴσχυσα· τοσαύτης μοι ἐπὶ σοὶ κεχυμένης αἰσχύνης, ὡς καὶ τὴν τοῦ σώματος σύμπτηξιν παραχρῆμα πίπτειν, τῶν χειλέων μου εἰς κλαυθμὸν ἐκτρεπομένων. Οἴμοι! τί γράψω ἢ τί λογίσωμαι ἐν τριώδῳ ἀπειλημμένος; Ἐὰν ἔλθω εἰς μνήμην τῆς ματαίας σου προτέρας ἀναστροφῆς, ὅτε σὲ περιέρρει πλοῦτος καὶ τὸ χαμαιρπὲς δοξάριον, φρίττω ἡνίκα εἵπετό σοι τρυφῆς ἀπόλαυσις πρόσκαιρος· μετὰ προφανοῦς κινδύνου, καὶ ἀδίκων πόρων. Καὶ πῇ μὲν ἀρχοντικοὶ φόβοι διερρίπιζόν σου τῆς σωτηρίας τὴν ὑπόνοιαν· πῇ δέ, δημοσίων θόρυβοι διεσάλευόν σου τὴν ἑστίαν· ἦτε συνοχὴ τῶν κακῶν ἀπεσφετέριζέ σου τὸν νοῦν, πρὸς τὸν δυνάμενόν σοι βοηθεῖν, ἡνίκα κατὰ μικρὸν ἐμελέτας περιβλέπεσθαί σοι τὸν σωτῆρα φέροντα μὲν πρὸς ὠφέλειαν τοὺς φόβους, ῥυόμενον δέ σε καὶ σκέποντα, παίζοντα κατ᾽ αὐτοῦ ἐν ταῖς ἀδείαις· ἡνίκα ἐγυμνάζου πρὸς μεταβολὴν σεμνοῦ τρόπου· σκυβαλίζων μέν σου τὴν πολυκίνδυνον περιουσίαν· οἴκου τε θε-



ραπείαν, καὶ συνοίκου ὁμιλίαν ἀπαρνούμενος, ὅλος δὲ μετάρσιος ὥσπερ ξένος καὶ ἀλήτης ἀγροὺς ἐξαμείβων καὶ πόλεις, κατέδραμες ἐπὶ τὰ Ἱεροσόλυμα, ἔνθα σοι καὶ αὐτὸς συνδιατρίβων, τὸν ἀθλητικὸν πόνον σου ἐμακάριζον· ὅτε ἑβδοματικοῖς κύκλοις νῆστις διατελῶν Θεῷ προσεφιλοσόφοις· ὁμοῦ καὶ τὰς ἀνθρώπων συντυχίας λόγῳ τρόπῳ ὑποφεύγων· ἡσυχίαν δὲ καὶ μονοτροπίαν ἑαυτῷ ἐφαρμώσας, τοὺς πολιτικοὺς θορύβους ἐξέκλινας· σάκκῳ δὲ τραχεῖ τὸ σῶμά σου διανύττων, καὶ ζώνῃ σκληρᾷ τὴν ὀσφύν σου περισφίγγων καρτερικῶς τὰ ὀστά σου διέθλιβες, λαγόνας τε ταῖς ἐνδείαις κοιλαίνων, μέχρι τῶν νοτιαίων μερῶν ὑπεχαύνωσας· καὶ φασκίας μὲν ἁπαλῆς τὴν χρῆσιν ἀπηρνήσω· ἔνδοθεν δὲ τὰς λαπάρας συχνῇ ὑφελκώσας, τοῖς νεφριτικοῖς χωρίοις προσκολλᾶσθαι ἐβιάζοντο· ὅλην δὲ τὴν τῆς σαρκὸς πιμελὴν ἐκκενώσας, τοὺς τῶν ὑπογαστρίων ὀχετοὺς γενναίως ξηράνας, γαστέρα τε αὐτὴν ταῖς ἀσιτείαις συμπνίξας τὰ πλευριτικὰ μέρη, ὥσπερ τινα στέγης ἐξοχὴν τοῖς τοῦ ὀμφαλοῦ μέρεσιν ἀπεσκίαζες· καὶ συνεσταλμένως κατὰ τὰς νυκτερινὰς ὥρας ἀνθομολογούμενος τῷ Θεῷ τοῖς τῶν δακρύων ὀχετοῖς, τὴν γένην ἔμβροχον καθυμάλιζες· καὶ τί με δεῖ καταλέγειν ἕκαστα; μνήσθητι ὅσα ἁγίων στόματα φιλήματι κατησπάσω, ὅσα ἱερὰ σώματα περιεπτύξω, ὅσοι σου τὰς χεῖρας ὡς ἀχράντους περιέθαλπον· ὅσοι δοῦλοι Θεοῦ, ὥσπερ λάτρις ὑπέδραμον τοῖς γόνασί σου περιπλεκόμενοι· τοῦτο τὸ τέλος τί; μοιχικὴ φήμης διαβολή· βέλους ὀξύτερον διϊσταμένη τιτρώσκει ἡμῶν τὰς ἀκοάς· ἀκμαιοτέρῳ τῷ κέντρῳ τὰ σπλάγχνα ἡμῶν διανύττουσα· τίς ἡ τοσαύτη ἔντεχνος ποικιλία; εἰς τοσοῦτόν σε περιήγαγεν ὀλέθριον σκέλισμα; ποῖα πολύπλοκα τοῦ διαβόλου περισφίξαντά σε δίκτυα; τὰς τῆς ἀρετῆς ἐνεργείας ἀκινήτους ἀπήλεγξε; ποῦ μοι τῶν σῶν πόνων τὰ διηγήματα οἴχεται; ἆρα γὰρ ἀπιστῆσαι ἄξιον; καὶ πῶς οὐχί, ἐκ τῶν ἔργων καὶ τὰ τέως ἀφανῆ εἰς πίστιν δεξόμεθα· εἰ τὰς τῷ θεῷ προσφευγούσας ψυχὰς φρικτοῖς ὅρκοις κατέκλεισας, ὁπότε παρατετηρημένων τοῦ ναὶ καὶ τοῦ οὒ περισσοῦ, τῷ διαβόλῳ προσνενέμηται· ὁμοῦ τοίνυν καὶ παροικίας ὀλεθρίου γέγονας ἔγγυος· καὶ φαυλίσας τῆς ἀσκήσεως τὸν χαρακτῆρα μέχρι τῶν ἀποστόλων καὶ αὐτοῦ τοῦ Κυρίου ἀνέπεμψας τὸ αἶσχος φιλόσαρκε· κατῄσχυνας τὸ τῆς ἁγνείας καύχημα, ἐμωμήσω τῆς συμφροσύνης τὸ ἐπάγγελμα, ἐγενώμεθα αἰχμαλώτων τραγῳδία, Ἰουδαίοις καὶ Ἕλλησι δραματουργεῖται τὰ ἡμέτερα· διέτεμες φρόνημα μοναχῶν· τοὺς ἀκριβεστέρους εἰς φόβον ἤγαγες καὶ δειλίαν θαυμάζοντας ἔτι τοῦ διαβόλου τὴν δύναμιν· τοὺς ἀδιαφόρους εἰς ἀκολασίας ζῆλον μετέθηκας·



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἔλυσας ὅσον ἐπὶ σοὶ τὸ τοῦ Χριστοῦ καύχημα θαρρεῖτε, λέγοντος, ἐγὼ νενίκηκα τὸν κόσμον καὶ τὸν τούτου ἄρχοντα.

Ἐκέρασας τῇ πατρίδι κρατῆρα δυσφημίας· ὄντως εἰς ἔργον ἤγαγες τὰς παροιμίας ἀβέλτιστε· ὡς ἔλαφος τοξευθεὶς εἰς τὸ ἧπαρ. Ἀλλὰ τί νῦν ; οὐ πέπτωκεν ὁ τῆς ἰσχύος πύργος ἀδελφέ· οὐκ ἐμωμήθη τὰ τῆς ἐπιστροφῆς φαρμάκα, οὐ κατεκλείσθη τοῦ φευκτηρίου ἡ πόλις· μὴ τῷ βάθει τῶν κακῶν ἐναπομείνῃς· μὴ χρήσῃς σεαυτὸν τῷ ἀνθρωποκτόνῳ, οἶδεν ἀνορθοῦν κατεραγμένους ὁ Κύριος, φύγε μὴ μακράν, ἀλλὰ πρὸς ἡμᾶς ἀνάδραμε· ἀνάλαβε πάλιν νεανικοὺς πόνους· δευτέροις κατορθώμασι διαλύων τὴν χαμαίζηλον καὶ γελοιώδη ἡδονήν· ἀνάνευσον εἰς τὴν τοῦ τέλους ἡμέραν, οὕτω προσεγγίσαι τῇ ζωῇ ἡμῶν· καὶ γνῶθι λοιπόν· πῶς Ἰουδαίων καὶ ἑλλήνων παῖδες οὐ συνελαύνονται πρὸς θεοσέβειαν καὶ μὴ ἀπαξαπλῶς ἀρνήσῃ τὸν τοῦ κόσμου Σωτῆρα, μήποτε ἡ φρικωδεστάτη ἐκείνη καταλάβῃ ἀπόφασις, οὐκ οἶδα ὑμᾶς τίνες ἐστέ.

## Κύρου ἐπισκόπου ἑρμηνεία.

Διατὶ μετὰ πέμπτον καὶ εἰκοστὸν ἔτος μέχρι τοῦ πεντηκοστοῦ λειτουργεῖν τοὺς λευΐτας κελεύει ; Ἐπειδὴ ἡ μὲν πρώτη ἡλικία τελείαν οὐκ ἔχει τῶν ἀγαθῶν καὶ κακῶν τὴν διάκρισιν, ἡ τελευταία δὲ ἀσθενέστερον ἔχει τὸ σῶμα· ἀποκρίνει τοίνυν καὶ τὴν νεότητα καὶ τὸ γῆρας· καὶ τὴν μὲν διὰ τὸ ἀτελὲς τῆς ψυχῆς· τὸ δὲ διὰ τὸ τοῦ σώματος ἀσθενές.

Πρὸς τὸν προτρεπόμενον ἡμᾶς καὶ παρακαλοῦντα ἀπελθεῖν πρὸς αὐτὸν ἐν τῷ κόσμῳ τυγχάνοντα· καὶ πάνυ ἡμᾶς διψῶντα θεάσασθαι.

Οὐχ ὡς αὐτὸς νομίζεις ἀγαπητὲ ἡμεῖς ἐσμὲν δυνατοὶ καὶ μακάριοι· ἴσως γὰρ ἀγνοεῖς τὴν ἐμὴν ἀσθένειαν, ὅτι εὐχερής ἡ ἀπώλειά μου· καὶ διὰ τοῦτο αἰτεῖς παρ' ἐμοῦ ἀεὶ ὡς ὑπὸ τῆς φύσεως πυρπολούμενος κατὰ τὸ ἔθος αὐτῆς, ὅπερ οὐκ ἔδει ἡμᾶς μεριμνῆσαι καὶ ἐν σοὶ τοῦτο ὁρᾶσθαι· μὴ αἰτήσεις παρ' ἐμοῦ μόνον τὸ ἀναπαῦον τὴν σάρκα καὶ τὸ φρόνημα αὐτῆς. ἀλλὰ τὴν σωτηρίαν τῆς ψυχῆς μου δεῖ σε περιποιήσασθαι, πράγματος τυγχάνοντος ἀθανάτου· τὶ τοσαύτη φροντὶς περὶ τῶν προσκαίρων ; ἡμεῖς οἶδας πρὸς μικρὸν μόνον χρόνον, καὶ παρερχόμεθα ἐκ τοῦ αἰῶνος τούτου· Πόσα πρόσωπα ἔχω ἀπαντῆσαι ἐὰν ἔλθω πρὸς σὲ ; καὶ πόσους τρόπους ἀνθρώπων καὶ τόπους ἕως ἂν στραφῶ εἰς τὴν παροικίαν μου καὶ τὸν τόπον ; πόσας ἄρα γε αἰτίας λογισμῶν δέχεται ἡ ψυχή μου ἐν τῇ ἀναπαύσει ἀδειῶν καὶ σύγ-



χησιν ὑπομένει ἐν τοῖς πάθεσι τοῖς ἐξυπνιζομένοις ἐν αὐτῇ, ἐξ ὧν μικρὸν ἀνεπαύθη· καὶ ταῦτα μὲν οὐκ ἀγνοεῖς· πάνυ γὰρ βλάπτει τὸν μοναστὴν ἡ τῶν κοσμικῶν θεωρία· καὶ μεγάλην ἀλλοίωσιν κατὰ διάνοιαν δέχεται, ὁ χρόνον πολὺν ἡσυχάζων καθ' ἑαυτὸν· ὁπότε πάλιν ἐν τούτοις πέσῃ ἐξαίφνης· καὶ ἀκούει καὶ ὁρᾷ τι παρὰ τὸ ἔθος αὐτοῦ· εἰς φρέαρ τοίνυν μέγα κατακρημνηθησόμεθα τοῦ ἐχθροῦ, καὶ περιπέσωμεν οἱ ἐν πολλῇ πείρᾳ κτησάμενοι τὴν ἐπίγνωσιν· καὶ διὰ τοῦτο ἐκτὸς ἀνάγκης ποιῆσαι τοῦτο μὴ ἐξαιτήσεις παρ' ἐμοῦ· μὴ ἀπατήσωσιν ἡμᾶς οἱ λέγοντες τὶ ἐστὶ τὸ ἀκοῦσαι καὶ τὸ ἰδεῖν· ἴσοι γὰρ ἐσμὲν καὶ ἐν τῇ ἐρήμῳ καὶ ἐν τῷ κόσμῳ, καὶ ἐντὸς τοῦ κελλίου ἡμῶν, καὶ ἔξωθεν κατὰ τοὺς λογισμοὺς ἡμῶν· καὶ οὐ ταρασσόμεθα ἐκ τῆς ἐπιεικείας ἡμῶν· καὶ οὐ δεχόμεθα φαύλην ἀλλοίωσιν· οὐδ' αἰσθανόμεθα εἰς τὴν ἀπάντησιν τῶν προσώπων καὶ τῶν πραγμάτων ἐν τῇ ὀχλήσει τῶν παθῶν· οἱ λέγοντες ταῦτα, οὔτε εἰ πληγῇ πληγήσονται γινώσκουσι, οὔτε ἀλγῶσι τὸ σύνολον· ἡμεῖς γὰρ οὐκ ἐφθάσαμεν ἀκμὴν εἰς τὴν ὑγείαν ταύτην τῆς ψυχῆς· ἔχομεν γὰρ τραύματα ὀδωδότα καὶ ἐὰν ἀφεθῶσι κἂν μίαν ἡμέραν ἀνεπιμέλητα, καὶ μὴ ἐπιδεσμούμενα, καὶ μὴ ἐμπλασθῶσιν ἐμπλάστροις, καὶ ἐπιδεσμίοις μὴ ἐπισφιχθῶσι, σκωληκιῶσι τὰ χείριστα.

## Εἰς πόλιν, εἰς πλοῖον καὶ μοναστήριον.

Μακαρία ἡ πόλις ἡ ὑπὸ εὐσεβῶν βασιλέων βασιλευομένη· καὶ πλοῖον ὑπὸ ἐμπείρων κυβερνόμενον· καὶ μοναστήριον ὑπὸ ἐγκρατῶν καὶ ἐναρέτων ἀνδρῶν διοικούμενον. Οὐαὶ δέ, τῇ μὲν ὑπὸ ἀσεβῶν, τῷ δὲ ὑπὸ ἀπείρων, καὶ τῷ μοναστηρίῳ ὑπὸ φιληδόνων καὶ σαρκὸς εὐπάθειαν ἀγαπώντων διοικουμένῳ· ἡ μὲν γὰρ πόλις βαρβάρων καὶ ἀσεβῶν πλησθήσεται διὰ τὴν ἀσέβειαν τῶν κρατούντων· τὸ δὲ πλοῖον συντριβήσεται δι' ἀπειρίαν τῶν κυβερνώντων· τὸ δὲ μοναστήριον ἐρημωθήσεται διὰ τὴν ῥαθυμίαν καὶ φιλοπάθειαν τῶν ἡγουμένων, καὶ τὴν προστασίαν λαχόντων. Διατὶ πλανώμεθα διὰ βίου ἀδελφοί; διατὶ ἀγαπῶμεν τὰ μάταια; καὶ φιλοῦμεν τὰ ἀνυπόστατα ; διατὶ προσηλώθημεν καὶ προστετήκαμεν τῇ διαθέσει τῶν ματαίων, ὧν οὐδὲν ἐστίν· οὐδεμία ὑπόστασις· ἄλλη, ἄλλη ἐστὶν ἡ ὁδὸς ἀδελφοί, ἡ ἀπλανὴς καὶ σωτήριος· ἐκείνην φιλήσομεν· ἐν ἐκείνῃ διὰ τῆς ἀγάπης ὁδοιπορήσωμεν, ἧς τὸ ὄνομα ἀλήθειά ἐστι, καὶ ζωή, καὶ ἀφθαρσία, καὶ φῶς, καὶ τὰ τοιαῦτα· αὕτη δὲ δι' ἧς νῦν τρέχομεν, μίσους ἀξία καὶ ἀποστροφῆς.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ μὴ μακρύνων ἑαυτὸν τῶν αἰτιῶν τῶν παθῶν ἑκουσίως, ἀκουσίως ὑπὸ τῆς ἁμαρτίας ἀνθέλκεται· ταῦτα δὲ εἰσι τὰ αἴτια τῆς ἁμαρτίας· ὁ οἶνος· αἱ γυναῖκες· καὶ ὁ πλοῦτος· καὶ ἡ εὐεξία τοῦ σώματος.

### (Ἰσαὰκ τοῦ Σύρου)

Πολλῶν ἀκήκοα λεγόντων μὴ δύνασθαί τινα εἰς ἕξιν ἐλθεῖν ἀρετῆς ἄνευ μακρᾶς ἀναχωρήσεως καὶ τῆς εἰς ἐρημίαν φυγῆς· καὶ τεθαύμακα· πῶς τὸ ἀπεριόριστον ἔδοξεν αὐτοῖς ἐν τόπῳ περιορίζεσθαι· εἰ γὰρ ἡ ἕξις τῆς ἀρετῆς, ἡ ἀποκατάστασις ἐστὶ τῶν δυνάμεων τῆς ψυχῆς εἰς τὴν παλαιὰν εὐγένειαν, καὶ ἡ ἐπὶ τὸ αὐτὸ σύνοδος τῶν γενικῶν ἀρετῶν εἰς τὴν κατὰ φύσιν ἐνέργειαν, ταῦτα δὲ οὐκ ἔξωθεν ὡς ἐπείσακτα ἡμῖν ἐπιγίνεται, ἀλλὰ συμπεφύκασιν ἡμῖν ἐκ δημιουργίας κατὰ θείαν καὶ νοερὰν αἴσθησιν· δι᾿ ὧν καὶ μεθ᾿ ὧν κατὰ φύσιν κινούμενοι, εἰσαγόμεθα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Εἰ δὲ ἐντὸς ἡμῶν ἐστι κατὰ τὴν τοῦ Κυρίου φωνήν· ἄρα περιττὸν ἡ ἐρημία· εἰσερχομένων ἡμῶν ἐντὸς εἰς αὐτήν, καὶ ταύτης χωρὶς διὰ μετανοίας καὶ πάσης φυλακῆς τῶν τοῦ Θεοῦ ἐντολῶν, ἥτις καὶ ἐν παντὶ τόπῳ τῆς δεσποτείας, κατὰ τὸν θεῖον Δαβίδ, δύναται γενέσθαι. Εὐλόγει γὰρ φησίν, ἡ ψυχή μου τὸν Κύριον, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ἐὰν ᾄδῃς ᾆσμα εὐχῆς τῷ Θεῷ καὶ ἀδελφὸς παραστῇ τῇ θύρᾳ κρούων τῆς κέλλης σου, μὴ προτιμήσῃς τὸ ἔργον τῆς εὐχῆς· τοῦ ἔργου τῆς ἀγάπης, καὶ παρίδῃς κρούοντα τὸν ἀδελφόν σου· τοῦτο γὰρ οὐκ ἔστι φίλον Θεῷ, ἔλαιον γὰρ ἀγάπης θέλει.

### Περὶ τῆς τῷ ὄντι προσευχῆς

Καὶ ἡ ποσότης ἐν ταῖς τῶν εὐχῶν ψαλμῳδίαις ἀρίστη, ἡνίκα ταύτης καρτερία προηγεῖται καὶ προσοχή· ἀλλ᾿ ἡ ποιότης ἐστὶ τὸ ζωογονοῦν τὴν ψυχήν, ἥτις καὶ πρόξενος τοῦ καρποῦ. Ποιότης δὲ ψαλμῳδίας καὶ προσευχῆς, τὸ μετὰ τοῦ πνεύματος εὔχεσθαι καὶ τῷ νοΐ· εὔχεται δέ τις τῷ νοΐ, ὅταν εὐχόμενος καὶ ψάλλων ἀναθεωρῇ τὸν ἐγκείμενον νοῦν ἐν τῇ θείᾳ γραφῇ, καὶ δέχεται ἀναβάσεως ἐκεῖθεν νοημάτων ἐν τῇ καρδίᾳ αὐτοῦ θεοπρεπῶν ἐννοιῶν· ὑφ᾿ ὧν ἁρπαζομένη νοερῶς ἡ ψυχή, εἰς ἀέρα φωτὸς ἐλλάμπεται τρανῶς, καὶ πλέον καθαίρεται· καὶ πρὸς οὐρανοὺς ὅλη μετάρσιος γίνεται· καὶ τῶν ἀποκειμένων τοῖς ἁγίοις ἀγαθῶν κατοπτεύει τὰ κάλλη, ὧν τῇ ἐπιθυμίᾳ ἐκκαιομένη, τὸν καρπὸν εὐθὺς τῆς εὐχῆς ἐκπέμπει ἀπὸ τῶν ὀφθαλμῶν, καὶ τὸ νᾶμα τῶν δακρύων πηγάζει ἐκ φωτοποιοῦ ἐνεργείας τοῦ Πνεύματος.



«Σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός»· τοῦ θείου λόγου τοῦτο φωνή· καὶ πρακτικῶς τοῖς βουλομένοις ἐπιγινώσκεται· συμφέρον οὖν ἐστὶ τῷ ἅπαξ ἀποταξαμένῳ, τῇ πολυταράχῳ τοῦ βίου καὶ δεινῇ ματαιότητι διὰ προσοχῆς πολλῆς ἑαυτὸν καὶ ἡσυχίας τῶν ἔξω πραγμάτων ἐπιμελῶς ἐπισκέπτεσθαι· καὶ τὸν Θεὸν ἑαυτῷ ζητῶν ἐπιγνῶναι, ἐντὸς ἡμῶν οὔσης τῆς βασιλείας αὐτοῦ· μόλις ἂν οὕτω ποιοῦντες διὰ πολλῶν περιόδων τοῦ χρόνου, τοὺς τύπους τῆς κακίας ἀποξέσαι τῆς ψυχῆς δυνηθείη, καὶ τὸ ἀρχαῖον κάλλος τῷ ὄντι καθαρῶς ἀνασώσασθαι.

### Κατὰ τῶν ἐπισφαλῶς ἰδιαζόντων

Ἡ ἐπὶ τὸ αὐτὸ ἐν συνεδίαις τῆς ἐπὶ τὸ αὐτὸ κατοικίας, μάρτυς ὁ ἱερὸς λόγος τοῦ Ἰησοῦ καὶ Θεοῦ· οὗ γάρ, φησί, εἰσὶ δύο ἢ τρεῖς. Περὶ δὲ τοῦ ἐπισφαλοῦς τῆς μονώσεως, ὁ Σολομὼν διετράνωσε λέγων, οὐαὶ τῷ ἑνὶ «ὅτι ὅταν πέσῃ... Καὶ γὰρ τοῖς ἐν ἀγάπῃ καὶ ὁμονοίᾳ ὑμνοῦντας τὸν Θεόν, καὶ Δαβὶδ μακαρίζει· «μακάριος, βοῶν, ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.» Καὶ τὴν ἐπὶ τὸ αὐτὸ κατοικίαν αὐτῶν ἐπαινεῖ λέγων· «ἰδοὺ δὴ τὶ καλὸν ἢ τὶ τερπνόν...» Καὶ ἐπὶ τῶν μαθητῶν τοῦ Κυρίου μία ἦν ἐν αὐτοῖς ἡ ψυχὴ καὶ ἡ καρδία· ἀλλὰ καὶ ἡ πρὸς ἡμᾶς τοῦ Θεοῦ κάθοδος, οὐκ ἐν ἐρημίᾳ γέγονεν, ἀλλ᾿ ἐν οἰκουμέναις, καὶ ἐν μέσῳ ἀνθρώπων ἁμαρτωλῶν. Ἀναγκαῖον οὖν ἡ ὁμόνοια τῆς ἐπὶ τὸ αὐτὸ ζωῆς· σφαλερὰ δὲ ἡ μόνωσις καὶ ἐπικίνδυνος.

Συναλλοιοῦσθαι πέφυκεν ἡ ἔξωθεν τοῦ προσώπου κατάστασις τῇ ἐντὸς τῆς ψυχῆς καταστάσει· οἵαν γὰρ ἡ νοερὰ κίνησις αὐτῆς τὴν ἐργασίαν ἔχει, τοιαύτην καὶ ἡ ὄψις τοῦ προσώπου τοῖς ὁρῶσιν ἐμφαίνει τὴν ἰδίαν διάθεσιν.

Ἠνέχθη εἰς τοὺς ἀσκητὰς ἐμφορεὺς οἴνου· ἵνα δοθῇ τοῖς ἀδελφοῖς πρὸς ἓν ποτήριον· καὶ ἐμβάντος τινὸς τῶν ἀδελφῶν ἐπὶ τὸν θόλον φυγεῖν, ἔπεσεν ὁ θόλος, καὶ ἀπελθόντες διὰ τὸν ψόφον (οἱ πατέρες) εὗρον αὐτὸν ἐρριμένον καὶ ἤρξαντο αὐτὸν ἀτιμάζοντες λέγοντες· κενόδοξε, καλῶς σοι ἐγένετο, καὶ προσελάβετο αὐτὸν ὁ Ἀββᾶς (Δανιὴλ) λέγων· ἄφετε τὸν υἱόν μου, καλὸν ἔργον ἐποίησε· καὶ ζῇ Κύριος οὐ μὴ οἰκοδομηθῇ ὁ θόλος ἐν τοῖς χρόνοις μου· ἵνα μάθῃ ἡ οἰκουμένη ὅτι διὰ ποτήριον οἴνου ἔπεσεν ὁ θόλος εἰς τὴν Σκήτην.

Εἶπε γέρων· ὅτι μοναχὸς πίνων οἶνον ἐπάνω τριῶν ποτηρίων, μὴ εὔξηται ὑπὲρ ἐμοῦ.

Ὁ φιλοξενήσας ἡμᾶς παρ᾿ ἡμῶν ἐρωτήθη· τίνος ἕνεκεν τῆς ὑπο-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

δοχῆς τῶν ξένων ἀδελφῶν τὸν κανόνα τῆς νηστείας ὑμῶν οὐ φυλάττετε; καὶ ὅς εἶπεν· ἡ νηστεία πάντοτε μετ᾽ ἐμοῦ ἐστίν, ὑμᾶς δὲ κατέχειν μεθ᾽ ἑαυτοῦ οὐ δύναμαι πάντοτε. Καὶ αὖθις· ἡ νηστεία, εἰ χρήσιμόν τι ἐστὶ πρᾶγμα καὶ ἀναγκαῖον, τῆς ἡμετέρας ἐστὶ προαιρέσεως· τὴν δὲ τῆς ἀγάπης ἐκπλήρωσιν ἐξ ἀνάγκης ἀπαιτεῖ ὁ τοῦ Θεοῦ νόμος. Ἐν ὑμῖν οὖν δεχόμενος τὸν Χριστόν, χρεωστῶ μετὰ πάσης θεραπεῦσαι σπουδῆς· ἐπ᾽ ἂν δὲ ὑμᾶς προπέμψω τὸν κανόνα δύναμαι ἀνακτήσασθαι. Οὐ δύνανται γὰρ οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ᾽ ὅσον χρόνον μετ᾽ αὐτῶν ὁ νυμφίος ἐστίν· ὅταν δὲ ἀπαρθῇ ἀπ᾽ αὐτῶν μετὰ ἐξουσίας νηστεύουσιν.

## Ὁρισμὸς τῶν πέντε αἰσθήσεων τῆς ψυχῆς ἢ δυνάμεως.

Καὶ νοῦς μὲν ἐστὶν ὁ θεόθεν κατὰ φύσιν κινούμενος, καὶ πηγάζων τὰ νοήματα· ὅστις καὶ τεχνίτου λόγον ἐπέχει, εἴγε ὡς προσῆγε προσάγεται.

Διάνοια δὲ αὐτὴ ἡ τοῦ νοὸς ἐνέργεια, δι᾽ ἧς νοοῦνται τὰ νοούμενα· ὡς ἂν εἴποι τις τέχνη οὖσα τοῦ τεχνίτου. Δόξα ἡ τῶν ἀθρόως νοηθέντων τοιῶσδε ἢ τοιῶσδε ἔχουσα ὑπόληψις καλῶς μὲν εἰ καλῶς νοοῦνται· κακῶς δὲ εἰ τοὔμπαλιν. Φαντασία δέ, ἡ τοῦ φανέντος νοήματος ἔνδειξις· οὐ πάντες δὲ τὸ φαινόμενον καὶ ἀληθές· ἀκρίτως γάρ ἐστιν ὅτι παραπέμπεται τῇ διανοίᾳ τὸ ἀληθές· καὶ τὸ ψευδές, ὡς ἀληθὲς δεχομένη δι᾽ ἔλλειψιν διακρίσεως. Αἴσθησις δὲ ἡ μετὰ τὴν κρίσιν τῶν νοηθέντων ἀκριβῶς διάγνωσις, ὡσὰν τύχῃ ὄντα τὰ νοήματα εἴτε καλὰ εἴτε ἄλλως ἔχοντα. Αὗται δὲ αἱ διαιρέσεις, δυνάμεις εἰσὶ τοῦ νοός· ἃς κατὰ τὸ αὐτοῦ μέτρον προβάλλεται.

Ὅτι ἐκ τῶν ἐπιχειρημάτων, ἀλλ᾽ οὐκ ἐκ τῶν ἀποτελεσμάτων ὡς τὰ πολλὰ τὰ πράγματα κρίνεται. Ὁ ἕξιν ἔχων ἁμαρτητικὴν καὶ συγκαταθέμενος, ἐν διανοίᾳ τοῦ μελετῆσαι, ἀπὸ τότε ἄρχεται τοῦ ἁμαρτάνειν· ἀφ᾽ οὗ συγκατέθετο κἂν μετὰ πολὺ τὴν πρᾶξιν ἐργάσηται, ἢ καὶ μὴ δὲ ὅλως ἐργάσηται κωλυθείς, καὶ εἰ κατὰ προαίρεσιν οὐ πεποίηκεν ἀλλὰ κατὰ περίστασιν· ἀπὸ γὰρ τῶν ἐπιχειρημάτων, οὐκ ἐκ τῶν ἀποτελεσμάτων τὰ πράγματα κρίνεται· ἀπὸ τῆς γνώμης οὐκ ἀπὸ τοῦ τέλους οἱ στέφανοι πλέκονται· ἀπὸ γὰρ τῆς προαιρέσεως οὐκ ἀπὸ τῆς ἐκ βάσεως τὰ πράγματα κρίνεται· τοῦτο καὶ ἐπὶ τῶν ἀρετῶν καὶ κακιῶν ἐκληπτέον.

## Ὅτι πάντες ἐσμὲν σοφοὶ ἐὰν θέλωμεν.

Εἰ ὁ Χριστὸς ἐν ταῖς καρδίαις ἡμῶν κατοικεῖ διὰ τῆς πίστεως



καὶ τῶν ταύτης ταύτην θρεπτικῶν ἀγαθῶν ἔργων. Πάντες δὲ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως κατὰ τὸν ἀπόστολον, ἐν αὐτῷ εἰσὶν ἀπόκρυφοι, πάντες ἄρα οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἐν ταῖς καρδίαις ἡμῶν εἰσὶν ἀπόκρυφοι· φανεροῦνται δὲ τῇ καρδίᾳ κατὰ τὴν ἀναλογίαν τῆς ἑκάστου διὰ τῶν ἐντολῶν καθάρσεως· οὗτος ἐστὶν ὁ θησαυρὸς ὁ ἐν τῷ ἀγρῷ κεκρυμμένος τῆς καρδίας σου, ὃν οὔπω εὗρες διὰ τὴν ἀργίαν σου· εἰ γὰρ εὗρες, πέπρακας ἂν πάντα καὶ ἐκτήσω τοῦτον νῦν δὲ τὸν ἀγρὸν ἀφείς, τὰ περὶ τὸν ἀγρὸν περιέπεις ἤτοι τὰ περὶ τὸ σῶμα· ἐν οἷς ἄλλο οὐδὲν εὑρίσκεται, πλὴν ἀκανθῶν καὶ τριβόλων. (Σχόλιον· ἄκανθαι καὶ τρίβολοι τὰ πάθη ἐστί). Πόθεν ἐπιγινώσκει ὁ ἄνθρωπος ὅτι συνεχώρησεν αὐτῷ ὁ Θεὸς τὰς ἁμαρτίας αὐτοῦ; Ἐν τῇ προσευχῇ ἡμῶν, ἡνίκα κατὰ μόνας μηδενὸς ὁρῶντος ἢ ἀκούοντος, παριστάμεθα τῷ Θεῷ, τότε γινώσκει ἡ ψυχὴ πῶς διάκειται πρὸς αὐτὴν ὁ Θεός, καὶ αὐτὴ πρὸς τὸν Θεόν.

## Πρὸς τὸν φιλόϋλον καὶ φιλόκοσμον, φιλόδοξον καὶ φιλόπλουτον.

Οὐγκροβλαχίας αὐθέντην Νικόλαον, αἰτήσαντα παρ᾽ ἡμῶν λόγον ὠφελείας· εἰσῆλθέ μοι τὸ μέγα σου ἀξίωμα ἐνώπιόν μου, καὶ καταδυσωπῆσάν με εἰπεῖν, ἅπερ ἔξεστιν ἠθέλησα καὶ θέλω διακονῆσαί σοι τῷ τιμήσαντι Θεῷ τῷ δοῦναί μοι ἐλπίζων ῥῆμα δυνάμει πολλῇ· ἀλλὰ τόπον οὐκ ἔχεις ἐν καρδίᾳ ἵνα χωρήσῃς τὴν δωρεὰν τοῦ Κυρίου· πεπληρώκασι γάρ σου τὴν ψυχὴν ἐπιθυμιῶν ἔφοδοι· ἐπιθυμεῖς γὰρ λαὸν πολὺν κατακυριεῦσαι, καὶ τὴν τυχοῦσαν οὐκ ἔσχηκας ἀθυμίαν, ὅταν οὐκ ἔχεις τίνα μὴ βλάψῃς καὶ θλίψῃς καὶ ζημιώσῃς τὰ ἔσχατα. Πῶς οὖν δυνήσομαι πληρῶσαί σου τὴν ἐπιθυμίαν καὶ αἴτησιν, ἣν οὐδὲ δύο ἡγεμονίας δύνανται βαστάζειν; Οὐκ ἔστιν ἀνδρεία τὸ φονεύειν· ἀνδρὸς λῃστοῦ ἔργον ἐστίν· ἀνδρεία δέ ἐστι πρὸς τροπὰς ἀέρων μάχεσθαι γυμνῷ τῷ σώματι καὶ γαστρὸς ἐπιθυμίας κρατεῖν καὶ τοῖς ἔνδον πολέμοις νικῆσαι· τούτους νίκησον πρῶτον, καὶ ἀπόκτεινον καὶ βλάψον καὶ ζημίωσον, καὶ οὐχὶ χρεία μάχεσθαι πρὸς τοὺς ἔξω· τοῖς γὰρ ἔξω μάχῃ καὶ πολεμεῖς, ἵνα φόρους ἐπενέγκῃς τοῖς ἔνδον· καὶ τοὺς μὲν ἔξω νικᾷς, ὑπὸ δὲ τῶν ἔσω νενίκησαι· πόσοι βασιλεῖς καὶ τύραννοι καὶ τοπάρχαι ὡς οὐ δουλεύουσι τυραννούμενοι ποικίλαις ἐπιθυμίαις; καὶ πᾶσα βροτεία φύσις διὰ ταῦτα φονεύουσί τε καὶ φονεύονται; οἱ μοναχοί, εἰ καὶ οὐ πάντες, στέγη τούτων μικρά, γῆ δὲ τούτοις στρῶμα, ὕδωρ καὶ πηγαὶ διάκονοι· ὗλαι τράπεζα· οὐκ ἐσθίουσι σάρκας ὡς λέ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

οντες· οὐ γίνονται τάφος νεκρῶν ζῶσιν ὡς ἐτέχθησαν· τοῦτο δέ, μάθε παρ' ἐμοῦ σοφόν· μηδενὸς θέλε τὰ πάντα ἔστε σὰ καὶ οὐδενὸς δεήσει· ἐπιθυμία γὰρ μήτηρ ἐστὶ πενίας, κακῷ θεραπευομένη φαρμάκῳ καὶ λυπεῖται μηδέποτε ὅσα ζητεῖ μὴ εὑρίσκουσα· μηδὲ ἀναπαυομένη ἐφ' οἷς ἔχει· ἀλλ' ἐφ' οἷς οὐ κέκτηται βασανιζομένη.

Ὅστις ἐν πείρᾳ μανθάνει τὴν γλυκύτητα τῆς ἡσυχίας ἐν τῷ κελλίῳ αὐτοῦ· οὐχ ὡς καταφρονῶν τοῦ πλησίον φεύγει αὐτοῦ τὴν ἀπάντησιν, ἀλλὰ διὰ τὸν καρπόν, ὃν τρυγᾷ ἐκ τῆς ἡσυχίας, ὡς καὶ οἱ ἅγιοι ἔφευγον Ἀρσένιοι, Θηβαῖοι καὶ ἄλλοι.

Εὐχή. Δέσποτα Κύριε ἐλέησόν με διὰ τὴν ἀγαθότητά Σου, καὶ μὴ συγχωρήσῃς με πλανηθῆναι τοῦ θελήματός Σου· μηδὲ παραδῷς με τῷ προκειμένῳ πειρασμῷ εἰς ἀπώλειαν.

## Λέοντος τοῦ σοφωτάτου βασιλέως πρὸς γεωργίαν τῶν ἀρετῶν. Οἰακιστικὴ ψυχῶν ὑποτύπωσις.

Α'.) Εὔτμητος ἡμῶν ἡ ζωή· ἐντεταμένη τῶν ἀρετῶν ἡ ἀκρώρεια· εὐόλισθος ἡ φύσις· καὶ ἡ ἐπίκρισις δυσδιάγνωστος.

### Ἑρμηνεία

Ἡ ζωὴ τέμνεται ταχέως· τὸ τῆς ἀρετῆς ὕψος δυσχερὲς καὶ σύντονον· ἡ φύσις εὔκολος εἰς πτῶσιν· διὰ ταῦτα οὖν ἡ τῆς ἀρετῆς καὶ κακίας κρίσις δυσκατανόητος. Εὔτμητον εἶτε τὴν ζωὴν διὰ τὸ ταύτης ὀλιγοχρόνιον, καὶ παρόμοιον τῷ μαρασμῷ τῶν ἀνθέων· τὸ δὲ τῆς ἀρετῆς ὕψος πολὺ καὶ σύντονον· ἡ φύσις πρὸς κατάπτωσιν εὔκολος. Διὰ ταῦτα οὖν δύσκολος πάνυ ἡ τῆς ἀρετῆς καὶ κακίας διάγνωσις.

Β'. Δέον μὴ μόνον τὸν καθηγεμόνα προσφέρειν τῷ ὑποκειμένῳ τὸ χρήσιμον, ἀλλὰ καὶ αὐτὸν συνεισφέρειν τὸ πρόθυμον· καὶ τὸ συνόμιλον, τούτῳ εὔελπι καθιστᾶν, ἀλλὰ μὴ ἐπιτιμᾶν πρὸς ἀπόγνωσιν.

### Ἑρμηνεία.

Ὅτι δεῖ τὸν ὁδηγὸν τῆς σωτηρίας, τουτέστι τὸν καθηγούμενον, μὴ μόνον αὐτὸν εἶτι χρήσιμον καὶ πρὸς ὠφέλειαν συντεῖνον ὑποτίθεσθαι τῷ ὁδηγουμένῳ, ἀλλὰ καὶ αὐτὸν τὸν ὁδηγούμενον πρόθυμον εἶνε πρὸς τὸ πείθεσθαι τοῖς τοῦ ὁδηγοῦντος παραγγέλμασιν· ἔτι δέ, καὶ τοὺς συνασκητὰς διεγείρειν αὐτὸν διὰ τῶν οἰκείων λόγων καὶ χρηστὰς ἐλπίδας ὑποτιθέναι· ἀλλ' οὐχὶ ἐπιτιμῶν καὶ ἐξονειδίζειν ἕνεκα τῶν ἡμαρτημένων καὶ διὰ τῆς ἐπιτιμήσεως συνωθεῖν αὐτὸν πρὸς ἀπόγνωσιν.



Γ'.) Καὶ τοῦτο ἄξιον ἐπισκοπῆς, τὸ μὴ παραυτίκα τὴν ἕξιν ἐναλλάσσειν ἀλλὰ σταθμεῖσθαι, τό τε εὔδαιμον καὶ τὴν ἄλλην λαμπρότητα, καὶ οὕτω στῆναι πρὸς ὃ ἔξεστιν.

### Ἑρμηνεία.

Καὶ τοῦτο δὲ παρατηρεῖν δεήσει, τὸν τὴν ψυχικὴν ἐπαγγελλόμενον θεραπείαν, τὸ μὴ εὐθέως παντελῶς τῆς συνήθους διαγωγῆς τε καὶ διαίτης πειρᾶσθαι μετάγειν τὸν ἄνθρωπον, ἀλλὰ συγκρίνειν τὴν τοῦ προλαβόντος βίου τάξιν· φημὶ δή· ἄν τε μετ' εὐπορίας καὶ πλούτου ἦν ὁ βίος αὐτῷ καὶ ἁπαλωτέρας τῆς καταστάσεως· ἄν τε μετ' ἐνδείας καὶ πόνων· καὶ οὕτω πρὸς ἐκείνην καταστῆσαι τὴν δίαιταν, ἥτις οἰκεία πρὸς τὸ ὑπ' αὐτὴν μεῖναι τοὺς πρὸς τοὺς ἀγῶνας ἐμβαίνοντας.

## Ὅτι δύσφευκτον ἡ κενοδοξία.

Συμπλέκεται γὰρ τῇ ἀνδρείᾳ καὶ πάσῃ ἐπιστήμῃ ἡ τύφωσις, λέγει ὁ τῆς ἱερᾶς Κλίμακος· ὥσπερ ὁ λεγόμενος σμίλαξ τῇ κυπαρίσσῳ, ὅστις γὰρ ὅταν φθάσῃ ἄνω ξηραίνει τὴν ῥίζαν· ἡ κενοδοξία ταῖς ἀρεταῖς παραφύεται καὶ οὐκ ἀφίσταται ἕως ἂν ἐκκόψῃ τὴν δύναμιν· βότρυς ἐπισυρόμενος τῇ γῇ σήπεται ταχέως· καὶ ἀρετὴ ἀπόλλυται κενοδοξίᾳ ἐπερειδομένη. Μοναχὸς κενόδοξος ἐργάτης ἄμισθος· τὸν μὲν πόνον ὑπέστη, τὸν δὲ μισθὸν οὐκ ἔλαβε· Βαλάντιον τετριμμένον οὐ φυλάσσει τὸ βληθέν· καὶ κενοδοξία ἀπόλλυσι μισθοὺς ἀρετῶν· κενοδόξου ἐγκράτεια καπνὸς καμίνου· καὶ εἰς ἀέρα διαλυθήσονται ἀμφότεροι· ἄνεμος ἀφανίζει ἴχνη ἀνδρός, καὶ ἐλεημοσύνην κενοδοξία· λίθου βολὴ οὐ φθάνει οὐρανὸν καὶ προσευχὴ ἀνθρωπαρέσκου οὐκ ἀναβήσεται πρὸς Θεόν.

## Πῶς δεῖ ἄρχειν.

Ἡ κρατιότης τῶν ἀρχῶν φιλία ἐστὶ Θεοῦ· ὁ τοίνυν ἄρχων κραταιῶς φίλος ἐστὶ Θεοῦ· ἐμοὶ γὰρ φησὶν ἐτιμήθησαν οἱ φίλοι καὶ ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν· εἰ οὖν φίλος εἶναι βούλει Θεοῦ, ἄρχε κραταιῶς· οὔτε δώροις οὔτε φιλίᾳ, ἀλλ' ἀξίᾳ Θεῷ ἀξίᾳ ὀρέγων τὸ δίκαιον.

## Πρὸς τὸν αἰτοῦντα λόγον διδασκαλίας.

Φοβεῖ με τὰ τῆς θείας Γραφῆς ὑποδείγματα, καὶ γράφειν ἃ χρεὼν ἀναγκάζομαι· εἴτε γὰρ πατὴρ ὡς ἔφης εἰ μὴ δέδεια τοῦ Ἠλεὶ τὴν κατάκρισιν, ὅτι τοὺς υἱοὺς οὐκ ἐσωφρόνησεν ἁμαρτάνοντας· εἴτε υἱός σου τυγχάνω, ὡς μᾶλλον ἐπίσταμαι, τὸν μέγαν ἐκεῖνον σχηματίζοντος

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Μάρκον, ἀγωνιῶ τοῦ Ἰωνάθαν τὸ ἐπιτίμιον· ὅτι τὸν πατέρα ζητήσαντα ἐγγαστρίμυθον οὐκ ἐκώλυσε· καὶ πρότερος τοῦ ἁμαρτήσαντος ὁ κωλύσαι δυνάμενος τέθνηκεν εἰς τὸν πόλεμον. Ἵνα τοίνυν κἀγὼ μὴ κατακριθῶ καὶ αὐτὸς παρὰ Θεοῦ μὴ κριθείς, παῦσον καὶ ἔκκλινον ἀπὸ τοῦ κακοῦ καὶ ποίησον ἀγαθόν.

## Κατὰ ἀναξίων διδασκάλων.

Ὄντος καθὼς γέγραπται πολλαὶ εἰς τὴν οἰκουμένην ἐπεφοίτησαν ταραχαί τε καὶ σκάνδαλα· ὅπου γὰρ τὸ τῆς εἰρήνης ὄνομα ἐκεῖσε τὰ τοῦ πολέμου ἔργα χορεύει· ταῦτα δὲ συμβαίνει ἐκ τοῦ πολλὰ καὶ παντοδαπὰ ἡμαρτῆσθαι· τοῖς τὸ διδασκαλικὸν ἀξίωμα ἐγκεχειρισμένοις, ὧν τὸ καθὲν ἐάσας ἓν εἰς ἃ πάντα βλέπει γράψω· πρᾶγμα ἔντιμον καὶ μέγα καὶ λαμπρὸν καὶ ὁ τοὺς ἀποστολικοὺς συλλόγους φωστῆρας πανταχοῦ τῆς οἰκουμένης εἶνε πεποίηκε, νῦν ῥαθυμηθὲν συγχήσεως πάσας τὰς ἐκκλησίας ἐνέπλησε· ὅτι τότε μέν, οἱ φιλάρετοι εἰς τὴν ἱερωσύνην προήγοντο, νῦν δέ...

## Ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς.

Δεῖ λέγειν ἡμᾶς, κατὰ τὴν ἁγίαν ἐκείνην ψυχήν, εἶπα, ἀναβήσομαι ἐπὶ τῷ φοίνικι, κρατήσω τῶν ὕψεων αὐτοῦ, τὴν ὀρθότητα ἀγαπῶσα, καὶ λευκὴν ἔχουσα τὴν καρδίαν, καὶ ἐπὶ τὰ οὐράνια ἀγαθὰ ἀνατρέχουσαν, καὶ μὴ περὶ τὰ γήϊνα περισπωμένην (ᾆσμα Ζ.΄ η).

## Ὅτι ἐπωφελεῖς τῶν σοφῶν οἱ ἐλεγμοί.

Λόγοι σοφῶν ὡς τὰ βούκεντρα καὶ ὡς ἧλοι πεπυρωμένοι· ἵνα οἱ ἐκ τούτων κεντούμενοι κατανύγονται τὴν καρδίαν καὶ πάσης ἁμαρτίας ἀπέχονται (Ἐκκλησ. ΙΒ.΄ ια).—Ἐρευνῶν δεῖ τὰς γραφάς, βλέψωμεν πῶς πρῶτον ῥάβδον καρυΐνην ὁρᾷ ὁ προφήτης, εἶτα ὑποκαιόμενον λέβητα· δεικνὺς ὅτι τὸν μὴ ἀνεχόμενον τῆς ῥάβδου τὸ παράδειγμα, τὸ πῦρ διαδέχεται. (Ἱερεμ. Α΄. ια).

Γινώμεθα οὖν ἕτοιμοι καὶ εὐσταλεῖς πρὸς τὸν ἐντεῦθεν ἀπόπλουν· φροντίσωμεν τῆς ὁδοῦ, καὶ τὰ ἐφόδια τῆς αἰωνίου ζωῆς ἑαυτοῖς ἐπιγάγωμεν. Καὶ εἰ οὐ δύνασαι τελείαν ἐνδείξασθαι τὴν μεταβολὴν εἰμὴ δύνασθαι γινέσθαι ἥλιος, γενοῦ κἂν σελήνη, κἂν ἀστήρ, μόνον, ἀνάβηθι ἀπὸ τῆς γῆς· ἄρξαι ἁμιλλᾶσθαι τοῖς φωτεινοῖς ἄστρασι· βέλτιόν σε ἔχειν κἂν ὀλίγα κατορθώματα, ἢ ὅλως μηδὲν μηδέν.



## Περὶ ἀγάπης.

Μεγάλη τῆς ἐν Χριστῷ ἀγάπης ἡ δύναμις ὅτι φιλίαν κατασκευάζει ἄδολον τὸ μέγιστον τῆς ἀρετῆς ἐγκώμιον· μεγάλη γὰρ κατεσχέθην, ὡς ὁ Ἀπόστολος, τυραννίδι ἀθυμίας καὶ λίαν συνέχεε τὴν ψυχὴν ἡ ἀπουσία σου καὶ ὁ χωρισμός. Εἰ μετ᾽ ἀκριβείας ἐφυλάττετο τό, ἀγαπήσης τὸν πλησίον σου ὡς ἑαυτόν, οὐ δοῦλος, οὐκ ἐλεύθερος ἦν, οὐκ ἄρχων, οὐκ ἀρχόμενος, οὐ πλούσιος, οὐ πένης· οὐ μικρός, οὐ μέγας· οὐ διάβολος· ἂν ἐγνώσθη ποτέ· μᾶλλον γὰρ χόρτος ἤνεγκε πυρὸς ἐπαγωγήν, ἢ φλόγα ἀγάπης διάβολος. Ἡδὺ τὸ ἐπιτάττειν ἀλλ᾽ ἡ ἀγάπη μετατίθησι τῶν πραγμάτων τὴν φύσιν, καὶ πάντα ἐν χερσὶν ἔχουσα παραγίνεται τὰ ἀγαθὰ πάσης μητρὸς ἠπιωτέρας πάσης βασιλίδος εὐπορωτέρα. Τὸ δαπανᾶν λυπηρὸν εἶναι δοκεῖ, καὶ ποιεῖ αὐτὸ ἡδύ· τὸ λαμβάνειν τὰ ἑτέρων ἡδύ· τὸ κακῶς λέγειν γλυκὺ πᾶσιν εἶναι δοκεῖ· τὸ καλῶς λέγειν ἡδύ, οὐδὲν γὰρ οὕτως ὡς τὸν φιλούμενον ἐγκωμιάζειν ἡμῖν ἡδύ· τῆς γὰρ ἀγάπης, καὶ τὰ δάκρυα καὶ ἡ λύπη χαρᾶς πάσης ἡδίῳ καὶ γέλωτος, οὐχ ἡ δημώδης καὶ ἀγοραῖα (ἀλλ᾽ ἡ κατὰ Θεόν).—Ἔργον τοῦ ἐχθροῦ, τὸ διασπᾶν ἡμᾶς ἀπ᾽ ἀλλήλων· καὶ ἀεὶ μὲν ἡ σπουδὴ αὐτοῦ ἀνελεῖν τὴν ἀγάπην, ἵνα τὴν ὁδὸν τῆς σωτηρίας ἡμῶν ἐκκόψῃ.

## Ὅτι ὀφειλεμένως δεῖ πάντα φέρειν ἡμᾶς τὰ λυπηρά.

Ὅρα καλῶς τῶν τῆς νέας χάριτος τὸ μέγεθος τῶν ἐπιταγμάτων, καὶ πῶς ὑψηλὸν τὸ πτερὸν κατασκευάζει ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν, ὅς καὶ τῆς ἀνθρωπίνης σχεδὸν ἐξοικίζων φύσεως ἡμᾶς πρὸς οὐρανὸν μεθορμίσθαι πάντας ἐκέλευσε· τοῦ γὰρ νόμου κελεύοντος ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, αὐτὸς φησίν, ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· οὐκ εἶπε φέρε γενναίως μόνον καὶ πρᾴως τὴν παροινίαν, ἀλλὰ καὶ πρόϊθι περαιτέρω τὴν φιλοσοφίαν καὶ μείζονα πάσχειν παρασκευάζον, ἢ ἐκεῖνος ποιῆσαι ἐπιθυμεῖ, τῇ δαψιλείᾳ τῆς φιλοσοφίας νίκησον τὴν μοχθηρίαν ἐκείνου.

## Ὅτι πολλῆς ἐν πᾶσι δεόμεθα διακρίσεως.

Καὶ τὸ τοῦ θείου Δαβὶδ κατὰ μόνας εἶναι ἡμᾶς δεῖ ἀσπάζεσθαι λίαν· καὶ τὸ φιλάνθρωπον, ἀντιφιλόνεικον περικόπτεσθαι βούλημα· τὴν καλὴν δὲ οἰκονομίαν ἀμφοτέροις κάλλιστα σπουδάσωμεν διατί-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

θεσθαι· εἰδότες ὅτι τὸ ἰδιάζονμε ἀσφαλέστερον μὲν εἶναι καὶ ἀτάραχον· τοῖς δὲ πολλοῖς οὐκ ἄτυφον νομιζόμενον· τὸ δὲ κοινωνικὸν ταραχῶδες μὲν καὶ σφαλερώτερον, οὐκ ἄμισθον δέ, οὐδὲ ἀκερδές. Σοῦ δὲ ἡ θεόληπτος ψυχὴ καὶ ἐπὶ πᾶσι τελειότης, πανσόφως ἄγαν ἀμφότερα κίρνησιν· ὅτε μὲν τοῖς πᾶσι συναναστρεφόμενος, ἧς ἵνα ὡς ὁ Παῦλος πάντας κερδίσῃ ἢ πλείονας· ὅτε ἰδιαζόντως τῷ γνόφῳ κρυπτόμενος, καὶ καθαρῶς τῷ καθαρῷ ὡς ἄλλος Μωσῆς συγγενόμενος, ὁ ψυχῶν καὶ νόων ὁρῶν τὸν Θεὸν νομοθέτης, ὁδηγὸς καὶ δημαγωγός.

## Ἔπαινος πρὸς ἄνθρωπον μέγαν.

Εὖγε ! ὅτι μεγαλοψυχίας ὑψηλότητι, καταλέλοιπας πάντα ταῦτα, ἤτοι τὰς ἐξουσίας, τοὺς θρόνους· τὰς δυναστείας, τὰς διοικήσεις ταύτας, ἅ; οἶδε πολλὰς καὶ τιμίας ἐμποιεῖν τοῖς ἀνθρώποις ἡ περὶ τὸν πολύμοχθον τοῦτον βίον πολυειδὴς περιπέτεια· οἶδας καὶ γὰρ τὴν τοῦ παρόντος βίου εὐημερείαν ὄνομα οὖσαν ψιλὸν μόνον, ἀληθείας καὶ πράγματος ἔρημον· τὰ δὲ ἐν ἐλπίσι ἡμῖν ἀποκείμενα, πεπνιγότα ἀκίνητα· μόνιμα· καὶ ἀθάνατα. Καὶ ταῦτα μὲν δὴ ταῦτα, εἰ καὶ τὸ μέτρον ἀμηγέπως τῆς ἐπιστολῆς ὑπερέβημεν· Οὐκ ἔσται γὰρ οἶμαι ἡμῖν μέμψις καὶ ὄνειδος τοῖς οὕτω σφόδρα διακειμένοις· οὐ γὰρ φησὶν ἐπιστολιμαίων γραμμάτων νόμῳ, ἀλλὰ φιλίας θεσμῷ κρίνοντες ἅπαντα· εὖ οἶδ' ὅτι καὶ βραχείαν ταύτην ἡγήσασθαι· ἔρρωσο·

Ἀλλ' εἴτις ἀνόητος εἴη, καὶ αὐτολίθινος τὴν ψυχήν, οὐκ οἴσεται οἷον εἶναί σε, ὅπου δὲ σύνεσις τοσαύτη, καὶ εὐλαβείας πλοῦτος, καὶ φιλοσοφίας ὕψος· καὶ ψυχὴ τῶν βιωτικῶν τὴν φαντασίαν καταπατήσασα, πλείων ἡ εὐκολία τῆς θεραπείας.

Ὥσπερ μνήμη οὐδὲν οὕτω ποιεῖ παρὰ Θεῷ, ὡς τὸ ἀγαθόν τι ποιεῖν, τὸ νήφειν, τὸ ἐγρηγορέναι, τὸ ἀρετῆς ἐπιμελεῖσθαι· οὕτω καὶ τῇ καθ' ἡμᾶς δεῖ ἡμᾶς, τὸ γράφειν, τὸ μνημονεύειν, τὸ ἐρωτᾶν, καὶ τὸ πάντα ποιῆσαι, καὶ πραγματεύεσθαι εἰς τὸ σώζεσθαι τὴν ἀγάπην, τῶν ἀρετῶν τὸ κεφάλαιον, καὶ ὥσπερ λήθη οὐδὲν ἕτερον, ὡς τὸ ἐν ἁμαρτίαις εἶναι καὶ πλεονεξίαις καὶ ἁρπαγαῖς.

Οὐδὲν ἀρετῆς ἴσον· οὐδὲν ἀρετῆς ἰσχυρότερον, κἂν βασιλείαν εἴπῃς, κἂν βασιλέα· τί γὰρ τὸ διάδημα τοῦτον ὀνήσεται ἢ ἡ πορφυρὶς ὑπὸ τῆς πονηρίας προδεδομένον; μὴ γὰρ ἀξιωμάτων τῶν ἔξωθεν οἶδε διαφορὰν ὁ Θεός; μὴ προσώπων ἐπισκοπεῖται περιφανείας ἐν ἐσθῆ



Θεῷ τὸ ζητούμενον· ἀπὸ τῆς ἐργασίας τῆς ἀρετῆς τὰς θύρας ἐστὶν εὑρεῖν ἠνεωγμένας τῆς πρὸς Θεὸν παρρησίας. Σοφός τις ἔλεγεν, ἀγαθὸς ὁ πλοῦτος, ᾧ μὴ ἐστὶν ἁμαρτία· ὡς ὁ Ἀβραάμ, Ἰώβ, οἱ πλούτῳ εὐδοκιμήσαντες.

(Ἡ συνέχεια εἰς τὸ προσεχὲς τεῦχος)

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# Βιβλία

Εὑρισκόμενα παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Σχοινᾷ ἐν Βόλῳ, Κοραῆ 47 καὶ ἀποστελλόμενα **ἐλεύθερα ταχυδρομικῶν τελῶν.**

**Θέατρον Πολιτικὸν** ὑπὸ Ν Μαυροκορδάτου, σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον Δραχ. 90.—
πανόδετον » 114.—
δερμάτινον » 140.—

(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

**Ἐγκόλπιον Χριστιανοῦ** ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα » 20.—

**Συμβουλευτικὸν ἐγχειρίδιον** ὑπὸ Νικοδήμου Ἁγιορείτου ἄδετον » 50.—
πανόδετον » 70.—

**Ἱστορία Βαρλαὰμ καὶ Ἰωάσαφ** ὑπὸ Ἰωάν. Δαμασκηνοῦ ἄδετον » 40.—
πανόδετον » 60.—

**Ἱστορία τῆς ἐν Πάρῳ Ι. Μονῆς Λογγοβάρδας** ὑπὸ Ἐμμ. Σαγκριώτου Γυμνασιάρχου » 35.—

**Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 20.—

**Χριστοήθεια** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 12.—

**Ἀκολουθία Ἁγίου Γερασίμου** τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου καταγομένου καὶ ἐν τῇ Ι. Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος » 10.—

**Ἱστορικὴ μελέτη τῆς Ι. Μονῆς Ἁγίου Παντελεήμονος** ὑπὸ Δανιὴλ μοναχοῦ » 15.—

**Ἀντιρρητικόν.** Βιβλίον ἀσχολούμενον μὲ τὰ ἡμερολογιακά, ὑπὸ Δωροθέου Καρακαλλινοῦ μοναχοῦ » 8.—

**Ἐκκλησιαστικοὶ Νόμοι.** Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ, χρησιμώτατον δι' ὅλους τοὺς Ἐκκλησ. ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια » 45.—

**Ἑρμηνεία.** τῶν 14 ἐπιστολῶν καὶ τῶν 7 Καθολικῶν τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον » 280.—
δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 530.—

Ἡ **Εὐτυχία ἐν τῇ ἀρετῇ.** ὑπὸ Στεφάνου Παπαδημητρίου » 25.—

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρησκευτικὰ βιβλία

Athos Library
Αγιορειτική Βιβλιοθήκη

"ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,,
ΕΤΟΣ Α.' ΑΡΙΘ. 6

# ΑΚΟΛΟΥΘΙΑ
## ΧΑΡΙΣΤΗΡΙΟΣ
# ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

Διὰ τὴν ἀπαλλαγὴν τῆς βαρβαρικῆς δεκαετοῦς τυραννίδος ὑπ' αὐτῶν τοῦ Ὄρους Ἄθῳ, ψαλλομένη τῇ Νέᾳ Κυριακῇ τοῦ Θωμᾶ.

**Εἰλημμένη ἐκ τοῦ ἐν τῷ τυπικαρίῳ τοῦ Ἱ. Καθολικοῦ Ναοῦ τῆς Ἱ. Μονῆς τοῦ ἁγίου Παύλου τοῦ Βασιλογόνου·**

**Ὡσαύτως Ἰωσὴφ πρώην Τυρνόβου, κανόνα εἰς τὰς αἱρέσεις καὶ περὶ τῶν ζ' διαφορῶν τοῦ σχίσματος τῶν Λατίνων, ἐν εἴδη κανόνος κ.λ.π.**

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται

ΥΠΟ

**ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ**

**ΦΕΒΡΟΥΑΡΙΟΣ 1937**

1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀπαγορεύεται αὐστηρῶς ἡ ἀνατύπωσις κατὰ τὸν νόμον.

## ΤΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΘΩΜΑ (1)

Ἀκολουθία χαριστήριος τῆς Ὑπεραγίας Θεοτόκου διὰ τὴν ἀπαλλαγὴν τῆς βαρβαρικῆς δεκαετοῦς τυραννίδος ὑπ᾽ αὐτῶν τοῦ ὄρους Ἄθω, ψαλλομένη τῇ Νέᾳ Κυριακῇ τοῦ Θωμᾶ. Εἰλημμένη ἐκ τοῦ ἐν τῷ Τυπικαρίῳ τοῦ Ἱ. Καθολικοῦ Ναοῦ τῆς Ἱ. Μονῆς τοῦ ἁγίου Παύλου τοῦ Βασιλογόνου.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ
### ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

**Ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν στιχηρὰ Προσόμια τοῦ Θωμᾶ γ´. καὶ γ´. τῆς Θεοτόκου.**

Τοῦ Θωμᾶ. **Ἦχος α´. τῶν οὐρανίων ταγμάτων.**

Φέρει Χριστὸς φιλανθρώπως, καὶ τὴν ψηλάφησιν, ὡς καὶ σταυρὸν πρὸ ταύτης, καὶ τὸν ἄδικον φόνον, τάφου τριημέρως ἐξαναστάς, ἐσφραγισμένου τοῦ μνήματος· καὶ τῶν θυρῶν κεκλεισμένων τοῖς Μαθηταῖς, ἐπιστὰς ὡς παντοδύναμος.

Ἡ τοῦ Θωμᾶ ἀπιστία, τὴν κοσμοσώτειραν, τοῦ Θεανθρώπου Λόγου, τὴν ἐξ Ἅδου κευθμώνων, Ἔγερσιν πιστοῦται, τρῆσιν χειρῶν, καὶ ποδῶν τολμηρότερον, ἐκψηλαφοῦσα πρὸς πίστωσιν κοσμικήν, δεξιᾷ τῇ φιλοπράγμονι.

Συνηθροισμένων τῷ φόβῳ, τῷ ἐκ τοῦ πάθους σου, τῶν Ἀποστόλων Λόγε, καὶ θυρῶν κεκλεισμένων, ἄφνω συνεισῆλθες, μέσον αὐτῶν, τὴν εἰρήνην δωρούμενος, καὶ τῷ Θωμᾷ προτεινόμενος ψηλαφᾶν, τοὺς σεπτοὺς πλευρᾶς σου μώλωπας.

Τῆς Θεοτόκου. **ὅμοια.**

Τῶν μοναζόντων τὰ στίφη τῶν ἐν τῷ Ἄθωνι, δεῦτε συμφώνως πάντες, ἀνυμνήσωμεν πόθῳ, τὴν μόνην ἀσυγκρίτως τῶν Χερουβὶμ, καὶ Σεραφεὶμ ὑπερφέρουσαν, τὴν Παναμώμητον Δέσποιναν τὴν ἡμᾶς, ἐκ κινδύνων ἀπαλλάττουσαν.

---

**(1) Πρὸς εὐκολίαν τῶν ψαλλόντων, ἐθέσαμεν καὶ ἐκ τῆς Ἀκολουθίας τοῦ Θωμᾶ τὰ διατεταγμένα τροπάρια διὰ νὰ μὴ καταφεύγουσιν οὗτοι εἰς τὸ Πεντηκοστάριον.**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Πειρατηρείων καὶ θλίψεων καὶ κακώσεων, πολυειδῶν ἐρρύσω, σοῦ τὸ Ὄρος Παρθένε, σκηνώματα τὰ ὄντως ἀγαπητά, καὶ ναοὺς σῷ ὀνόματι, σεμνυνομένους διέσωσας παντελοῦς, ἀπειλουμένης ἐρημώσεως.

Πόθῳ τιμῶμεν τὴν χάριν σου Μητροπάρθενε, ὅτι πολλῶν κινδύνων, ἐλυτρώσω τὸ Ὄρος, τὸ ἅγιόν σου τοῦτο ἐκ ληστρικῆς, βαρβαρικῆς τε ὠμότητος, καταδρομῆς χαλεπῆς τε· διὸ τὴν σὴν προστασίαν νῦν γεραίρομεν.

Δόξα τοῦ Θωμᾶ. Ἦχος β΄.

Μετὰ τὴν Ἔγερσίν σου Κύριε, συνηγμένων τῶν Μαθητῶν σου, καὶ τῶν θυρῶν κεκλεισμένων, ἐν μέσῳ ἔστης, εἰρήνην παρέχων αὐτοῖς. Πεισθεὶς δὲ καὶ ὁ Θωμᾶς, τῇ ὁράσει τῶν χειρῶν καὶ τῆς πλευρᾶς σου, Κύριον καὶ Θεόν σε ὡμολόγησε, σῴζοντα τοὺς ἐλπίζοντας εἰς σέ, φιλάνθρωπε.

Καὶ νῦν τῆς Θεοτόκου. Ἦχος α΄.

Εὐφράνθητε σήμερον, πληθὺς, τοῦ Ὄρους Ἄθω μονασταὶ καὶ μιγάδες, καὶ σκιρτήσατε ἀγαλλόμενοι, ἐπὶ τῇ προστασίᾳ καὶ ἀρωγῇ, τῆς ἐφόρου Δεσποίνης ἡμῶν Θεοτόκου. Ἰδοὺ γὰρ ἔκφυλον στρατὸν παραδόξως ἀπήλασε τῇ ἀντιλήψει αὐτῆς διὸ πανηγυρίζοντες χρεωστικῶς αὐτὴν μεγαλύνομεν, δυσωποῦντες τοῦ λοιποῦ, φυλλάττειν καὶ περιέπειν ἡμᾶς, ἐκ παντοίων δεινῶν, κινδύνων καὶ περιστάσεων.

**Εἰς τὸν στίχον.** Προσόμοια τῆς Θεοτόκου

Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Ἐλπὶς χριστιανῶν, Θεόνυμφε Μαρία, φύλαττε τὴν σὴν ποίμνην ἀπὸ παντοίας βλάβης, ἐχθρῶν τε ἐπιθέσεως.

**Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου.**

Χάριτι τῆς σεπτῆς, εἰκόνος σου τὸ ᾄδειν, Παρθένε Θεοτόκε, καὶ τῆς Πορταϊτίσσης, σκέπε φρούρει τὸ Ὄρος σου.

**Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.**

Λύσιν τῶν δυσχερῶν, καὶ κτῆσιν τῶν ἀρίστων, Παντάνασσα Μαρία, βράβευσον σοῖς οἰκέταις, καὶ ἐκ κινδύνων λύτρωσαι.

Δόξα καὶ νῦν. Ἦχος β΄.

Δεῦτε πιστοί, ἐν κιθάρα ψαλμοῦ, καὶ καθαρᾷ καρδίᾳ τὸν ὕμνον τῇ Παρθένῳ προσοίσωμεν λέγοντες, διάσῳζε τὴν ποίμνην σου Δέσποινα, ἐξ ἀοράτων καὶ ὁρατῶν δυσμενῶν, ἐπιδρομῆς βαρβάρων καὶ πάσης περιστάσεως, ὡς πάντα ἰσχύουσα· σὲ γὰρ προστάτιν κεκτήμεθα, καὶ διὰ σοῦ σωτηρίας τυχεῖν ἐλπίζομεν.



Ἀπολυτίκιον (ὅρα ἔμπροσθεν)

---

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Ἐν τῇ ἀγρυπνίᾳ, τῇ Κυριακῇ τοῦ Θωμᾶ.

Τὸ πρῶτον κάθισμα ὅλον. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ Θωμᾶ ϛ΄ καὶ τῆς Θεοτόκου δ΄.

τοῦ Θωμᾶ. Ἰδιόμελα. Ἦχος α΄.

Τῶν θυρῶν κεκλεισμένων, τῶν Μαθητῶν συνηθροισμένων, εἰσῆλθες ἄφνω παντοδύναμε, Ἰησοῦ, ὁ Θεὸς ἡμῶν· καὶ στὰς ἐν μέσῳ αὐτῶν, εἰρήνην δοὺς ἐπλήρωσας ἁγίου Πνεύματος, προσμένειν τε προσέταξας, καὶ μηδαμοῦ χωρίζεσθαι ἀπὸ Ἱερουσαλήμ, ἕως οὗ ἐνδύσωνται τὴν ἐξ ὕψους δύναμιν· διὸ βοῶμέν σοι· Ὁ φωτισμὸς καὶ ἡ ἀνάστασις, καὶ ἡ εἰρήνη ἡμῶν δόξα σοι.

Μεθ᾿ ἡμέρας ὀκτὼ, τῆς Ἐγέρσεώς σου Κύριε, ὤφθης τοῖς Μαθηταῖς σου, ἐν τόπῳ, οὗ ἦσαν συνηγμένοι· καὶ φωνήσας αὐτοῖς· Εἰρήνη ὑμῖν· τῷ ἀπιστοῦντι Μαθητῇ τὰς χεῖρας ὑπέδειξας, καὶ τὴν ἄχραντον πλευράν· ὁ δὲ πισθεὶς ἐβόα σοι· Ὁ Κύριός μου καὶ ὁ Θεός μου, δόξα σοι.

Θωμᾶς, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ᾿ αὐτῶν, ὅτε εἰσῆλθες Χριστέ, κεκλεισμένων τῶν θυρῶν· ὅθεν καὶ ἠπίστει τοῖς ῥηθεῖσιν αὐτῷ, ἐξ ἀπιστίας εἰς πίστιν βεβαιῶν. Οὐκ ἀπηξίωσας δὲ Ἀγαθέ, ὑποδεῖξαι αὐτῷ τὴν ἄχραντον πλευράν σου, καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν τοὺς μώλωπας. Ὁ δὲ ψηλαφήσας καὶ ἰδών, ὡμολόγησέ σε εἶναι Θεὸν οὐ γυμνόν, καὶ ἄνθρωπον οὐ ψιλόν· καὶ ἐβόα· Ὁ Κύριός μου καὶ ὁ Θεός μου, δόξα σοι.

Τῶν μαθητῶν διστάζόντων, τῇ ὀγδόῃ ἡμέρᾳ, ἐπέστη ὁ Σωτήρ, οὗ ἦσαν συνηγμένοι· καὶ τὴν εἰρήνην δούς, τῷ Θωμᾷ ἐβόησε· Δεῦρο Ἀπόστολε, ψηλάφησον παλάμας, αἷς τοὺς ἥλους ἔπηξαν. Ὢ καλὴ ἀπιστία τοῦ Θωμᾶ! τῶν πιστῶν τὰς καρδίας

Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἰς ἐπίγνωσιν ἧξε, καὶ μετὰ φόβου ἐβόησεν· Ὁ Κύριός μου καὶ ὁ Θεός μου, δόξα σοι.

**Ἦχος β΄.**

**Μ**ετὰ τὴν Ἔγερσίν σου Κύριε, συνηγμένων τῶν Μαθητῶν σου, καὶ τῶν θυρῶν κεκλεισμένων, ἐν μέσῳ ἔστης, εἰρήνην παρέχων αὐτοῖς. Πεισθεὶς δὲ καὶ ὁ Θωμᾶς, τῇ θεάσει τῶν χειρῶν καὶ τῆς πλευρᾶς σου, Κύριον καὶ Θεόν σε ὡμολόγησε, σώζοντα τοὺς ἐλπίζοντας εἰς σέ, φιλάνθρωπε.

**Τ**ῶν θυρῶν κεκλεισμένων, ἐπιστὰς ὁ Ἰησοῦς τοῖς Μαθηταῖς, ἀφοβίαν καὶ εἰρήνην ἐδίδου. Εἶτα λέγει τῷ Θωμᾷ· Τί μοι ἀπιστεῖς, ὅτι ἀνέστην ἐκ νεκρῶν; φέρε ὧδε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου καὶ ἴδε· σοῦ γὰρ ἀπιστοῦντος, οἱ πάντες ἔμαθον τὰ πάθη καὶ τὴν ἀνάστασίν μου, κράζειν μετὰ σοῦ· Ὁ Κύριός μου καὶ ὁ Θεός μου, δόξα σοι.

**Τῆς Θεοτόκου Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.**

**Ω**ˮ τοῦ παραδόξου θαύματος! Ἡ παρθένος Κόρη, ἐκτελεῖ τεράστια, ὡς ξένα τε καὶ φρικτὰ ἐν Ἄθῳ σήμερον, τὸν ἔκφυλον γὰρ στρατόν, τῶν περιβόλων τοῦ Ὄρους ἀπήλασε, καὶ κλῆρον αὐτῆς σεπτόν, καταδρομῆς παραδόξως ἐρρύσατο, καὶ πρὸς εὐφροσύνην πάντας, μοναστὰς συνήθροισε τοῦ γεραίρειν ἐν ὕμνοις, τὴν θερμὴν αὐτῆς ἀντίληψιν.

**Β**αβαὶ τῶν σῶν θαυμασίων ἁγνή, ὅτι τὸν σὸν κλῆρον, Ὄρος ἁγιώνυμον, ἐρρύσω ἐκ συμφορῶν καὶ περιστάσεων, καὶ ἤλασας τοὺς δεινοὺς καὶ ὠμοτάτους ἐχθροὺς τῆς εἰκόνος σου, διό σου τὴν ὑπὲρ νοῦν εὐεργεσίαν μεγάλως δοξάζομεν, τῆς πανυπεράγνου κόρης, τοῦ λοιποῦ αἰτούμενοι, ἐκ παντοίων κινδύνων, σκέπειν σῴζειν τε τὴν ποίμνην σου.

**Δ**εῦτε μοναστῶν ὁ θίασος, ᾀσμασικροτοῦντες, μέλψωμεν γηθόμενοι, τὸ ξένως τε καὶ φρικτῶς πραχθὲν τεράστιον, τῆς φυλακίσσης ἡμῶν, Παρθένου κόρης καὶ μόνης Θεόπαιδος, καὶ φόβῳ τε καὶ χαρᾷ, τὴν τελεσθεῖσαν ἡμῖν χάριν σήμερον, εὐχαριστηρίοις ὕμνοις, πόθῳ ἀνυμνήσωμεν, κατὰ χρέως τιμῶντες, τὴν σεπτὴν αὐτῆς προμήθειαν.

**Δ**όξα τῇ σεπτῇ σου Δέσποινα, θείᾳ ἀντιλήψει, καὶ τῇ προστασίᾳ σου, ἐρρύσω γὰρ ἐκ πολλῶν ἡμᾶς κακώσεων, συμφώνως οὖν καὶ ἡμεῖς, τῶν μοναστῶν ἡ πληθὺς συγκροτοῦμέν σοι, πανή-



γυριν νῦν φαιδρὰν καὶ γηθοσύνως δοξάζομεν ἅπαντες, τὸ ὑπερφυές σου θαῦμα, ὅτι τοῦ Σταυροῦ ἐχθρούς, καὶ εἰκόνων σεπτῶν σου, ἐκ τῶν τῇδε ἐσκοράκισας.

**Δόξα. Τοῦ Θωμᾶ. Ἦχος πλ. β΄.**

**Τ**ῶν θυρῶν κεκλεισμένων, ἐπέστης Χριστὲ πρὸς τοὺς Μαθητάς. Τότε ὁ Θωμᾶς, οἰκονομικῶς οὐχ εὑρέθη μετ' αὐτῶν· ἔλεγε γάρ· Οὐ μὴ πιστεύσω, ἐὰν μὴ ἴδω κἀγὼ τὸν Δεσπότην· ἴδω τὴν πλευράν, ὅθεν ἐξῆλθε τὸ αἷμα, τὸ ὕδωρ, τὸ βάπτισμα· ἴδω τὴν πληγήν, ἐξ ἧς ἰάθη τὸ μέγα τραῦμα ὁ ἄνθρωπος· ἴδω, πῶς οὐκ ἦν ὡς πνεῦμα, ἀλλὰ σὰρξ καὶ ὀστέα. Ὁ τὸν θάνατον πατήσας, καὶ Θωμᾶν πληροφορήσας, Κύριε δόξα σοι.

**Καὶ νῦν. Τῆς Θεοτόκου. Ὁ αὐτός.**

**Σ**ήμερον συγκαλεῖται ἡμᾶς, ἐν τῇ Καινῇ ταύτῃ πρώτῃ τε καὶ ὀγδόῃ, τῶν ἐγκαινίων τῆς Ζωηφόρου τοῦ Χριστοῦ ἀναστάσεως, ἡ παρ' ἐλπίδα λύτρωσις τῆς πανυμνήτου θεομήτορος, ἐκ τῆς δεκαετοῦς δεινῆς ἐπιθέσεως, λῃστῶν τε καὶ βαρβάρων. Δεῦτε οὖν φιλέορτοι τῆς ἡμῶν ἐφόρου τε καὶ προστάτιδος, ψαλμικῶς ἐπικροτοῦντες, τὴν θείαν αὐτῆς μεγαλουργίαν τιμήσωμεν· καὶ πρὸς αὐτὴν ἐκβοήσωμεν, φύλαττε ἡμᾶς ἀεί, πανάχραντε Δέσποινα, ἐκ παντοίων πειρατηρείων, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος: Φῶς ἱλαρόν. Τὸ προκείμενον. **Ὁ Κύριος ἐβασίλευσε** καὶ τὰ ἀναγνώσματα τῆς Θεοτόκου.

**Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα**

**Α**ʼγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ. ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα σωφροσύνης περιέβαλλέ με ὡς νυμφίῳ περιέθηκέ μοι μήτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμον, καὶ ὡς γῆν αὔξουσαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ ἐκφύει, οὕτως ἀνατελλεῖ Κύριος δικαιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν. Διὰ Σιὼν οὐ σιωπήσωμαι καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη αὐτῆς, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται καὶ ὄψονται τὰ ἔθνη τὴν δικαιοσύνην σου καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου, καὶ καλέσητε τὸ ὄνομά σου τὸ καινόν, ὁ Κύριος ὀνομάσει αὐτό. Καὶ ἔσῃ στέφανος κάλ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λους ἐν χερὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου, καὶ οὐκ ἔτι κληθήσει καταλελειμμένη, καὶ ἡ γῆ σου οὐκ ἔτι κληθήσεται ἔρημος· σοὶ γὰρ κληθήσεται θέλημα τὸ ἐμὸν καὶ τῇ γῇ σου οἰκουμένη, ὅτι Κύριος εὐδοκήσει ἐν σοί, καὶ ἡ γῆ σου συνοικισθήσεται. Καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ οὕτω κατοικήσουσιν οἱ υἱοί σου· καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί.

### Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· ποῦ ἐστιν ὁ ἀναγαγὼν ἐκ γῆς τὸν ποιμένα τῶν προβάτων; ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ πνεῦμα τὸ Ἅγιον; ὁ ἀναγαγὼν τῇ δεξιᾷ τὸν Μωϋσῆν, ὁ βραχίων τῆς δόξης αὐτοῦ; κατίσχυσεν ὕδωρ πρὸ προσώπου αὐτοῦ, ποιῆσαι αὐτῷ ὄνομα δόξης αἰωνίου ἤγαγεν αὐτὸν δι᾿ ἀβύσσου, ὡς ἵππον δι᾿ ἐρήμου, καὶ οὐκ ἐκοπίασαν, καὶ ὡς κτήνη διὰ πεδίου, καὶ οὐκ ἐδειλίασαν. Ἐπίβλεψον ἐκ τοῦ οὐρανοῦ Κύριε, καὶ ἴδε ἐκ τοῦ οἴκου τῆς δόξης σου· ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τῶν οἰκτιρμῶν σου, ὅτι ἠνέσχου ἡμῶν Κύριε; Σὺ γὰρ εἶ Πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς, ἀλλὰ σὺ Κύριε Πατὴρ ἡμῶν, ῥῦσαι ἡμᾶς, ἀπ᾿ ἀρχῆς τὸ ὄνομά σου ἐφ᾿ ἡμᾶς ἐστι καὶ ἐπλάνησας ἡμᾶς Κύριε ἀπὸ τῆς ὁδοῦ σου; Ἐσκλήρυνας τὰς καρδίας ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε; Ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου ἵνα μικρὸν κληρονομήσωμεν τοῦ Ὄρους τοῦ ἁγίου σου. Οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου, ἐγενήθημεν ὡς τὸ ἀπ᾿ ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐπεκλήθη τὸ ὄνομά σου ἐφ᾿ ἡμᾶς, Ἐὰν ἀνοίξῃς τὸν οὐρανόν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη καὶ τακήσονται ὡσεὶ κηρὸς τήκεται ἀπὸ προσώπου πυρός, καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους σου, καὶ φανερὸν ἔσται τὸ ὄνομά σου τοῖς ὑπεναντίοις, ἀπὸ προσώπου σου ἔθνη ταραχθήσονται ὅταν ποιῇς τὰ ἔνδοξα, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη· ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεὸν πλὴν σοῦ, καὶ τὰ ἔργα σου ἀληθινά, καὶ ποιήσεις τοῖς ὑπομένουσί σε ἔλεος· συναντήσεται γὰρ ἔλεος τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται.



### Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα.

Κεφ. ΜΓ΄.27 Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ἡμῶν καὶ προσδέξομαι ὑμᾶς λέγει Κύριος Κύριος, καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη, καὶ εἶπε Κύριος πρός με. Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι᾿ αὐτῆς ὅτι Κύριος Ἰσραὴλ εἰσελεύσεται δι᾿ αὐτῆς, καὶ ἔσται κεκλεισμένη. Διότι ὁ Ἡγούμενος οὗτος κάθηται ἐν αὐτῇ τοῦ φαγεῖν ἄρτον, κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς βλεπούσης κατὰ ἀνατολὰς καὶ εἶδον καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ Ἰδιόμελα τοῦ Θωμᾶ. **Ἦχος δ΄.**

Κύριε, τῇ ἀστέκτῳ τῆς σῆς Θεότητος αἴγλῃ, τῶν θυρῶν ἐπέστης οὐσῶν κεκλεισμένων· καὶ στὰς ἐν μέσῳ τῶν Μαθητῶν, τὴν πλευρὰν ἐξεγύμνωσας· καὶ τραυμάτων σου χειρῶν καὶ τῶν ποδῶν, τὰς ὠτειλὰς δεικνύων, ἀθυμίας τὴν κατήφειάν τε λύων, σαφῶς ἐφώνησας. Ὃν τρόπον ἐν ἐμοὶ καθορᾶτε, ὦ φίλοι, τῆς σαρκὸς τὴν πρόσληψιν, οὐ πνεύματος φέρω φύσιν. Τῷ δὲ διστάζοντι Μαθητῇ, προτρέπου ψηλαφῆσαι φρικτῶς, κατειπών· Ἐρευνήσας ἅπαντα, δεῦρο λοιπὸν μὴ ἀμφέβαλλε. Ὁ δὲ αἰσθόμενος ἐν τῇ χειρί τῆς σῆς διπλῆς οὐσίας, ἐν φόβῳ ἀνεβόα πιστῶς, τῇ πίστει ἑλκόμενος· Ὁ Κύριός μου καὶ ὁ Θεός μου, δόξα σοι.

**Ἦχος πλ. δ΄.**

Ἅψαι Θωμᾶ τῆς πλευρᾶς τῇ χειρί, λέγει Χριστός, καὶ τοὺς τύπους τῶν ἥλων δεῦρο ψηλάφησον, πίστει ἐρεύνησον, καὶ γίνου μοι πιστός, καὶ μὴ γίνου ἄπιστος. Ὁ δὲ Θωμᾶς, τῷ δακτύλῳ ὡς ἥψατο τοῦ Δεσπότου, μέγα ἀνεβόησε· Σύ μου Θεὸς καὶ Κύριος, εὔσπλαγχνε, Δόξα σοι.

**Ἦχος δ΄.**

Ὢ τοῦ παραδόξου θαύματος! ἀπιστία πίστιν βεβαίαν ἐγέννησεν· εἰπὼν γὰρ ὁ Θωμᾶς. Ἐὰν μὴ ἴδω, οὐ μὴ πιστεύσω· ψηλαφήσας δὲ τὴν πλευράν, ἐθεολόγει τὸν σαρκωθέντα, τὸν αὐ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸν Υἱὸν τοῦ Θεοῦ· ἐγνώρισεν ὡς πεπονθότα σαρκί· ἐκήρυξε τὸν ἀναστάντα Θεόν· καὶ ἐβόησε λαμπρᾷ τῇ φωνῇ· Ὁ Κύριός μου καὶ ὁ Θεός μου, δόξα σοι.

**Ὁ αὐτός.**

Ὢ τοῦ παραδόξου θαύματος! τοῦ πυρὸς ὁ χόρτος ἀψάμενος σέσωσται· βαλὼν γὰρ ὁ Θωμᾶς ἐν τῇ πυρίνῃ πλευρᾷ τὴν χεῖρα, Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ, οὐ κατεφλέχθη τῇ ψηλαφήσει· τῆς ψυχῆς γὰρ τὸ δυσπειθές, μετέβαλεν εἰς εὐπιστίαν θερμῶς· ἐκέκραξεν ἀπὸ βαθέων ψυχῆς. Ὁ Δεσπότης σύ μου εἶ καὶ Θεός, ὁ ἐκ νεκρῶν ἐγηγερμένος δόξα σοι.

Τῆς Θεοτόκου. **Ἦχος α΄.**

Μέγα καὶ παράδοξον θαῦμα, τοῖς ἐν Ὄρει Ἄθω πατρᾶσι τετέλεσται σήμερον, ἐν τῇ λαμπρᾷ ὀγδόῃ τοῦ Πάσχα, ἡ γὰρ πανάμωμος προστάτις καὶ ἔφορος, στρατὸν ἔκφυλον τῶν περιβόλων αὐτῆς ἐξωστράκισε, καὶ τῆς αὐτῶν σκαιότητος καὶ τυραννίδος ἐρρύσατο. Διὸ πάντες εὐχαριστήρια προσᾴδοντες, πρὸς αὐτὴν ἀνακράξωμεν· μὴ ἐλλίπῃς, ὦ Δέσποινα, περιφρουροῦσα καὶ σκέπουσα τὴν σὴν ποίμνην ἀλώβητον, παρορῶσα τὰ ἡμῶν πλημμελήματα, καὶ σώζουσα τὰς ψυχὰς ἡμῶν.

**Ἦχος β΄.**

Τίς ὁ ἦχος τῶν ἑορταζόντων γίνεται; ἡ παντάνασσα Μαριάμ, στρατὸν θρασυνόμενον, καὶ ἀλαζῶνα τύραννον ἐπαπειλοῦντα πῦρ καὶ φόνον παραδόξως ἀπελάσασα, τὸν κλῆρον αὐτῆς, τῆς ἐκείνων ὠμότητος διεσώσατο· Δεῦτε οὖν τὰ τῶν ᾀσμάτων ἄνθη ἀναλαβόντες, καταχρέως αὐτὴν ἀνυμνήσωμεν, ὅπως τῇ προστασίᾳ καὶ σκέπῃ αὐτῆς, διασώζει ἐξ ἀοράτων καὶ ὁρωμένων ἐχθίστων, τῇ ἀκοιμήτῳ αὐτῆς ὑπὲρ ἡμῶν πρεσβείᾳ πρὸς Κύριον.

**Δόξα τοῦ Θωμᾶ. Ἦχος πλ. δ΄.**

Τῶν θυρῶν κεκλεισμένων, τῶν Μαθητῶν συνηθροισμένων, ἐπέστη ὁ Σωτήρ, οὗ ἦσαν συνηγμένοι· καὶ στὰς ἐν μέσῳ αὐτῶν, λέγει τῷ Θωμᾷ· Δεῦρο ψηλάφησον, καὶ ἴδε τοὺς τύπους τῶν ἥλων· ἔκτεινόν σου τὴν χεῖρα, καὶ ἅψαι τῆς πλευρᾶς μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πίστει κήρυξον, τὴν ἐκ νεκρῶν μου Ἀνάστασιν.



**Καὶ νῦν.** Τῆς Θεοτόκου. Ὁ αὐτός.

Τίς μὴ θαυμάσῃ; τίς μὴ δοξάσῃ Θεοτόκε Πανύμνητε, τὰ πολλὰ καὶ ὑπερφυῆ σου τερατουργήματα, ἅπερ πάλαι καὶ νῦν καθ᾽ ἑκάστην ἐκτελεῖς τοῖς ἐκ πόθου τιμῶσί σε; τὴν δὲ περὶ τὸ Ὄρος σου τοῦτο προμήθειαν, τίς ἂν δυνήσηται ἐξειπεῖν; Τρέφεις γὰρ καὶ περιθάλπεις τοὺς ἐν αὐτῷ, ὡς ὄρνις τὴν ἑαυτῆς νοσιάν, ὡς καὶ μισόχριστον στρατὸν ἐπαπειλοῦντα κατερημῶσαι τὰ ἱερά σου σκηνώματα, παραδόξως ἀπήλασας. Ἀλλὰ καὶ νῦν τοῖς πόθῳ αἰτοῦσί σε τὰ αἰτήματα ἐκπληροῖς· διὸ εὐχαρίστως σὲ γεραίρομεν καὶ δεόμεθα, τὴν σὴν βοήθειαν ἡμῖν δώρησαι, καὶ σῷζε πρεσβείαις σου.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Τοῦ Θωμᾶ. Ἰδιόμελον **Ἦχος δ΄.**

Ὢ τοῦ παραδόξου θαύματος! Ἰωάννης στήθει τοῦ Λόγου ἀνέπεσε, Θωμᾶς δὲ τὴν πλευρὰν προσψηλαφῆσαι κατηξιώθη· ἀλλ᾽ ὁ μέν, ἐκεῖθεν φρικτῶς θεολογίας βυθὸν ἀνέλκει τὴν οἰκονομίαν· ὁ δέ, ἠξίωται μυσταγωγῆσαι ἡμᾶς· παρίστησι γὰρ τὰς ἀποδείξεις τρανῶς τῆς Ἐγέρσεως αὐτοῦ, ἐκβοῶν· Ὁ Κύριός μου καὶ ὁ Θεός μου, δόξα σοι.

Τῆς Θεοτόκου. **Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Χαίροις παρθενομῆτορ σεμνή, φωτεινοτάτη, δροσοβόλος νεφέλη τε, πυρφόρος καὶ ὀμβροφόρος, τὸν θεῖον ὄμβρον Χριστὸν ἐν τῷ κόσμῳ ὄντως ἡ ὀμβρήσασα, καὶ κλίμαξ οὐράνιος, ἀπὸ γῆς ἀναφέρουσα, γέφυρα θεία, τοὺς πιστοὺς μεταφέρουσα, πρὸς παράδεισον, τῆς τρυφῆς θεία τράπεζα, Μάννα ὑπερουράνιον, ἡμᾶς διατρέφουσα, σκέπη τε σκέπουσα πάντας, Ὄρους τε Ἄθω ἡ ἔφορος, Θεοῦ χαῖρε Μήτηρ, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου.**

Θαῦμα καινοπρεπὲς ἀληθῶς, ἡ Θεοτόκος ἐκτετέλεκε σήμερον, βαρβάρων στρατὸν ἀπίστων, ἐπεμβαινόντων δεινῶς τῷ ἁγίῳ Ὄρει δέκα ἔτεσιν, ἀθρόως ἀπήλασε, καὶ τῆς τούτων ἀπήλλαξε πικρᾶς δουλείας, ἀπειλούντων ἐρήμωσιν καὶ κατάπτωσιν σκηνωμάτων Θεόπαιδος, ὅθεν εὐχαριστήριον, προσφέρομεν αἴνεσιν, καὶ ἐτησίως τὴν μνείαν, ἐπιτελοῦντες βοήσωμεν, ἀεὶ ἡμᾶς φρούρει καὶ διάσῳζε Παρθένε, τῇ προστασίᾳ σου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Σκέπη τῆς Θεοτόκου σεπτή, ἀστραπηφόρε, ἡ πιστὴ περισκέπουσα, καὶ νέφη τῆς ἁμαρτίας, ἀποσοβοῦσα τομῶς σκέπε πάσης βλάβης τοὺς τιμῶντάς σε, παντὸς ἐναντίου τε καὶ δολίου κακώσεως, καὶ ἐναντίας, προσβολῆς τοῦ ἀλάστορος, καὶ διάσωζε, ἐξ ἐχθρῶν ἐπιθέσεως, ὅπως τῇ ἀντιλήψει σου, σωζόμενοι ὕμνοις σε, ἀνευφημοῦμεν ἐκ πόθου, καὶ εὐχαρίστως γεραίρομεν, τὴν σὴν προστασίαν καὶ βοήθειαν, καὶ σθένος καὶ μέγα ἔλεος,

**Δόξα τοῦ Θωμᾶ. Ἦχος πλ. α'.**

Φιλάνθρωπε, μέγα καὶ ἀνείκαστον τὸ πλῆθος τῶν οἰκτιρμῶν σου· ὅτι ἐμακροθύμησας, ὑπὸ Ἰουδαίων ῥαπιζόμενος, ὑπὸ Ἀποστόλου ψηλαφώμενος, καὶ ὑπὸ τῶν ἀθετούντων σε πολυπραγμονούμενος. Πῶς ἐσαρκώθης; πῶς ἐσταυρώθης ὁ ἀναμάρτητος; ἀλλὰ συνέτισον ἡμᾶς, ὡς τὸν Θωμᾶν βοᾶν σοι· Ὁ Κύριός μου καὶ ὁ Θεός μου, δόξα σοι.

**Καὶ νῦν.** Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ὢ τῶν πολλῶν σου θαυμάτων ἁγνή, ὧν καθ' ἑκάστην ἐκτελεῖς ἐν τῷ Ὄρει τοῦ κλήρου σου, ὃ ὡς παράδεισον ἐν μέσῳ τῆς τοῦ κλαυθμῶνος κοιλάδος ἀνέδειξας, ἐν ᾧ οἱ προσφεύγοντες σωτηρίαν πορίζονται· διὸ αἱ καρδία ἡμῶν πρὸς πόθον σου ἀναφλέγονται, οὐ λίπεις γὰρ ἡμῶν προνοοῦσα, καὶ τὰ πρὸς σωτηρίαν συμπράττουσα. Ὅθεν καὶ στρατὸν ἔκφυλον ἐκπορθοῦντα τὴν ποίμνην σου, ἐκ τῶν τῆδε ἀπήλασας, ἧς περ χαρμοσύνου ἀπαλλαγῆς τὴν ἀνάμνησιν ποιούμενοι, πνευματικῶς εὐφραινόμεθα. Καὶ δὴ σοι εὐχαριστήρια θύοντες, αἰτούμεθα ἐκτενῶς, τοῦ μὴ ἐλλείπειν ἀεὶ φρουροῦσα ἡμᾶς ἐκ πάσης κακώσεως, καὶ σῴζουσα τὴν ποίμνην σου ἄτρωτον.

Ἀπολυτίκιον **τοῦ Θωμᾶ Ἦχος βαρύς.**

Ἐσφραγισμένου τοῦ μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις, πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος. δίς.

Τῆς Θεοτόκου ἅπαξ. **Ἦχος α'.**

**Τῆς ἐρήμου πολίτης.**

Τῶν ἐγκαινίων τὴν μνήμην τῆς Χριστοῦ Ἀναστάσεως, ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἐπιτελοῦντες θεόφρονες· κροτήσωμεν ἐν ὕ-



μνοις καὶ ᾠδαῖς, τὴν τούτου Μητέρα εὐλαβῶς, τὴν φυλάκισσαν τοῦ Ὄρους εὐφημοῦμεν, λυτρώσασαν παραδόξως, καταδρομῆς δεινῶς δεκαετοῦς, τὰ χαριστήρια ᾄδοντες τῇ Κεχαριτωμένῃ, ὀξέως δεινῶν ἡμᾶς ἐξαίρουσαν.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν α'. Στιχολογίαν. Κάθισμα. Τοῦ Θωμᾶ.

**Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.**

Τῷ φόβῳ τῶν Ἑβραίων, κεκρυμμένων τῶν Μαθητῶν, καὶ ἐν τῇ Σιὼν συνηγμένων, εἰσῆλθες πρὸς αὐτοὺς Ἀγαθέ· καὶ ἔστης κεκλεισμένων τῶν θυρῶν, ἐν μέσῳ αὐτῶν χαροποιός, καὶ ὑπέδειξας αὐτοῖς τὰς χεῖρας, καὶ τῆς ἀχράντου σου πλευρᾶς τοὺς μώλωπας, λέγων τῷ ἀπιστοῦντι Μαθητῇ· φέρε τὴν χεῖρά σου καὶ ἐρεύνα, ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ διὰ σὲ παθητός.

**Δόξα τὸ αὐτό. Καὶ νῦν** τῆς Θεοτόκου. Ὅμοιον.

Παντάνασσα Παρθένε τοῦ Θεοῦ ἡμῶν Μήτηρ, ἡ φρουρὸς καὶ προστάτις, τῶν Ὄρει οἰκούντων, περίσῳζε ἡμᾶς ἐκ πειρασμῶν, καὶ πάσης ἐχθρῶν ἐπιδρομῆς, τοὺς τῇ σκέπῃ σου τῇ ἀμάχῳ καταφυγόντας καὶ βοῶντάς σοι· δόξα τῇ προμηθείᾳ σου ἁγνή, δόξα τῇ ἀντιλήψει σου, δι' ἧς πικρᾶς καταδρομῆς ἠλευθερώθημεν.

Μετὰ τὴν β'. στιχολογίαν Κάθισμα. Τοῦ Θωμᾶ

**Τὸν τάφον σου Σωτήρ.**

Ἐπέστη ἡ ζωή, τῶν θυρῶν κεκλεισμένων, Χριστὲ τοῖς Μαθηταῖς, καὶ πλευρὰν ὑπεδείκνυς, καὶ χεῖράς σου καὶ πόδας σου, τὴν ἐκ τάφου σου Ἔγερσιν, προπιστούμενος· ἀλλ' ὁ Θωμᾶς οὐχ εὑρέθη· ὅθεν ἔλεγε· Ἢν μὴ θεάσωμαι τοῦτον, οὐ πείθομαι τοῖς λόγοις ὑμῶν.

**Δόξα τὸ αὐτό. Καὶ νῦν** τῆς Θεοτόκου. Ὅμοιον.

Μαρία καθαρόν, τοῦ Δεσπότου δοχεῖον, καὶ τεῖχος καὶ λιμήν, τῶν εἰς σὲ προστρεχόντων, τοῦ Ὄρους προπύργιον, καὶ φρουρὸς ἀπροσμάχητος, σῶσον οἰκτειρον, ἐκ πειρασμῶν πολυτρόπων, ἐξ ἀθέων τε, καὶ ὠμοτάτων βαρβάρων, τὴν ποίμνην σου Δέσποινα.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Μετὰ τὸν Πολυέλαιον. Κάθισμα. Τοῦ Θωμᾶ. Ὅμοιον.

Ἰδών μου τὴν πλευράν, καὶ τὰς τρήσεις τῶν ἥλων, Θωμᾶ τί ἀπιστεῖς, τῇ ἐμῇ Ἀναστάσει; ὁ Κύριος ἔλεγεν, ἀναστὰς ἐκ τοῦ μνήματος, ὀπτανόμενος, τοῖς Ἀποστόλοις ἀρρήτως· ὁ δὲ Δίδυμος, πεισθεὶς ἐβόα τῷ Κτίστῃ· Θεός μου εἶ καὶ Κύριος.

**Δόξα τὸ αὐτό. Καὶ νῦν** τῆς Θεοτόκου. Ὅμοιον.

Ἡ μόνη κραταιά, τῶν πιστῶν προστασία, καὶ τεῖχος καὶ λιμήν, τῶν ἐν ζάλῃ τοῦ βίου, συμφώνως σὲ γεραίρομεν, ἀνυμνοῦντες τὴν δόξαν σου, σὺ γὰρ λύτρωσις, καὶ σωτηρία ὑπάρχεις, Ὄρους κλήρου σου, ἐξ ἀλλοφύλων βαρβάρων, αὐτὸ διασῴζουσα.

Οἱ ἀναβαθμοί. Τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου.

Τὸ προκείμενον. Ἦχος δ΄. Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον αἴνει τὸν Θεόν σου Σιών.

Τὸ Εὐαγγέλιον· καὶ τὰ λοιπὰ τῆς νέας Κυριακῆς τοῦ Θωμᾶ ἅπαντα.

## Οἱ Κανόνες

Ὁ Κανὼν τοῦ Θωμᾶ μετὰ τῶν εἱρμῶν εἰς η΄. καὶ τῆς Θεοτόκου εἰς ς΄.

**Ὁ Κανὼν τοῦ Θωμᾶ. Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.**

» Ἄσωμεν πάντες λαοί, τῷ ἐκ πικρᾶς δουλείας, Φαραὼ τὸν
» Ἰσραὴλ ἀπαλλάξαντι, καὶ ἐν βυθῷ θαλάσσης, ποδὶ ἀβρό-
» χως ὁδηγήσαντι, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Σήμερον ἔαρ ψυχῶν ὅτι Χριστὸς ἐκ τάφου, ὥσπερ ἥλιος ἐκλάμψας τριήμερος, τὸν ζοφερὸν χειμῶνα ἀπήλασε τῆς ἁμαρτίας ἡμῶν· αὐτὸν ἀνυμνήσωμεν, ὅτι δεδόξασται.

Ἡ βασιλὶς τῶν ὡρῶν, τῇ λαμπροφόρῳ ἡμέρᾳ, ἡμερῶν τε βασιλίδι φανότατα, δορυφοροῦσα τέρπει, τὸν ἔγκριτον τῆς Ἐκκλησίας λαόν, ἀπαύστως ἀνυμνοῦσα, τὸν ἀναστάντα Χριστόν.

Πύλαι θανάτου Χριστέ, οὐδὲ τοῦ τάφου σφραγῖδες, οὐδὲ κλεῖθρα τῶν θυρῶν σοι ἀντέστησαν· ἀλλ' ἐξαναστὰς ἐπέστης, τοῖς φίλοις σου εἰρήνην, Δέσποτα δωρούμενος, τὴν πάντα νοῦν ὑπερέχουσαν.

**Τῆς Θεοτόκου. Ἦχος α΄. Ἀναστάσεως** ἡμέρα.

Ἀναστάσεως ἡμέρα τοῦ Κυρίου Χριστοῦ, δεῦτε συμφώνως πάντες, οἱ ἐν τῷ Ὄρει μονασταί, καὶ τὴν Μητέρα αὐτοῦ, παρθένον ἁγνήν, πιστῶς ἀνυμνήσωμεν, χαριστήριον ᾄδοντες.



Καθαρθῶμεν τὰς αἰσθήσεις καὶ ὀψώμεθα, ἐν νοεροῖς ὀφθαλμοῖς, θείαν προμήθειαν ἡμῶν, καὶ γὰρ ἡ Θεόνυμφος ἐξ Ὄρους τοῦ Ἄθω νῦν, στρατὸν τὸν μισόχριστον, παραδόξως ἐξέβαλε.

Ὁ ἀπόγονος τῆς Ἄγαρ εἰσελάσας ἡμῖν, δέδοται Ὄρος ἔφη, εἰς ἐξουσίαν νῦν ἐμήν, ἀλλ' οὖν ἐψεύσθη δεινῶς, τοῦ Ὄρους αὐτόν, καὶ γὰρ ἡ φυλάκισσα, Θεοτόκος ἐξέβαλε.

Οὐρανὸς μὲν καὶ ἡ γῆ νῦν εὐφραινέσθωσαν, θείᾳ Χριστοῦ ἐγέρσει τὴν δὲ Παρθένον κροτείτω, ὁ χορὸς ἀζύγων καὶ γὰρ σήμερον, στρατὸν τὸν μισόχριστον, ἐκ τοῦ Ὄρους ἐξέβαλε.

Καταβασία. **Ἀναστάσεως ἡμέρα.**

**Τοῦ Θωμᾶ. Ὠδὴ γ΄. Ὁ Εἱρμός.**

» Στερέωσόν με Χριστέ, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου,
» καὶ φώτισόν με φωτὶ τοῦ προσώπου σου· οὐκ ἔστι γὰρ ἅ-
» γιος, πλήν σου φιλάνθρωπε.

Καινοὺς ἀντὶ παλαιῶν, ἀντὶ φθαρτῶν δὲ ἀφθάρτους, διὰ Σταυροῦ σου Χριστὲ τελέσας ἡμᾶς, ἐν καινότητι ζωῆς πολιτεύεσθαι, ἀξίως προσέταξας.

Ἐν τάφῳ περικλεισθείς, τῇ περιγράπτῳ σαρκί σου, ὁ ἀπερίγραπτος, Χριστὲ ἀνέστης· θυρῶν κεκλεισμένων δὲ ἐπέστης, σοῦ τοῖς Μαθηταῖς παντοδύναμε.

Τοὺς μώλωπάς σου Χριστέ, οὓς ἑκουσίως ὑπέστης, ὑπὲρ ἡμῶν τοῖς Μαθηταῖς σου φυλάξας μαρτύριον, τῆς σῆς ἔδειξας, ἐνδόξου Ἀναστάσεως.

**Τῆς Θεοτόκου. Δεῦτε πόμα πίομεν.**

Δεῦτε πόμα πίωμεν καινὸν χαρᾶς, τὰ τοῦ Ὄρους ἀζύγων σεπτὰ συστήματα, ἡ γὰρ Παρθένος ἁγνή, τὴν λύπην μετήλλαξεν ἡμῶν, εἰς τέρψιν σωτήριον.

Νῦν πάντα πληροῦνται χαρμονῆς, τὰ τοῦ Ὄρους σεπτὰ καταγώγια, τὴν Θεοτόκον ἁγνήν, προστάτιν πλουτοῦντα κραταιάν, δι' ἧς ἐστερέωνται.

Χθὲς κατεδουλώθημεν δεινῶς, τυραννίαις πεσόντες ἀπίστων σύμπαντες, νῦν δ' ἡ προστάτις ἡμῶν, λαμπρὰν ἐχαρίσατο ἡμῖν, σωτηρίαν ἡ πάναγνος.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Νῦν Λόγε τὸ Ὄρος τὸ σεπτόν, ἐγκωμιάζομαι ξένως τῇ Θεομήτορι, τοῦ γὰρ ἀπίστου στρατοῦ, φυγόντως πανήγυριν φαιδράν, αὐτῇ συνεγείρομαι.

Καταβασία. **Δεῦτε πόμα πίωμεν.**

Κοντάκιον τοῦ Θωμᾶ.

Τῇ φιλοπράγμονι δεξιᾷ, τὴν ζωοπάροχόν σου πλευράν, ὁ Θωμᾶς ἐξηρεύνησε Χριστὲ ὁ Θεός· συγκλεισμένων γὰρ τῶν θυρῶν ὡς εἰσῆλθες, σὺν τοῖς λοιποῖς Ἀποστόλοις ἐβόα σοι. Κύριος ὑπάρχεις καὶ Θεός μου.

**Ὁ Οἶκος.**

Τίς ἐφύλαξε τὴν τοῦ Μαθητοῦ παλάμην τότε ἀχώνευτον, ὅτε τῇ πυρίνῃ πλευρᾷ προσῆλθε τοῦ Κυρίου; τίς ἔδωκε ταύτῃ τόλμαν, καὶ ἴσχυσε ψηλαφῆσαι φλέγεον ὀστοῦν; πάντως ἡ ψηλαφηθεῖσα· εἰμὴ γὰρ ἡ πλευρὰ δύναμιν ἐχορήγησε πηλίνῃ δεξιᾷ, πῶς εἶχε ψηλαφῆσαι παθήματα, σαλεύσαντα τὰ ἄνω καὶ τὰ κάτω; Αὕτη ἡ χάρις Θωμᾷ ἐδόθη, ταύτην ψηλαφῆσαι, Χριστῷ δὲ ἐκβοῆσαι· Κύριος ὑπάρχεις καὶ Θεός μου.

Εἶτα Κάθισμα. **Ἦχος δ.′ Κατεπλάγη Ἰωσήφ.**

Δεῦτε στίφη μοναστῶν, θαῦμα θεάσασθε φρικτόν, ἡ γὰρ Παρθένος Μαριάμ, ἐν τῇ ὀγδόῃ τῆς Χριστοῦ, λαμπρᾶς ἐγέρσεως τῆς κοσμοχαρμοσύνου, στρατὸν τὸν δυσσεβῆ, ξένως ἀπήλασε, τοῦ Ὄρους τοῦ σεπτοῦ, κληροδοσίας αὐτῆς, ἐν ᾗ λαμπρῶς τελοῦμεν τὴν ἀνάμνησιν, τῶν μοναστῶν ἡ πληθὺς ἡ ἐν Ἄθῳ, πόθῳ κροτοῦντες, τὰ μεγαλεῖα τῆς ἁγνῆς Θεομήτορος.

**Τοῦ Θωμᾶ. Ὠδὴ δ.′ Ὁ Εἱρμός.**

»Μέγα τὸ μυστήριον, τῆς σῆς Χριστὲ οἰκονομίας! τοῦτο γὰρ »ἄνωθεν προβλέπων, θεοπτικῶς ὁ Ἀββακούμ· Ἐξῆλθες »ἐβόα σοι, εἰς σωτηρίαν λαοῦ σου φιλάνθρωπε!

Χολῆς μὲν ἐγεύσατο, τὴν πάλαι γεῦσιν ἰώμενος· νυνὶ δὲ σὺν κηρίῳ μέλιτος, τοῦ φωτισμοῦ μεταδιδούς, Χριστὸς τῷ Προπάτορι, καὶ τῆς αὐτοῦ γλυκείας μεθέξεως.

Χαίρεις ἐρευνώμενος· διὸ φιλάθρωπε πρὸς τοῦτο, προτρέπεις τὸν Θωμᾶν, προτείνων διαπιστοῦντι τὴν πλευράν, τῷ κόσμῳ πιστούμενος, τὴν σὴν Χριστὲ τριήμερον Ἔγερσιν.



Πλοῦτον ἀρυσάμενος, ἐκ θησαυροῦ τοῦ ἀσυλήτου, τῆς θείας Εὐεργέτα, λόγχῃ διανοιγείσης σου πλευρᾶς, σοφίας καὶ γνώσεως, ἀναμπιμπλᾷ τὸν κόσμον ὁ Δίδυμος.

Σοῦ ἡ παμμακάριστος ὑμνεῖται γλῶσσα, ὦ Δίδυμε· πρώτη γὰρ εὐσεβῶς κηρύττει τὸν ζωοδότην Ἰησοῦν, Θεόν τε καὶ Κύριον ἐκ τῆς ἀφῆς πλησθεῖσα τῆς χάριτος.

**Τῆς Θεοτόκου. Ἐπὶ τῆς Θείας φυλακῆς.**

Ἐπὶ τῆς θείας φυλακῆς, νοὸς κινήσεις ἀδελφοί, πάντες ἐν Χριστῷ καὶ τὰς πράξεις, διορθοῦντες ἅπαντες, ἐν εὐφροσύνῃ εἴπωμεν, σήμερον σωτηρία τῷ Ὄρει, διὰ Παρθένου ἁγνῆς, ἡμῶν προστάτιδος.

Ἀεὶ ταράττει με ἐσμός, τῶν ἀδοκίτων συμφορῶν, Δέσποινα βοᾷ ἡ σὴ ποίμνη, ἡ ἐν Ἄθῳ ἅπασα μὴ οὖν παρίδῃς πρόφθασον, τάχυνον ἐξελοῦ με Παρθένε, τὴν ἀνυμνοῦσαν ἀεὶ τὰ μεγαλεῖά σου.

Ὥσπερ φυλάκισσαν ἁγνή, τῶν ἱερῶν ἡμῶν Μονῶν, στέφομεν νῦν σε ἐκ πόθου, θείους ὕμνους πλέκοντες, δέχου τὸ ὑμνητήριον, καὶ αὖθις ἡμᾶς χερσὶν ἀνόμοις μὴ παραδώῃς, Χριστὸν φέρουσα ἔλεον.

Ὁ Θεοπάτωρ μὲν Δαβίδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν. Ὁ λαὸς δὲ τοῦ Χριστοῦ ὁ ἄζυγος, ὁ ἐν τῷ Ὄρει Πάναγνε, σκιρτῶν πρὸ τῆς σῆς εἰκόνος θείως, σοὶ λιτανεύει Δαβὶδ ὡς προφήτευσε.

Καταβασία. **Ἐπὶ τῆς Θείας φυλακῆς.**

**Τοῦ Θωμᾶ. Ὠδὴ ε′. Ὁ Εἱρμός.**

»Ἐκ νυκτὸς ὀρθρίζοντες ὑμνοῦμέν σε Χριστέ, τὸν τῷ Πατρὶ »συνάναρχον, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν· τὴν εἰρήνην »τῷ κόσμῳ παράσχου φιλάνθρωπε.

Ἐπιστὰς τοῖς φίλοις ἀθυμοῦσιν ὁ Σωτήρ, τῇ παρουσίᾳ ἅπασαν, ἀπελαύνει τὴν κατήφειαν, καὶ σκιρτᾶν διεγείρει, τῇ Ἀναστάσει αὐτοῦ.

Ὢ τῆς ἀληθῶς ἐπαινουμένης τῷ Θωμᾷ, φρικτῆς ἐγχειρήσεως! τολμηρῶς γὰρ ἐψηλάφησε τὴν πλευράν, τὴν τῷ θείῳ πυρὶ ἀπαστράπτουσαν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀπιστίαν πίστεως γεννήτοριαν ἡμῖν, τὴν τοῦ Θωμᾶ ἀνέδειξας· σὺ γὰρ πάντα τῇ σοφίᾳ σου, προνοεῖς συμφερόντως, Χριστὲ ὡς φιλάνθρωπος.

Τῆς Θεοτόκου. **Ὀρθρίσωμεν ὄρθρου βαθέως.**

Ὀρθρίσωμεν ὄρθρου βαθέως πάντες, καὶ σὺν τῷ ὕμνῳ τὰς πράξεις προορίσωμεν ἐναρέτους, τῇ Παρθένῳ κράζοντες: μὴ ἐλλείπῃς Δέσποινα, τοὺς ἐν τῷ Ὄρει φυλάττουσα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, πρὸς τὰς ἐν Ὄρει μονάς, ἐκπληττόμενοι δεδορκότες, πρὸς τὴν σὴν ἐλπίζομεν ἁγνὴ προστασίαν κραταιάν, Πάσχα κροτοῦντες εὐφρόσυνον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ, ἐκ τοῦ μνήματος ὡς νυμφίῳ, καὶ πανηγυρίσωμεν, τῇ Θεοτόκῳ κράζοντες, Χαίρεις τοῦ Ὄρους ἡ Σώτηρα.

Καταβασία. **Ὀρθρίσωμεν ὄρθρου βαθέως.**

**Τοῦ Θωμᾶ. Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.**

»Τὸν Προφήτην διέσωσας, ἐκ τοῦ κήτους φιλάθρωπε· κἀ»μὲ τοῦ βυθοῦ τῶν πταισμάτων, ἀνάγαγε δέομαι.

Τὸν Θωμᾶν οὐ κατέλιπες, βαπτιζόμενον Δέσποτα, βυθῷ ἀπιστίας παλάμας, προτείνας εἰς ἔρευναν.

Ὁ Σωτὴρ ἡμῶν ἔλεγε· ψηλαφῶντές με ἴδετε, ὀστέα καὶ σάρκα φοροῦντα· ἐγὼ οὐκ ἠλλοίωμαι.

Τὴν πλευρὰν ἐψηλάφησε, καὶ πιστεύσας ἐπέγνωκε, Θωμᾶς μὴ παρὼν σου τῇ πρώτῃ, εἰσόδῳ Σωτὴρ ἡμῶν.

**Τῆς Θεοτόκου. Κατῆλθες ἐν τοῖς κατωτάτοις**

Κατήλθομεν ἐν ἁμαρτίαις πολλαῖς, καὶ δικαίαν καθ᾽ ἡμῶν ἀγανάκτησιν, ὄντως Θεοῦ ἐφελκύσαμεν ἡμεῖς, ἀλλ᾽ ὦ Δέσποινα, σὺ ἐξάρπασον ἡμᾶς, ἀπωλείας βαρβάρων.

Φυλάττουσα ἄχραντε Ὄρος τὸ σόν, ἐπελθόντων ἀπίστων, πρὸς παιδείαν δεινῶν ἡμῶν παραπτώσεων, οὐ παρέδωκας, εἰς τὰς χεῖρας οὖν αὐτῶν, κατατρίψας τελείως.

Σωτῆραν ἡμῶν τε καὶ φύλακα, ὦ πανάμωμε ἁγνή, σὲ γινώσκωμεν πᾶσαι αἱ ἐν τῷ Ὄρει μοναί, διὰ τοῦτό σοι, ὁμοφώνως τὰ νῦν, συγκροτοῦμεν τοὺς ὕμνους.

Καταβασία. **Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς.**



Κοντάκιον. **Τῇ ὑπερμάχῳ**

Τῇ ὑπερμάχῳ καὶ ταχείᾳ ἀντιλήψει σου, προσπεφευγότες ἡ τοῦ Ὄρους μοναστῶν πληθύς, ἀναμέλψωμεν ἐφύμνια μετὰ πόθου, ἀλλοφύλιον γὰρ στρατὸν τὸν μανικώτατον, ἐκποδὼν ποιησαμένη ἠλευθέρωσας, τοὺς σοὶ κράζοντας.

Χαῖρε δόξα παγκόσμιος.

**Ὁ οἶκος.**

Ἄγγελοι ἀοράτως, καὶ βροτῶν πᾶσα φύσις, συμφώνως ἀνυμνοῦμεν ἐκ πόθου, τὴν πανθαύμαστον Θεοτόκον ἁγνήν. Πολλῶν καὶ γὰρ θαυμάτων αὐτουργὸς πέφυκε, διὸ ταύτην χαρμόνως, ἀναμέλψωμεν βοῶντες.

Χαῖρε Παρθένε Μήτηρ Κυρίου· Χαῖρε, πηγὴ ἀκενώτου μύρου.

Χαῖρε ἡ δουλείας τῆς Ἄγαρ λυτρώσασα· Χαῖρε, ἐναντίους ἐχθροὺς ἀπελάσασα.

Χαῖρε ὅτι ἐξωστράκισας τὸν ἀλλόφυλον στρατόν· Χαῖρε, ὅτι τῶν προσφύγων σου προστατεύεις ἐναργῶς.

Χαῖρε ὅτι τοῦ Ὄρους πέλεις σκέπη καὶ τεῖχος· Χαῖρε, ὅτι τοῦ κόσμου εἴης σθένος καὶ κράτος.

Χαῖρε δι᾽ ἧς ἡ χαρὰ ὑπερέλαμψε· Χαῖρε, δι᾽ ἧς ἡ λύπη κατέπαυσε.

Χαῖρε ἁγνὴ ἀσθενῶν λατρεία· Χαῖρε, σεμνὴ μοναστῶν σωτηρία.

Χαῖρε δόξα παγκόσμιος.

Τῇ αὐτῇ ἡμέρᾳ, κατὰ τὴν νέαν Κυριακὴν τῆς τοῦ Θωμᾶ ψηλαφήσεως, μνείαν ποιούμεθα, κατὰ κοινὴν τῶν Πατέρων διάθεσιν, τῆς παραδόξως γενομένης ἀποδράσεως τοῦ ἀλλοπίστου στρατοῦ ἐκ τῶν περιβόλων τοῦ Ὄρους καὶ ἀπαλλαγῆς τῆς ἐκδεκαετοῦς ὠμωτάτης αὐτῶν καταδρομῆς.

Στίχοι

Τέρας νεουργὸν εὐλογῶ τὴν Παρθένον.
Ὡς στρατὸν τὸν ἔκφυλον φροῦδον δεικνῦσαν.
Χάριν πλουτοῦσα δαψιλῆ Κόρη πληροῦ.
Τὰ αἰτήματα τῶν σὲ λιτανευόντων.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Πάσης ἀνάγκης ῥύουσα σοῦ τὴν ποίμνην

Ἐγκαινίησιν ἐχθροὺς ἐξ' Ὄρους ἤλασεν Ἄνασσα.

Ταῖς τῆς Σῆς ἀχράντου Μητρὸς πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Τοῦ Θωμᾶ. Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

»Εἰκόνι λατρεύειν, μουσικῆς συμφωνίας, συγκαλουμένης »λαούς, ἐκ τῶν ᾠδῶν Σιὼν ᾄδοντες, πατρικῶς οἱ Παῖδες »Δαυΐδ· τυράννου ἔλυσαν, τὸ παλίμφημον δόγμα καὶ τὴν φλόγα »εἰς δρόσον μετέβαλον, ὕμνον ἀναμέλποντες· Ὁ ὑπερυψούμενος »τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὡς πρώτη ὑπάρχει, ἡμερῶν καὶ κυρία, ἡ λαμπροφόρος αὕτη, ἐν ᾗ ἀγάλλεσθαι ἄξιον, τὸν καινὸν καὶ θεῖον λαόν· ἐν τρόμῳ φέρει γάρ, καὶ αἰῶνος τὸν τύπον, ὡς ὀγδοὰς τελοῦσα τοῦ μέλλοντος. Ὁ ὑπερυψούμενος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὁ μόνος τολμήσας, τῇ ἀπίστῳ τε πίστει, εὐεργετήσας ἡμᾶς, Θωμᾶς ὁ Δίδυμος· λύει μὲν τὴν ζοφώδη ἄγνοιαν τοῖς πᾶσι πέρασι, τῇ πιστῇ ἀπιστίᾳ· ἑαυτῷ δὲ τὸν στέφανον πλέκει σαφῶς, λέγων· σὺ εἶ Κύριος, ὁ ὑπερυψούμενος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Οὐ μάτην διστάσας, ὁ Θωμᾶς τῇ Ἐγέρσει σου, οὐ κατέθετο, ἀλλ' ἀναμφίλεκτον ἔσπευδε, ἀποδεῖξαι ταύτην Χριστὲ τοῖς πᾶσιν ἔθνεσιν· ὅθεν δι' ἀπιστίας πιστωσάμενος πάντας, ἐδίδαξε λέγειν· Σὺ εἶ Κύριος, ὁ ὑπερυψούμενος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐμφόβως τὴν χεῖρα, ὁ Θωμᾶς τῇ πλευρᾷ σου, τῇ ζωηφόρῳ Χριστέ, ἐνθεὶς ὑπότρομος ἤσθετο, ἐνεργείας Σῶτερ διπλῆς τῶν δύο φύσεων, τῶν ἐν σοὶ ἡνωμένων ἀσυγχύτως, καὶ πίστει ἐκραύγαζε λέγων· Σὺ εἶ Κύριος, ὁ ὑπερυψούμενος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τῆς Θεοτόκου. Ὁ παῖδας ἐκ καμίνου.

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, παρέβλεψας Κύριε, οἷα συμπαθής, τὰ παραπτώματα ἡμῶν, καὶ ἐῤῥύσω δεινῆς περιστάσεως. ἡμᾶς ταῖς τῆς Μητρός σου ἱκεσίαις, Θεὸς ὡς ὑπερένδοξος.



Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον, Δέσποτα Χριστέ, τὴν δὲ οὐράνιον μῦρόν σε κυήσασαν, ἅπασαι, Ὄρους Μοναί, σὲ πλουτοῦσαι θεῖον φρουρόν, ἀσεβῶν δυσωσμίας λυτρούμεθα.

Θανάνου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ξένης τε φυγῆς, τῶν ἀσεβῶν διατριβῆς, ἐν Ἁγίῳ σου Ὄρει θεόνυμφε. Διὸ τὴν Θείαν σου προστασίαν, ὑμνοῦμεν Θεονύμφευτε·

Ὡς ὄντως ἱερὰ καὶ χαρμόσυνος, αὕτη ἡ σωτήριος, θεία ἑορτή, τῆς ἐξ ἡμῶν τῶν ἀθέων ἀποδράσεως, οὖσα ἀνύμνησις, ἐν ᾗ τὸν θεῖον ἱλασμόν, ὡς φῶς ἡμῖν ἡ ἁγνή, πᾶσιν ἐπέλαμψεν.

Καταβασία. **Ὁ παῖδας ἐκ καμίνου.**

Τοῦ Θωμᾶ. Ὠδὴ η΄. Ὁ Εἱρμός.

»Τὸν ἐν φλογὶ πυρός, καιομένης καμίνου, διαφυλάξαντα »Παῖδας, καὶ ἐν μορφῇ Ἀγγέλου συγκαταβάντα τούτοις, »ὑμνεῖτε Κύριον, καὶ ὑπερυψοῦται εἰς πάντας τοὺς αἰῶνας.

Ἐπιποθήσας σου, τὴν χαρμόσυνον θέαν, τὸ πρὶν ἠπίστει ὁ Θωμᾶς· ἀξιωθεὶς δὲ ταύτης, Θεὸν καὶ Κύριόν σε ἐκάλει Δέσποτα· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἀνασχόμενον, τῆς Θωμᾶ ἀπιστίας, καὶ ὑποδείξαντα πλευράν, καὶ τῇ αὐτοῦ παλάμῃ ἀκριβολογηθέντα, ὑμνεῖτε Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Σοῦ τὸ περίεργον, θησαυρὸν κεκρυμμένον, ἡμῖν ἀνέῳξε Θωμᾶ· θεολογήσας γλώσσῃ γάρ, θεοφρουμένῃ, ὑμνεῖτε ἔλεγες, καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Τῆς Θεοτόκου. Αὕτη ἡ κλητή.

Αὕτη ἡ κλιτὴ καὶ ἁγία ἡμέρα, καθ' ἣν ἡμεῖς κροτοῦμεν τῆς βασιλίδος τὸν ὕμνον, ἀνελπίστων λυτὴρ γὰρ ἐγένετο ἡμῖν ἡ πανάμωμος. Διὸ εὐλογοῦμεν, αὐτὴν εἰς τοὺς αἰῶνας.

Δεῦτε μοναστῶν τὰ ἐν Ἄθῳ συστήματα, σὺν πόθῳ εὐχαρίστως τὴν Θεοτόκον Μαρίαν ἀνυμνήσωμεν, ἡμῶν τὴν προστάτιν καὶ φύλακα, τροφὸν ἰατρόν, θησαυρόν τε εἰς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου ἁγνὴ καὶ ἴδε, δεινῶς κατατριβέντας δεκαετοῦς τυραννίδος, Ἰσμαὴλ ἀσεβοῦς, τοῦ ἐξ Ἄγαρ καὶ φυλάττῃς τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Πάτερ παντοκράτορ, καὶ Λόγε καὶ Πνεῦμα μονὰς τὰς ἐν τῷ Ἄθῳ, διαφυλάττοις ἀτρώτους, τῆς ἐχθρῶν δεινῆς ἐπιθέσεως. Εἰς σὲ γὰρ ἐλπίζομεν, καὶ σὲ εὐλογοῦμεν, οἱ ταύταις κατοικοῦντες.

Καταβασία. **Αὕτη ἡ κλητή.**

**Τοῦ Θωμᾶ. Ὠδὴ θ΄. Ὁ Εἱρμὸς.**

»Σὲ τὴν φαεινὴν λαμπάδα, καὶ Μητέρα τοῦ Θεοῦ, τὴν ἀρίζηλον δόξαν, καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων, ἐν ὕ»μνοις μεγαλύνομεν.

Σοῦ τὴν φαεινὴν ἡμέραν, καὶ ὑπέρλαμπρον Χριστέ, τὴν ὁλόφωτον χάριν, ἐν ᾗ ὡραῖος κάλλει ταῖς Μαθηταῖς σου, ἐπέστης μεγαλύνομεν.

Σὲ τὸν χοϊκῇ παλάμῃ, ψηλαφώμενον πλευράν, καὶ μὴ φλέξαντα ταύτην, πυρὶ τῷ τῆς ἀΰλου θείας οὐσίας, ἐν ὕμνοις μεγαλύνομεν.

Σὲ τὸν ὡς Θεὸν ἐκ τάφου, ἀναστάντα Χριστόν, οὐ βλεφάροις ἰδόντες, ἀλλὰ καρδίας πόθῳ πεπιστευκότες, ἐν ὕνοις μεγαλύνομεν.

**Τῆς Θεοτόκου. Φωτίζου, φωτίζου.**

Φαιδρύνου τὸ Ὄρος, τοῦ Ἄθω νῦν τὸ ἱερόν, ἡ γὰρ θεία προστάτις, ἡ ἐν σοὶ πανάμωμος, τὰς καθ᾽ ἡμῶν τοῦ ἀπίστου στρατοῦ, θείᾳ ῥοπῇ ἔλυσεν ἐνέδρας, ἡμῖν εἰρήνην χαρίσασα.

Ὢ! θείας, ὢ! φίλης, ὢ! ὑποσχέσεως τερπνῆς, τῶν Μονῶν τῶν ἐν Ἄθῳ, ἐπηγγείλω πάναγνε, εἶναι προστάτις καὶ φύλαξ φρουρός, ἣν οἱ πιστοὶ ἔχοντες ἐλπίδα, πολλῶν δεινῶν ἐκλυτρούμεθα.

Ὢ πάναγνε κόρη, ὢ Μητροπάρθενε ἁγνή, μὴ ἐλλείπῃς τὸ Ὄρος, τὸ τοῦ Ἄθω Δέσποινα, σκέπουσα, πάντοτε χαριτοῦσα, καὶ τὸν Χριστὸν ἐξιλεουμένη, ὑπὲρ ἡμῶν ἀειπάρθενε.

Καταβασία. **Φωτίζου, φωτίζου.**

Τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν καὶ τὸ

**Ἐξαποστειλάριον τοῦ Θωμᾶ. Ἦχος γ΄.**

**Ὁ οὐρανὸν τοῖς ἄστροις.**

Ἐμῶν μελῶν χειρί σου, ἐξερευνήσας τὰς πληγάς, μή μοι Θωμᾶ ἀπιστήσῃς τραυματισθέντι διὰ σέ· σὺν Μαθηταῖς ὁμοφρόνει, καὶ ζῶντα κήρυττε Θεόν.



Σήμερον ἔαρ μυρίζει, καὶ καινὴ κτίσις χορεύει, σήμερον αἴρονται κλεῖθρα θυρῶν καὶ τῆς ἀπιστίας, Θωμᾶ τοῦ φίλου βοῶντος· Ὁ Κύριος καὶ Θεός μου.

**Τῆς Θεοτόκου ὅμοιον.**

Ἐξεπλάγη εὐπρεπῶς, τῶν μοναστῶν ὁ σύλλογος, ὁρῶν βαρβάρων τὸν στρατόν, ἀπελαθέντα θαμβικῶς καὶ μέγα ἀνεκραύγασε, σὺ μόνη Θεοτόκε, τοῦ Ὄρους βοήθεια.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ Θωμᾶ γ΄. καὶ τῆς Θεοτόκου γ΄.

**Τοῦ Θωμᾶ. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Μετὰ τὴν ἐκ τάφου σου φρικτήν, Ζωοδότα Ἔγερσιν, ὥσπερ σφραγῖδας οὐκ ἔλυσας, Χριστὲ τοῦ μνήματος, οὕτω κεκλεισμένων θυρῶν εἰσελήλυθας, πρὸς τοὺς πανευκλεεῖς Ἀποστόλους σου χαροποιῶν αὐτούς, καὶ εὐθές σου παρεχόμενος, τούτοις Πνεῦμα, δι᾽ ἄμετρον ἔλεος.

Θωμᾶς ὁ καὶ Δίδυμος οὐκ ἦν, ἐνδημῶν ἡνίκα σύ, τοῖς Μαθηταῖς ὤφθης Κύριε· ὅθεν ἠπίστησε, τῇ σῇ Ἀναστάσει, καὶ τοῖς κατιδοῦσί σε, ἐβόα· Εἰ μὴ βάλω τὸν δάκτυλον, εἰς τὴν πλευρὰν αὐτοῦ, καὶ τῶν ἥλων τὰ τυλώματα, οὐ πιστεύω ὅτι ἐξεγήγερται.

Ὡς θέλεις ψηλάφησον Χριστός, τῷ Θωμᾶ ἐβόησε· βάλε τὴν χεῖρα καὶ γνῶθί με, ὀστέα ἔχοντα, καὶ γεῶδες σῶμα· καὶ μὴ γίνου ἄπιστος, ἐπίσης δὲ τοῖς ἄλλοις πιστώθητι, ὁ δὲ ἐβόησεν· Ὁ Θεός μου καὶ ὁ Κύριος, σὺ ὑπάρχεις· δόξα τῇ Ἐγέρσει σου.

Τῆς Θεοτόκου ὁ αὐτὸς. Τῶν **οὐρανίων ταγμάτων.**

Δεῦτε κροτήσωμεν χεῖρας, ὕμνον ἐξᾴδοντες, ἐν τῇ ἀναστασίμῳ, τῆς ὀγδόης τοῦ Πάσχα, ἐν ταύτῃ γὰρ δουλείας βαρβαρικῆς, ἀλλοφύλων ἐρρύσθημεν, τῇ προστασίᾳ τῆς μόνης ὑπερφυῶς, τὸν Σωτῆρα κυησάσης Χριστόν.

Δεῦτε προθύμῳ καρδίᾳ ἀνευφημήσωμεν, τὴν ἄχραντον Παρθένον, τὴν ἡμᾶς ῥυσαμένην, βαρβάρων ὠμοτάτων καταδρομῆς, καὶ εἰρήνην βραβεύσασαν διὰ παντὸς γὰρ παρέ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σταται τῷ Θεῷ, καὶ πρεσβεύει ὑπὲρ πάντων ἡμῶν,

Ὡς θαυμαστά σου τὰ ἔργα τῶν ἀγαθῶν χορηγέ, ὡς θησαυρὸν γὰρ μέγαν, τὴν ἁγίαν παρθένον, τῷ Ὄρει τῷ ἁγίῳ μητέρα τὴν σήν, ἐδωρήσω φιλάθρωπε, διαφυλάττουσαν τοῦτο ἐκ δυσμενῶν, πειρατῶν ἀνεπιβούλευτον.

Δόξα τοῦ Θωμᾶ. Ἦχος πλ. β΄.

Μεθ᾽ ἡμέρας ὀκτώ, τῆς Ἐγέρσεώς σου Ἰησοῦ Βασιλεῦ, μονογενὲς Λόγε τοῦ Πατρός, ὤφθης τοῖς Μαθηταῖς σου, κεκλεισμένων τῶν θυρῶν, τὴν εἰρήνην σου παρεχόμενος· καὶ τῷ ἀπιστοῦντι Μαθητῇ τοὺς τύπους ἔδειξας. Δεῦρο ψηλάφησον τὰς χεῖρας, καὶ τοὺς πόδας, καὶ τὴν ἀκήρατόν μου πλευράν· ὁ δὲ πεισθεὶς ἐβόα σοι· Ὁ Κύριός μου καὶ ὁ Θεός μου, δόξα σοι.

Καὶ νῦν τῆς Θεοτόκου. Ἦχος πλ. α΄.

Ὅπου ἐπισκιάσει ἡ χάρις σου Πανάχραντε, ἐκεῖθεν τῶν ἐναντίων διώκεται ἡ δύναμις, καὶ τόξα τῶν πολεμίων συντρίβονται, φάλαγξ δὲ ἡ δαιμόνιος δειματοῦται, ὥσπερ καὶ σήμερον τῇ κραταιᾷ προστασίᾳ σου, στρατὸν βαρβαρικὸν ἀπεσόβησας, καὶ τῆς αὐτῶν καταδυναστείας ἀπήλλαξας. Ἀλλ᾽ ὦ Παντάνασσα, τὸ ἡμῶν ἐκνίκημα, καὶ τοῦ Ὄρους τὸ περιτείχισμα, μὴ ἐλλίπῃς ἀεί, περιφρουροῦσα ἡμᾶς καὶ σῴζουσα, ἐκ παντοίας κακώσεως, ὡς πάντα ἰσχύουσα. Σὲ γὰρ προστάτιν ἡμῶν κεκτήμεθα, καὶ διὰ σοῦ σωτηρίας τυχεῖν ἐλπίζομεν, Θεοτόκε πανύμνητε καὶ ἀειπάρθενε.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, καὶ ἐκ τοῦ κανόνος τοῦ Θωμᾶ ᾠδὴ γ΄. καὶ τῆς Θεοτόκου ᾠδὴ ς΄.

Ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῆς νέας Κυριακῆς τοῦ Θωμᾶ. καὶ τῆς Θεοτόκου. Ζήτει Νοεμβρίου 21.

**Ἀδελφοί· εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας.**

Εὐαγγέλιον κατὰ Λουκᾶν

**Ἀναστᾶσα Μαριάμ.**



Κοινωνικά

**Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον**
**καὶ**
**Ποτήριον σωτηρίου λήψομαι.**

---

Ἁγνὴ πιστοὺς ἡ σκέπουσα, λογικὸν δῶρον δέξαι.
Καὶ ἐκδυσώπει σὸν υἱόν, τοῦ ἵλεον γενέσθαι.
Πᾶσι πιστοῖς καὶ μονασταῖς, σωτηρίαν εὑρέσθαι.

**Στίχοι ἱκετήριοι.**

Ἄστραψον ἁγνή, αὔγασον σὲ λιτάζω.
Λάμπρυνον καὶ κάθαρον μαρμαρυγαῖς σου.
Ἀλαμπὲς ψυχῶν ἡμῶν Μῆτερ Σωτῆρος.
Καὶ μεγαλεῖα, ἃ σοὶ Θεὸς δεδράκει.
Ἄδομεν οἱ ξύμπαντες ἀλήκτῳ φράσει.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΟΡΑΣΙΣ

Παρὰ τῆς Θεομήτορος, ἀποκαλυφθεῖσα εἴς τινα ἀδελφὸν σχολάζοντα καὶ ἠρεμοῦντα ἐπὶ ταῖς τῆς θείας καὶ ἱερᾶς προσευχῆς ἀναβάσεσιν, ὅτε τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ἱερᾶς Βασιλικῆς Μονῆς τοῦ Ἁγίου Παύλου ἐτελοῦντο εἰς τιμὴν τῆς τοῦ Σωτῆρος ἑορτῆς τεσσαρακονθημέρου Ὑπαπαντῆς, καὶ τῆς ἀειπαρθένου αὐτοῦ Μητρὸς θαυματουργοῦ εἰκόνος τῆς Μυροβλητίσσης τοῦ νεοδομηθέντος ναοῦ τοῦ καθολικοῦ.

**Εὐλόγησον Πάτερ.**

Ἀδελφός τις ἡσυχαστής, διστάζων ἦν ἐπὶ τῇ μεταῤῥυθμίσει τῆς τοῦ Ἁγίου Παύλου ἱερᾶς καὶ Βασιλικῆς Μονῆς ἀπὸ ἰδιοῤῥυθμίας εἰς Κοινόβιον. Ἐὰν δηλονότι εὐπρόσδεκτυς ἦν πρὸς τὸν Θεὸν ἡ τοιαύτη ἀπροσδοκήτως ἀθρόα μεταβολή· ἐξαιρέτως δὲ θεωρῶν τοὺς μοναχοὺς τοὺς ἐν τῇ αὐτῇ μονῇ ἀσκουμένους διαδίδοντας ἐλευθέρως καὶ ἀφειδῶς εἰς τοὺς δεομένους τὰ τοῦ σώματος ἀναγκαῖα, τῆς Μονῆς εὑρισκομένης εἰς ἐσχάτην ἀπορίαν, καὶ χρέους ὑπερόγκου καταντλουμένης διὰ τὰς ἀλλεπαλλήλους διατρεχούσας ταραχὰς καὶ ἐπιφοράς, διελογίζετο ἐν ἑαυτῷ καὶ ἔκρινεν, ἵνα ἀπελθὼν ἀναγγείλῃ τῷ ἡγουμένῳ τὸν τοιοῦτον ἐνδιάθετον αὐτοῦ λογισμόν.

Ἡ δὲ Πανύμνητος Δέσποινα ἀνακόψαι θέλουσα ἐξ αὐτοῦ τὸν τοιοῦτον δισταγμόν, καὶ πληροφορῆσαι ὅτι αὐτὴ προνοεῖ καὶ ἐξοικονομεῖ εἰς πάντα τὰ χρειώδη τῆς μονῆς, καὶ ἀναγκαῖα εἰς διατροφὴν τῶν ἀδελφῶν, καὶ ὅτι κατ' εὐδοκίαν Θεοῦ καὶ βούλησιν ἐσυστήθη ἡ Κοινοβιακὴ διαγωγή, καὶ ὁ ναὸς ἐπ' ὀνόματι αὐτῆς ἐτιμήθη καθὼς ἀπ' ἀρχῆς ὁ θεῖος Παῦλος εἰς ὄνομα αὐτῆς ἐτίμησε καὶ ἐναπέθετο τὸν ὑπ' αὐτοῦ δομηθέντα ναόν, ἔδειξεν αὐτῷ τὴν ἑπομένην ὀπτασίαν, καὶ ἐπληροφόρησεν αὐτὸν βεβαίως, ὡς ὧδε σημειοῦται, εἰς ἀΐδιον μνήμην, καὶ πληροφορίαν αὐτοῦ τε καὶ τῶν περὶ τούτων διασταζόντων. Ἔχει δὲ οὕτως.

Ὁ ἀδελφὸς οὗτος νοσῶν καὶ κατάκοιτος εὑρισκόμενος ἐν τῇ κέλλῃ αὐτοῦ ἐλθὼν εἰς ἔκστασιν εἶδε τὸν σατανᾶν μαινόμενον, καὶ τρίζοντα τοὺς ὀδόντας αὐτοῦ κατὰ τῆς Μονῆς, διὰ τὴν ἐξ ἰδιοῤῥυθμίας εἰς κοινόβιον μεταῤῥύθμισιν αὐτῆς,



καὶ φθονῶν εἰς τὴν τῶν ἀδελφῶν ψυχικὴν σωτηρίαν ἡτοίμαζε παγίδας καὶ βρόχους κατ' αὐτῶν καταστρέψαι θέλων αὐτούς, καὶ διεγείρας σκάνδαλα καὶ ταραχὰς κατά τε τοῦ ἡγουμένου καὶ τῶν ἀδελφῶν, ὥστε εἰ δυνατὸν ἦν αὐτῷ ἐξ ὁλοκλήρου ἀφανῆσαι αὐτοὺς καὶ τὸ κοινόβιον καταστρέψαι. Ταῦτα ἰδὼν ὁ ἀδελφός, ἤρχετο πολλάκις παρηγορῶν τὸν ἡγούμενον, καὶ παραθαῤῥύνων αὐτὸν ἵνα ἔχῃ πρὸς τὸν Θεὸν τὰς ἐλπίδας του, καὶ ἡ Παντάνασσα Δέσποινα Θεοτόκος, ἡ πρὸς τὸν υἱὸν αὐτῆς τὰς εὐχὰς τῶν πιστῶν προσφέρουσα πάντοτε, θέλει νὰ ἐξοικονομίσει ὅλα καὶ νὰ διασκεδάσῃ τὰ σκάνδαλα, καὶ καταπραΰνῃ τὰς ταραχὰς τῶν ἀντικειμένων, καὶ νὰ κυβερνήσῃ πηδαλιουχοῦσα τὸ ἱερὸν αὐτῆς καταφύγιον.

Ὅτε δὲ τὰ ἐγκαίνια τοῦ ἱεροῦ ναοῦ τῆς ἱερᾶς ταύτης Μονῆς ἐτελοῦντο, ὁ ῥηθεὶς ἀδελφὸς εὑρίσκετο εἰς βαθυτάτην ἀσθένειαν κατακείμενος κλινήρης ἐν τῇ κέλλῃ αὐτοῦ, καὶ μὴ δυνάμενος ἐλθεῖν συνεορτάσαι καὶ αὐτὸς τὴν τῶν ἐγκαινίων ἱερὰν πανήγυριν, ἔμενεν ἡσυχάζων μόνος του. Ἐτελοῦντο δὲ τὰ ἐγκαίνια κατὰ τὴν τριακοστὴν πρώτην τοῦ Δεκεμβρίου μηνός. Ὁ γοῦν κατακείμενος ἀδελφός, ἐθεώρει ἐν ἐκστάσει, ὅτι εὑρίσκετο παρὼν εἰς τὰ ἐγκαίνια, καὶ ἑώρα Παρθένον τινὰ σεμνοπρεπεστάτην καθιδρυμένην ἐν τῷ ἱερῷ συνθρόνῳ τῷ ἔνδον τοῦ ἁγίου βήματος, κρατοῦσα εἰς τὰς ἀγκάλας αὐτῆς καὶ βρέφος ἀκτινοβολοῦν ὡς ἀστέρα, πολύφωτον, καὶ ὑπὲρ τὸν ἥλιον ἀπαστράπτοντα· τὸ ὁποῖον βρέφος ὡς υἱὸς ἐκράτει εἰς τὰς χεῖρας αὐτοῦ σκῆπτρον βασιλικόν, καὶ εἰς αὐτὴν τὴν ὡραιοτάτην παρθένον καθιερώθη ὁ ναὸς καὶ αὕτη ἀποκατέστη Κυρία καὶ ἔφορος, προστάτις καὶ κηδεμὼν τοῦ τε ναοῦ καὶ ὅλης τῆς Μονῆς ταύτης.

Κατὰ δὲ ὥρας τινὰς ἐφαίνετο ἐξερχομένη τοῦ βήματος συνεργοῦσα εἰς τὴν ὑπουργίαν τῶν ἱερῶν ἐγκαινίων· καὶ ἄλλοτε μὲν περιερχομένη ἵστατο εἰς τὸν δεξιὸν χορόν, ἄλλοτε δὲ εἰς τὸν ἀριστερὸν ρυθμίζουσα τοὺς ψάλλοντας καὶ ὑμνῳδοὺς τῶν ἱερῶν ᾀσμάτων καὶ τοὺς διακονοῦντας ἐνισχύουσα· ἄλλοτε δὲ πάλιν περιερχομένη τὸν θεῖον ναὸν ἐν ἵλεῳ ὄμματι ἐθεώρει τοὺς στύλους καὶ κίονας καὶ βάσεις στερεοῦσα καὶ πηγνύουσα αὐτοὺς εἰς μόνιμον στάσιν, καὶ αὖθις εἰσερχομένη εἰς τὸ βῆμα συνεργοῦσε τῷ Ἀρχιερεῖ καὶ τοῖς Ἱερεῦσιν εἰς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὴν κατασκευὴν τοῦ μύρου καὶ μιγμάτων τῶν ἐγκαινίων, καθυπουργοῦσα καὶ διορίζουσα μυστικῶς ὡς Κυρία τοῦ ἔργου καὶ τοῦ οἴκου αὐτῆς.

Ταῦτα μὲν ἐθεώρει τὸ δεύτερον εἰς τὴν τελετὴν τῶν ἱερῶν ἐγκαινίων ὁ ῥηθεὶς ἀδελφός.

Κατὰ δὲ τὴν ἑορτὴν τῆς Ὑπαπαντῆς, ἐν ᾗ ἐτελεῖτο κατὰ πρῶτον ἡ πανήγυρις τοῦ νεοεγκαινιασθέντος Ναοῦ, καὶ ἡ ἑορτὴ τῆς Μονῆς, ἀσθενὴς πάλιν ὁ αὐτὸς εὑρισκόμενος, καὶ μὴ δυνάμενος οὐδὲ τότε ἐλθεῖν εἰς τὴν πανήγυριν τοῦ συνεορτάσαι, ὑπὸ τῆς ἀσθενείας ὀχλούμενος, καὶ καταβαρυνόμενος οὐκ ᾐσθάνετο πυσῶς ποῦ εὑρίσκετο· καὶ ἐλθὼν εἰς ἔκστασιν ἐθεώρει ὅτι εὑρίσκετο παρὼν εἰς τὸν ναὸν νοερῶς εἰς τὴν ἀγρυπνίαν· καὶ ἐθεώρει τὴν αὐτὴν Παρθένον καθεζομένην ἐπάνωθεν τοῦ ἱεροῦ συνθρόνου τοῦ ἔσωθεν τῆς κόγχης τοῦ ἱεροῦ Βήματος μετὰ τοῦ υἱοῦ αὐτῆς, ὃν ἐν χερσὶ κατέχουσα, εἰς τὰς ἀγκάλας αὐτῆς ἔφερεν, ἐνδεδυμένη κρυσταλλοειδὲς ἔνδυμα ἔσωθεν, καὶ ἐπιμαφόριον πορφυροῦν παρθενικὸν καὶ ἐστολισμένη καθὼς ἐν τῇ ἱερᾷ αὐτῆς εἰκόνι δείκνυται.

Ταύτην οὕτω βλέπων καὶ ἐκπληττόμενος, ἰδοὺ ὁρᾷ, καὶ ἀποβαλλοῦσα τὸ λαμπρὸν αὐτῆς πορφυροῦν περιβόλαιον, ἀπέθετο αὐτὸ ἐπάνωθεν τοῦ ἱεροῦ συνθρόνου, καὶ τὰς χεῖρας αὐτῆς ὡς πρὸς ὑπηρεσίαν εὐτρεπίσασα, ἐξῆλθε τοῦ βήματος περιερχομένη καὶ συμπράττουσα εἰς τὴν ἀγρυπνίαν καθ᾽ ὅλα, τοὺς μὲν ἱερεῖς καὶ διακόνους εὐλογοῦσα ἔσωθεν τοῦ βήματος, τοὺς δὲ ψάλτας καὶ ἐκκλησιαστικοὺς καὶ κανονάρχας ῥυθμίζουσα, καὶ διατάττουσα, καὶ πάντα εὐσχημόνως τελεῖν ἄχρι τέλους τῆς ἀγρυπνίας οὕτω διακελεύουσα. Εἶτα καὶ ἐν τῇ λιτῇ συνακολουθοῦσα καὶ προπορευομένη, τοῖς συμπορευομένοις συνήδετο καὶ συνέψαλλεν. Ὡσαύτως καὶ εἰς ὅλην τὴν λειτουργίαν τὰ αὐτὰ ἔσωθεν τοῦ Βήματος τοῖς ἱερεῦσι, καὶ τῷ Ἀρχιερεῖ συμπράττουσα μᾶλλον.

Μετὰ δὲ τὴν τελείωσιν τῆς ἱερᾶς Μυσταγωγίας συνεξῆλθε τοῖς ἱερεῦσι καὶ τῷ Ἡγουμένῳ, καὶ εἰσελθοῦσα εἰς τὴν κοινὴν τράπεζαν, περιήρχετο διορίζουσα τοὺς ἐκεῖ ἑτοιμάζοντας διακονητὰς εἰς τὴν παράθεσιν τῶν ἐδεσμάτων, καὶ συνυπηρετοῦσα σεμνοπρεπῶς μὲ τοὺς ὑπηρέτας ἕως οὗ πάντες οἱ συνελθόντες εἰς τὴν πανήγυριν ἔφαγον καὶ ηὐφράν-



θησαν, ἀδελφοὶ οἰκεῖοι τῆς Μονῆς καὶ ξένοι, εἰς ὅλους διακονοῦσα ἐπιμελῶς καὶ εὐλογοῦσα καὶ παρέχουσα αὐτοῖς χάριν καὶ εὐλογίαν πνευματικήν, ἐπισκεπτομένη αὐτοὺς μετὰ μεγάλης προθυμίας, ἐπιμελουμένη ἅπαντας τοὺς παρευρεθέντας.

Μετὰ δὲ τὸ ἐξελθεῖν τοὺς ἀδελφοὺς ἐκ τῆς τραπέζης, ἐξελθοῦσα ἡ αὐτὴ παρθένος καὶ Βασίλισσα πρὸς τὴν θύραν τὴν ἔξωθεν τῆς Μονῆς, ἐπεσκέψατο τοὺς ἐκεῖσε εὑρισκομένους καὶ ἀνακειμένους ἐνδεεῖς πτωχοὺς ζητούλους, καὶ ἠλέησε καὶ αὐτοὺς καὶ παρομοίως ηὐλόγησε· καὶ ὡς Μήτηρ οὖσα τοῦ πρᾳοτάτου Ἰησοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γνωρίζουσα τὰς ἐννοίας καὶ βουλὰς τῶν καρδιῶν ἑνὸς ἑκάστου αὐτῶν· πρὸς μὲν τοὺς ἐναρέτους καὶ ἀγαθοὺς τε καὶ ἱλαροὺς τῇ καρδίᾳ, ἱλαρὸν καὶ εὐμενὲς εἶδος ἐδείκνυε, πρὸς δὲ τοὺς ῥαθύμους καὶ ἀμελεῖς, σοβαρὸν καὶ πρὸς μετάνοιαν προτρεπτικὸν σχῆμα διέννευεν. Τούτων οὖν οὕτω γενομένων, ἡ μὲν Κυρία Θεοτόκος εἰς τὴν τράπεζαν ὑπέστρεψεν, ἔνθα οἱ διακονηταὶ τῆς τραπέζης καὶ μάγειροι ἐκάθησαν τοῦ φαγεῖν, καὶ σὺν αὐτοῖς καὶ ὁ ὁρῶν τὴν ὀπτασίαν συνεκάθησε· καὶ ἰδοὺ ἡ Κυρία Θεοτόκος ἦλθεν ἵνα καὶ εἰς αὐτοὺς ὑπηρετήσῃ προσφιλῶς. Τότε θεία χάρις ἐνσκήψασα εἰς τὴν καρδίαν τοῦ ὁρῶντος ταῦτα, ἐγνώρισε σαφέστατα ὅτι αὐτὴ ἦν ἡ Δέσποινα τοῦ παντὸς Θεοτόκος, τὴν ὁποίαν ἕως τότε δὲν ἐννόησεν ὅτι νὰ ἦτον ἡ Θεοτόκος καὶ ὅτι αὐτὴ ἦν ἡ ταῦτα τὰ ὡς ὁραθέντα δηλώσασα, καὶ νοητοῖς ὀφθαλμοῖς ἐθεάσατο· ὅθεν παρευθὺς ἐγερθεὶς ἐκ τοῦ τόπου οὗ ἐκάθητο, πεσὼν αὐτὴν προσεκύνησε λέγων αὐτῇ· Κυρία μου καὶ Θεοτόκε Δέσποινα, μὴ γένοιτο διακονηθῆναι με παρὰ σοῦ, ἀλλ᾽ ὡς χρεὼν μοι μᾶλλον ἐγὼ ὁ ἀχρεῖος δοῦλός σου ὑπηρετήσω· καὶ παυσάμενος τοῦ λαλεῖν, ἀπελθὼν ἔλαβεν ἀνὰ χεῖρας αὐτοῦ τρυβλίον πολύτιμον, τὸ ὁποῖον ἴσως νεύσει τότε τῆς Θεοτόκου εὑρέθη ἐκεῖ, καὶ βαλὼν ἐν αὐτῷ ἰχθύας δύο ὀπτούς, καὶ παρέθεσεν εἰς τὴν τράπεζαν, προτρέπων καὶ ἱκετεύων τὴν Δέσποιναν ἵνα καθίσῃ μετ᾽ αὐτοῦ τοῦ φαγεῖν· ἡ δὲ εἶπεν αὐτῷ· Ἐγὼ οὐ τοιαύτην βρῶσιν ἐσθίω, ἀλλ᾽ οὐδὲ ὁ υἱός μου. Πλὴν προσκληθεῖσα εἰς τὴν πανήγυριν ταύτην, διὰ τὴν εἰς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐμὲ καθιέρωσιν, τοῦ ναοῦ μου τούτου τοῦ θείου, ἐνίσχυσα τοὺς κοπιάσαντας, συμπράξασα μετ' αὐτῶν εἰς τὴν τῶν ξένων δεξίωσιν ὅτι μεμάθηκα παρὰ τοῦ ἐμοῦ υἱοῦ καὶ Θεοῦ, ὡς αὐτὸς μὲ ἐδίδαξεν, ἵνα τοὺς δοξάζοντάς με ἀντιδοξάσω, καὶ τοὺς ἐμὲ τιμῶντας ἀντιτιμῶ, καὶ τοῖς εὐχομένοις, εὐχὴν παρέχω, καὶ πρὸς τοὺς εἰς ἐμὲ δεομένους, εὐλογίαν καὶ χάριν ἐπιβραβεύω.

Ταῦτα ἡ Δέσποινα εἰποῦσα νουθετοῦσα τὸν ἀδελφὸν ἐκεῖνον καὶ διδάσκουσα, ἐπάρασα τὰς ἁγίας αὐτῆς χεῖρας εἰς ὕψος, αἵτινες θείου φωτὸς πεπλησμέναι οὖσαι, ἐφεγγοβόλουν ὡς ἀστέρες πολύφωτοι ἐξαστράπτουσαι, καὶ οὕτως εὐχηθῆναι τὴν Μονήν, καὶ τὸν Ἡγούμενον καὶ τοὺς ἀδελφοὺς εὐλογήσασα, διεχύθη φῶς ἄϋλον ἐκ τῶν ἀχράντων αὐτῆς χειρῶν, καὶ περιέλαμψεν ἅπαντας, ὁ ὁποῖος φωτισμὸς καὶ λάμψις εἰσελθὼν εἰς τὰ αἰσθητήρια τῆς ψυχῆς τοῦ ἀδελφοῦ ἐκείνου, ἐνέπλησεν αὐτὸν χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς, καὶ ἠνοίχθησαν οἱ ὀφθαλμοὶ τῆς ψυχῆς αὐτοῦ, καὶ ἠλλοιώθη θείαν ἀλλοίωσιν καὶ εὐθέως εἰς οὐρανοὺς ἀναπτᾶσα, ἀπῆλθεν ἐξ ὀφθαλμῶν αὐτοῦ. Καὶ τότε ἐλθὼν εἰς ἑαυτὸν ὁ ἀδελφὸς ὁ ταῦτα ἰδών, ἔγνωκεν ὅτι ὅρασις ἦν τὰ γενόμενα· καὶ τότε μὲν ἐσιώπησεν, καὶ οὐκ ἤθελεν ἀναγγεῖλαι ταῦτα καὶ ἵνα μὴ ὡς πλάνη, καὶ φάσμα ἤθελε δόξῃ τοῖς ἀκούουσιν αὐτά, καὶ γελοῖα κριθῶσι παρὰ τῶν δισταζόντων καὶ ἀμφίβολα. Ἀλλ' ἐπειδὴ καὶ ἡ πίστις ἣν εἶχεν πρὸς τὴν Θεοτόκον, κατέπεισεν αὐτὸν ὅτι ἦσαν ἀληθῆ καὶ βέβαια, καὶ ἔσωθεν ἡ συνείδησις ἐβίαζεν αὐτὸν τοῦ ἀναγγεῖλαι ταῦτα τοῖς ἀδελφοῖς καὶ ἐξαιρέτως ὁρῶν τὸν Ἡγούμενον τῆς Μονῆς ἀθυμοῦντα, καὶ εἰς ἀπορίαν εὑρισκόμενον, διὰ τὰς συνεχεῖς θλίψεις καὶ στενοχωρίας τῶν παρεμπιπτόντων αὐτῷ πειρασμῶν τῶν ἐκ συνεργείας τοῦ πονηροῦ ἐπισυμβαινόντων αὐτῷ, ἀπελθὼν ἀνήγγειλεν εἰς αὐτὸν ἅπαντα τὰ εἰς αὐτὸν ὁραθέντα. Ὁ δὲ ἡγούμενος ἀκούσας αὐτά, καὶ πάντες οἱ σὺν αὐτῷ φιλάρετοι, καὶ εὐλαβεῖς ἀδελφοί, ἔδωκαν δόξαν τῷ Θεῷ, καὶ εὐχαριστίαν πρὸς τὴν Ὑπερύμνητον Δέσποιναν τὴν προμήθειαν καὶ τροφόν, καὶ κυβερνήτιν τῆς Μονῆς ταύτης, ἀνέπεμψαν δὲ δόξαν εἰς αὐτήν, ἥτις προνοουμένη τῆς οἰκείας ποίμνης, τοιαῦτα θαυμάσια,



καὶ ἀποκαλύψεις ὑπερφυεῖς ἔδειξε, πρὸς στηριγμὸν καὶ πληροφορίαν τῶν κλονουμένων ὡς τὰ αἰτήματα τῶν δούλων αὐτῆς πληροῦσα, καὶ τὰς ὑπὸ τοῦ πονηροῦ ἐπινοίας πρὸς καταστροφὴν τῶν ἀδελφῶν τῆς ποίμνης ἐνεργουμένας σκεδαννύουσα, καὶ τοὺς ἐγειρομένους πειρασμοὺς διαλύουσα καὶ τοὺς μετὰ πίστεως καὶ εὐλαβείας αὐτῇ δουλεύοντας, καὶ τῷ Υἱῷ αὐτῆς εὐαρεστοῦντας δι' ἐναρέτου πολιτείας, πρὸς οὐράνιον τρίβον ἰθύνουσα, καὶ πρὸς ἄληκτον εὐφροσύνην καὶ θυμηδίαν μετὰ πότμον κατασκηνοῦσαν.

## ΕΥΧΗ ΠΡΟΣ ΤΗΝ ΘΕΟΤΟΚΟΝ

Σὺ δὲ Πανύμνητε Δέσποινα, ἡ ἀσυγκρίτως κατ' ἐξοχὴν ἐξαίρετος πασῶν τῶν Βασιλίδων Βασίλισσα καὶ Παντάνασσα, ἡ τιμιωτέρα πάντων ἀληθῶς καὶ κυρίως, καὶ ἀνωτέρα τῶν ποιημάτων, Νύμφη ἡλιοστάλακτε τοῦ Ἀνάρχου Θεοῦ καὶ Πατρὸς Θεοκεκοσμημένη, καὶ Μήτηρ τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ ἀνάρχως ἐκλελεγμένη. Παντευλόγητε Θεοτόκε Μαρία· φύλαττε καὶ σκέπε καὶ συντήρει ἡμᾶς ἐκ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου καὶ ῥάντιζε ἡμᾶς διὰ παντὸς μὲ τοὺς εὐωδεστάτους ἀειθαλλεῖς ἀνθούς, πρὸς τὸν Θεὸν ὑπὲρ ἡμῶν εὐπροσδέκτοις πρεσβείαις σου καὶ πότιζε ἡμᾶς διηνεκῶς μὲ τὰ ἐπιάκρουνα καὶ ζωοῤῥυτά σου νάματα. Λάμπρυνε ἡμᾶς διὰ παντὸς μὲ τὰς ἀκτινοβόλους λάμψεις τῶν χαρίτων σου· εἰς σὲ γὰρ ἔχομεν ἅπαντες μετὰ Θεὸν ἅπασαν ἡμῶν τὴν ἐλπίδα, καὶ ὡς Πύλη τοῦ οὐρανοῦ, ἄνοιξον ἡμῖν μετὰ τήνδε τὴν ζωήν, καὶ δέξου μας εἰς τὴν δόξαν καὶ Βασιλείαν τοῦ Υἱοῦ σου, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἰωσὴφ τοῦ Τλήμονος πρώην Τυρνόβου ἔπη καὶ λόγοι, καὶ διδάγματα ταῦτα, ψυχῶν τροφή, τὸ χρῆμα, λειμὼν ἡδύνων, νέμων χαρίτων, χῶρος ἀνθῶν ἀνθέων, ἐν ἣν Γεωργὸς ἡ χάρις τοῦ Πνεύματος, δρέπεστε καρπὸν τὴν βίβλον ταύτην πάντες.

(Συνέχεια ἐκ τοῦ προηγουμένου τεύχους)

## Κατὰ τῶν φιλοχρύσων

Εἰ φιλεῖς χρυσόν, οὐ φιλεῖς Χριστόν· εἰ δὲ Χριστὸν οὐ φιλεῖς, φιλεῖς δὲ χρυσόν, ὅρα τίνι σε ὁ τύραννος ἐξομοιοῦσθαι παρασκευάζει. Ἐκείνῳ τῷ μαθητῇ μέν, ἀλλ' ἀπίστῳ φίλῳ, ἀλλ' ἐπιβούλῳ φανέντι, κακῶς εἰς τὸν κοινὸν Δεσπότην ἐμπαροινήσαντι, καὶ ἀθλίως ἐκπεσόντι πίστεως ἅμα, καὶ τῆς πρὸς ἐκεῖνον ἀγάπης, καὶ εἰς βυθὸν ἐγκυβιστήσαντι ἀπογνώσεως· οὗ σὺ δεδιὼς τὸ ὑπόδειγμα φεῦγε χρυσόν, ἐμοὶ πειθόμενος, καὶ τὴν τούτου φιλίαν, ἵνα δυνηθῇς κερδῆσαι Χριστόν, ἐν τῷ φιλεῖν σε αὐτόν· εἶδ' οὖν, ἀλλ' οἶδας τὸν τόπον τοῦ ἐκπεπτωκότος, τὸν ἴδιον.

Τρεῖς οἶδεν ὁ λόγος καταστάσεις τοῦ βίου· σαρκικήν, ψυχικήν, καὶ πνευματικήν· τούτων ἑκάστη, τὴν οἰκείαν ἔχει διάθεσιν τῆς ζωῆς διακεκριμένην πρὸς ἑαυτήν, καὶ τῶν ἄλλων ἀνόμοιον.

Ἡ σαρκικὴ τοῦ βίου κατάστασις, ὅλη καθόλον, πρὸς ἡδονὰς καὶ ἀπολαύσεις τῆς παρούσης ζωῆς κατογίνεται, μηδέν, ἢ ἀπὸ τῆς ψυχικῆς καταστάσεως, ἢ ἀπὸ τῆς πνευματικῆς πρὸς ἑαυτὴν ἔχουσα· ἢ κἂν ὅλως προσκτήσασθαι βουλομένη. Ἡ δὲ ψυχική, μεθόριός τις οὖσα κακίας καὶ ἀρετῆς, πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν καὶ ῥῶσιν ὁρᾷ καὶ πρὸς τὸν ἔπαινον τῶν ἀνθρώπων· ἐπίσης τούς τε πόνους ἀποσειομένη τῆς ἀρετῆς, καὶ τὰς πράξεις φέρουσα τῆς σαρκός, μὴ προσκειμένη κακίᾳ ἢ ἀρετῇ, διὰ τὰς ἐν αὐταῖς ἀντιθέτους αἰτίας· ἀρετῇ μὲν διὰ τὸ τραχὺ ταύτης ὁμοῦ καὶ ἐπίπονον· κακίᾳ δὲ διὰ τὸ μὴ προσαπολέσαι τοὺς τῶν ἀνθρώπων ἐπαίνους. Ἡ δὲ πνευματικὴ τοῦ βίου κατάστασις τούτων μὲν οὐδὲν ἔχειν αἱρεῖται, οὔτε πρὸς οὕτω κακὰ καταγίνεσθαι τὰ ἀμφότερα· ἀλλ' ὅλη δι' ὅλου ἐλεύθερός ἐστι, ταύτης κἀκείνης πτέρυξι περιηγυρωμέναις ἀγάπης καὶ ἀπαθείας ὑπεριπταμένη· τῶν ἀμφοτέρων, μήτε πράττουσά τι τῶν ἀπηγορευμένων, καὶ τὴν ἀργίαν φεύγουσα τῶν καλῶν.



## Ὅτι πάνυ ῥαδίως φέρομεν τὰ λυπηρά.

Ὁ μὴ θαυμάζων τὰ παρόντα πάντως τὰ μέλλοντα θαυμάζει· ὅταν δὲ διηνεκῶς ταῖς περὶ τῶν μελλόντων ἐννοίαις ἐνδιατρίβωμεν, τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν ἀθανασίαν, τὴν ἀκήρατον δόξαν ἐκείνων, τὴν μετ' ἀγγέλων χορείαν· τὴν μετὰ Χριστοῦ διατριβήν, τὴν ζωὴν τὴν ἀτελεύτητον, τὴν πάσης ὀδύνης ἀπηλλαγμένην ζωὴν ἀναλογισώμεθα πρὸς ἑαυτούς, καὶ ὅτι δάκρυα καὶ ὀνείδη καὶ λοιδορίας, καὶ θάνατος καὶ ἀθυμία καὶ πόνος καὶ γῆρας καὶ νόσος καὶ ἀρρωστία καὶ πενία, συκοφαντία, καὶ χηρεία, καὶ κατάγνωσις, καὶ κόλασις, τιμωρία, καὶ εἴτι ἄλλο κατὰ τὸν παρόντα βίον ἐστὶ λυπηρὸν καὶ ἀηδές· ταῦτα ἅπαντα ἀπελήλαται· καὶ ὅταν οἴσωμεν ταῦτα καλῶς, ἀντεισενήνεγκται ἡμῖν ἀντὶ τούτων, εἰρήνη, ἀγάπη, χαρά, δόξα, τιμή, λαμπρότης· φωτισμός· ἁγιασμός· τὰ ἄλλα ἅπερ οὐδὲ λόγος παραστῆσαι δυνήσεται· καὶ τότε λέγομεν μετὰ τοῦ ψαλμῳδοῦ, πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ σου, ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς·—ὁ μηδὲν ἀπάγειν μετὰ θάνατον δυνηθείς, πάντων ἔσται πενέστερος, κἂν τὰ πάντα ᾖ κεκτημένος· ἀποθώμεθα οὖν τῶν ὀνομάτων τὴν ἀπάτην, καὶ ἀντιλάβωμεν τῶν πραγμάτων τὴν ἀλήθειαν οὐ γὰρ ἐν ὀνόματι τὰ πράγματα ἕστηκεν, ἀλλὰ τῶν πραγμάτων φύσεις τὰ ὀνόματα κατὰ τὴν οἰκείαν ὑπόστασιν πλάττουσιν· ὁ μὲν ἅγιος καλεῖται ἀλλ' οὐκ ἔστι. Μέγα μὲν καὶ τὸ μένειν θεραπεύοντας τὸν Θεόν, καὶ μὴ ἀποπηδῆσαι πρὸς ἕτερον· τῷ δὲ πολλῷ μεῖζον, τὸ συνεχῶν θανάτων καὶ καθημερινῶν κινδύνων ἐπικειμένων διατηρεῖν τὴν τοιαύτην ἀγάπην μέγα ὄντως φιλοσοφίας τὸ εἶδος τοῦτο· ᾧ καὶ Παῦλος κέχρηται τὰς νιφάδας τῶν ἀποστολικῶν κινδύνων ἀπαριθμούμενος ἐν τῇ πρὸς Ρωμαίοις.

— Οὐκ ἀγαθὴ ἡ ἀκοή, ἣν ἐγὼ ἀκούω περί σου· τρυφὴ καὶ μέθη πηγαὶ πορνείας· ἂν τῇ ἀνέσει μὴ χρήσῃ εἰς δέον ἐπάγει σοι θλῖψιν.

— Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ πρῶτος ἀρχιερεὺς Θεὸς ὢν ὑπερένδοξος ἄπειρος, καὶ ἀθάνατος, ἅπαξ καταδεξάμενος γενέσθαι δι' ἡμᾶς ἄνθρωπος, διὰ τῶν εὐτελῶν ἁπάντων διῆλθεν· οὔτε μητέρα βασιλίδα ἐπιγραψάμενος, οὔτε ἐν καιρῷ τῶν σπαργάνων ἐπὶ κλίνης τεθεὶς χρυσῆς, ἀλλ' ἐν φάτνῃ πενιχρᾷ· οὔτε ἐν οἰκίᾳ τραφεὶς πολυτελῆ· ἀλλ' ἐν εὐτελεῖ τέκτονος δωματίῳ. Καὶ λαβὼν πάλιν μαθητάς, οὐ ῥήτορας καὶ φιλοσόφους καὶ βασιλέας ἔλαβεν, ἀλλ' ἁλιέας, καὶ τελώνας· καὶ τὸν βίον του λιτὸν καὶ ἀπέριττον μετῄει· οὔτε οἰκίαν ἔχων, οὔθ' ἱμάτια περιβεβλημένος πολυτελῆ· οὔτε τραπέζης ἀπολαύων τοιαύτης, ἀλλὰ παρ' ἑτέρων τρεφόμενος, ὑβριζόμενος, καταφρονούμενος, ἐλαυνόμενος, διωκόμενος ἅπαντα ποιῶν ἐκ πολλῆς τῆς περιουσίας τὸν τύφον πατεῖν τὸν ἀνθρώπινον (οὐαὶ ἡμῖν τοῖς σκώληξιν).

(Ἡ συνέχεια εἰς τὸ προσεχὲς τεῦχος)

3

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΙΩΣΗΦ ΠΡΩΗΝ ΤΥΡΝΟΒΟΥ

# ΚΑΝΩΝ ΕΙΣ ΤΑΣ ΑΙΡΕΣΕΙΣ

(Ἐκ τοῦ Λαυριωτικοῦ κώδικος λ 197)

οὗ ἡ ἀκροστοιχίς : Ὕστατος ἦχος, ὕστατον πλέκει μέλος

**Ὠδὴ α΄ ἦχος πλ. δ.΄ Ἁρματηλάτην Φαραὼ**

**Ἄρειος**

Ὑπεραγία ἡ Θεὸν κυήσασα, τὸν συμφυᾶ τῷ Πατρί, μονογενῆ λόγον, σύγχρονον ὁμότιμον, κἂν ὁ παράφρων Ἄρειος, κτίσμα τοῦτον ἐφρόνει, πατρὸς οὐσίας ἀλλότριον, τοῦτον ἐκδυσώπει, σωθῆναι με !

**Σαβέλλιος**

Σὺ ὑπεδέξω ἐν γαστρὶ παντάνασσα, τρισυποστάτου μιᾶς, ὡς ἀληθῶς ἕνα, τὸν υἱὸν θεότητος, κἂν Σαβέλλιος σύγχισιν, ἀσεβῶς, ἐννοήσας, εἰς ἓν συνείρει τριώνυμον, πρόσωπον τὴν θείαν Τριάδα κακῶς.

**Μακεδόνιος**

Τὸ ἐπὶ σοὶ ἐπισκιάσαν ἄχραντε, ἄκτιστον πνεῦμα Θεοῦ, ὁμοφυὲς, Λόγῳ καὶ Πατρὶ δοξάζομεν, αὐτοῦ ἐκπορευόμενον, Μακεδόνιον πάντες, λῃρεῖν ἀφέντες τὸν λέγοντα, ποίημα καὶ κτίσμα εἶναι αὐτό.

**Ἀπολλινάριος**

Ἀπ᾽ οὐρανοῦ συγκαταβὰς ὁ Κύριος ἐν τῇ νηδύϊ ἁγνή, καὶ προσλαβὼν σάρκα ἔννουν τε καὶ ἔμψυχον ἡμῶν τὴν φύσιν ἔσωσεν, οἰμωξάτω δὲ λέγων, ὁ ἄνους Ἀπολλινάριος, ἄνουν τὴν ψυχὴν τοῦ προσλήματος.

**Ὠδὴ γ.΄ Οὐρανίας ἀψίδος.**

**Νεστόριος**

Τῷ μὴ σὲ Θεοτόκον, ὡς ἀληθῶς λέγοντι, μετὰ Νεστορίου ἀχθήτω ἅδη παντάνασσα, ὅστις ψιλὸν τὸν Χριστόν, εἶ αι βροτῶν δογματίζων, Χριστοτόκον ἔλεγε τὴν Θεοτόκον σε.



**Μαρκίων**

Ὁ ἐκ τῶν σῶν αἱμάτων, σάρκα λαβὼν Δέσποινα, ἀληθὴς Θεὸς οὐ δοκήσει Μαρκίων, ὥς φησιν, ἀσεβεστάτῳ νοΐ, ὃς καὶ ἀρχὰς ἦγε δύο, τῆς αὐτοῦ αἱρέσεως σῶσόν με πάναγνε.

**Εὐνόμιος**

Ταῖς λιταῖς, ὦ Παρθένε, ῥῦσαι τὸ σὸν ποίμνιον ἐκ τῶν αἰωνίων βασάνων, ἃς ἀσεβέστατα, ὡς ἐμπαθέστατος πρὸς ἀπειλὴν ἐληρώδει, συγγεγράφθαι πλάσματι μόνῳ Εὐνόμιος.

**Ὠδὴ δ΄ Σύμου ἰσχύς.**

**Εὐτυχὴς**

Ἡ Εὐτυχοῦς, αἵρεσις τοῦ ματαιόφρονος, μίαν φύσιν ἔλεγεν ἐπὶ Χριστοῦ, καὶ γὰρ φυρμὸν ἅμα καὶ τροπὴν γενέσθαι Παρθένε, ἐν ἑκατέραις ταῖς φύσεσι, καὶ μίαν τὴν οὐσίαν, ἐδόξαζον ἀφρόνως, σοῦ Σεβήρῳ οὓς νῦν διαπτύομεν.

**Μάνης**

Χεὶρ ἡ τοῦ σοῦ, ἄχραντε τέκνου μὲ ἔπλασεν, ὃς καὶ κόσμον ὅλον, συνεστήσατο, εἰ καὶ μανεὶς Μάνης τὰς διττάς, ἀρχὰς ἐπισῆγε, Θεούς τε δύο ἐδίδασκεν, ἀγαθὸν μὲν τὸν ἕνα, πονηρὸν δὲ τὸν ἄλλον, καὶ τὴν κτίσιν συνεμέριζεν.

**Τοῦ αὐτοῦ**

Οὗτος ἁγνή, ὁ ἄθλιος ὃς καὶ τὴν σάρκωσιν, τοῦ Υἱοῦ σου εἴρηκεν ἐν σχήματι οὐκ ἀληθῆ ταύτην οἰηθείς, καὶ παθεῖν δοκήσει αὐτοῦ ἀθέως ἐδίδασκε, μίαν φύσιν εἰσάγων τῆς θεότητος μόνης· τῆς μανίας οὖν τούτου ῥυσθείημεν.

**Ἀπολλινάριος**

Σῶμα Χριστοῦ ἄψυχον Ἀπολλινάριος, εἶπεν ὡς ἀρκούσης τούτῳ θεότητος, ἀντὶ ψυχῆς σπεύδων δολερῶς, ὅσα ἀνθρωπίνως ὁ λόγος ἔλεγε ῥήματα, θεότητι προσάπτειν, ἵνα δείξῃ ἐλάττω τὸν Υἱὸν τοῦ Πατρός, ὦ παντάνασσα.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.**

**Ὠριγένης**

Ὑποδίκῳ κολάσει, ὄντι αἰωνία μοι Κόρη βοήθησον, τὴν γὰρ Ὠριγένους οὐ προσδέχομαι δόξαν διδάσκοντος, χρονικὰ τυγ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

χάνειν εἰς καθαρμὸν ἁμαρτημάτων, τὰ ἐκεῖσε φρικτὰ κολαστήρια.

**Κατὰ Διδύμου καὶ Εὐαγρίου**

Σὺν Διδύμῳ διδάσκει, πάλιν ὁ Εὐάγριος ψυχῶν προϋπαρξιν, ἐκ τοῦ Ὠριγένους τὴν ἀλλόκοτον δόξαν δεξάμενος, ἀλλ᾽ ἡμῖν τὸ δόγμα τὸ εὐσεβὲς συντηρηθείη, σαῖς πρεσβείαις παντάνασσα ἄτρωτον.

Τῶν αὐτῶν ἐστι δόγμα, αὖθις καὶ τοὺς δαίμονας ἀποκατάστασιν, μέλλειν εἰληφέναι, καὶ ἀνθρώπων τοὺς ἄθεσμα πράξαντας, καὶ μετὰ ἀγγέλων, ἀναπληρῶσαι τὴν ἐννάδα, ἣν μυθεύονται γνώμῃ κακόφρονι.

**Ὠδὴ στ.΄ Ἱλάσθητί μοι σωτὴρ**

**Μαρκίων πάλιν**

Ἀνάστασιν ἀσεβῶς, νεκρῶν Μαρκίων οὐκ ἔλεγε, καὶ βάπτισμα δὲ τρισσόν, ἐδίδου τοῖς πταίουσι, ἀλλ᾽ ἡμεῖς ἐν βάπτισμα, καὶ ἀνάστασίν τε θεομῆτορ δεδιδάγμεθα.

**Ναυᾶτος**

Τὰς τρίβους μοι, ὦ σεμνή, κατεύθυνον πρὸς μετάνοιαν, ἣν ὁ Ναυᾶτος ἡμῖν, ἠρνεῖτο τοῖς πταίουσιν, ὡς μετὰ τὸ βάπτισμα ἀνάξιον ταύτην οἰηθεὶς φιλανθρωπία Θεοῦ.

**Ἐγκρατευταί**

Οἷς κλῆσις ἐγκρατευταί, τὸν γάμον ἀπαγορεύουσι, καὶ τῶν ἐμψύχων αὐτοὶ τὴν βρῶσιν βδελύττονται, ἡμᾶς δὲ τοῖς δόγμασι, τοῦ Υἱοῦ σου πάντας στερεώσαις Μητροπάρθενε.

**Ὠδὴ ζ΄ Θεοῦ συγκατάβασιν**

**Μασσαλιανὸς**

Νοὸς κυριεύειν δή, τοῦ τῶν ἀνθρώπων τὸν σατανᾶν ἀσεβῶς, καὶ ἐν τούτοις οἰκεῖν ἐνυποστάτως μασσαλιανοὶ φασί, τῆς πονηρίας τὰ πνεύματα Δέσποινα, σαῖς δὲ λιταῖς Κόρη, ὁ Θεὸς ἐνοικισάτω ἡμῖν.



Πνευμάτων ἐνέργειαν, τῆς πονηρίας τοῦ σατανᾶ τε ὁμοῦ, συνοικεῖν τῷ ἀνθρώπῳ, διδάσκειν τούτους, καὶ Πνεῦμα τὸ ἀγαθόν, ἐξ ἀφροσύνης μιγνύοντας ἄμικτα, τῆς βλασφημίας αὐτῶν ῥῦσαι ἡμᾶς ἀγαθή.

**Οἱ αὐτοὶ**

Λαλοῦσιν οἱ ἄθεοι, τὰ χείρω φύσει παρομαρτεῖν τοῖς βροτοῖς, καὶ πρὸς τούτῳ δύο ψυχὰς κεκτῆσθαι τὴν μὲν ἀνθρώποις κοινήν, τὴν δ᾽ αὖ οὐράνιον ἄχραντε, σὺ δὲ ψυχῇ τῇ ἐμῇ δίδου αἱρεῖσθαι καλά.

**Οἱ αὐτοὶ**

Ἐκτρέπονται Δέσποινα, τὴν ἐργασίαν τὴν τῶν χειρῶν, ὡς πιστοῖς μὴ ἁρμόζουσαν, Παύλου νομοθετοῦντος, μηδὲ ἐσθίειν, ἀργῶς, καὶ δυνατὸν νῦν τοῦ Πνεύματος δέξασθαι, ὡς ἐν αἰσθήσει φασὶ τὴν ὑπόστασιν.

**Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον**

**Ἀέτιος**

Κακῶς φρονῶν Ἀέτιος, μὴ δεῖν φέρειν ἐπέφηνεν, ὑπὲρ τεθνεώτων ὡς μηδέ τι ὄφελος, ἐκ τούτου καρποῦσθαι γάρ, μηδὲ πιστεύειν ἔφασκε δεῖν, ἔν τε τῇ τετράδι καὶ τῇ ἕκτῃ ἀφρόνως, Ἀρείῳ περὶ πίστιν καὶ αὐτὸς ἦν ὁμόφρων, παντάνασσα τῆς τούτου ῥῦσαί με ἀσεβείας.

**Παῦλος**

Ἐξ ἀσεβῶν δογμάτων ἦν, τῶν τοῦ Παύλου Θεόνυμφε, τοῦ Σαμωσατέως ἐξελοῦ τὴν ποίμνην σου, Υἱὸν τὸν προάναρχον, προφορικὸν γὰρ λόγον εἰπών, καὶ δημιουργὸν τὸν Θεὸν κακῶς πνεῦμα, κεχρῆσθαι ὡς ὀργάνῳ, ἐδογμάτιζε τοῦτο, ἐκ σῆς τε εἰληφέναι τοῦτον ἀρχὴν νηδύος.

**Πύρρος**

Ἱερωτάτων δόγμασι διδασκάλων ἑπόμενοι, δύο τὰς θελήσεις, καὶ διπλῆν ἐνέργειαν, Χριστοῦ ἐπιστάμεθα, σὺν τῷ Σεργίῳ Πύρρῳ ληρεῖν, καὶ τοὺς ὁμοδόξους Θεοτόκε ἐῶντες, τοὺς λέγον-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τας τὴν σάρκα τοῦ Κυρίου ἀφρόνως ἀθέλητον ὑπάρχειν, ἐνέργειαν μὴ ἔχειν.

**Ἀπελλῆς**

Μίαν ἀρχὴν κηρύσσει μέν, Ἀπελλῆς, ὦ παντάνασσα, ἕνα τε Θεὸν ὁμολογεῖ ἀνώτατον, τὸν ἕνα δὲ ἕτερον πεποιηκέναι αὖθις φησίν, ὃν ὡς πονηρὸν δημιουργὸν γεγενῆσθαι, τοῦ κόσμου δογματίζει, πονηρὸς ὢν ἐκεῖνος, ἀχάριστον τε κτίσμα πυρὸς ἄξιον μόνος.

**Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τοῦτο.**

**Εἰκονομάχοι**

Εἰκόνων τὴν προσκύνησιν τῶν σεπτῶν, ἀπεκώλυσε Λέων ὁ Ἴσαυρος, οὗτος ἀρχὴ τῶν εἰκονομάχων γὰρ γεγονώς, σὸν χαρακτῆρα πάντιμον καὶ τὸν τοῦ Υἱοῦ σου τὸν τῆς σαρκός, κατέσπα Θεοτόκε, καὶ πάντων τῶν ἁγίων, ἐξ ἀσεβείας ἧς ρυσθείημεν.

**Βογομίλοι**

Λαὸν ὃν ἐλυτρώσατο σὸς Υἱός, βδελυρᾶς ῥῦσαι κόρη αἱρέσεως, νεοφανοῦς τῆς τῶν βογομίλων, οἵπερ φασί, τὸ τοῦ ἀνθρώπου σῶμα μέν, μόνον πλάσμα εἶναι τοῦ πονηροῦ, ψυχὴ δὲ αὖ τυγχάνειν, Θεοῦ ἐπουρανίου, κοινῶς δ' ἀμφοῖν Θεὸν οὐ λέγουσιν.

**Οἱ αὐτοὶ**

Οὐκ εἶναι δογματίζουσι τὸν Υἱόν, οὐδὲ Πνεῦμα ἀρχῆθεν τὸ ἅγιον, ὕστερον δέ, γέννημα Πατρὸς γενέσθαι Υἱόν, Υἱοῦ δὲ αὖθις γέννημα, Πνεῦμα τὸ πανάγιον σφαλερῶς, ἡμεῖς δὲ καὶ τὰ τρία, συνάναρχα νοοῦμεν, καὶ προσκυνοῦμεν Θεονύμφευτε.

**Λατῖνοι**

Ἐκ πάσης, ὦ παρθένε ποίμνην τὴν σήν, καὶ δεινῆς ἀπιστήσας, αἱρέσεως, τῶν Ἰταλῶν δύο μὲν ἀρχὰς ἐπὶ τῆς μιᾶς, δογματιζόντων φύσεως, πνεύματος διττῶς δὲ τοῦ παντουργοῦ, λεγόντων ἐκπορεύσεις, ξένως καὶ ἀσυνήθως, ὧν περ τῆς πλάνης ἡμᾶς λύτρωσαι.

# ΠΕΡΙ

## τῶν ἀρχῆθεν αἰτιῶν καὶ περὶ τῶν ζ΄. διαφορῶν τοῦ σχίσματος τῶν Λατίνων πρὸς τοὺς Γραικοὺς ἐν συντόμῳ ἐν σχήματι κανόνος καὶ καθισμάτων.

**Κάθισμα α΄ Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ**

Κατὰ ἀναίδειαν πολλὴν οἱ Λατῖνοι, τοῦ οὐρανοῦ τε καὶ τῆς γῆς καὶ τοῦ ᾅδου, τὴν ἐξουσίαν νέμουσι τῷ Πάπα κακῶς, πᾶσι κατασείοντες, ὡς βροντὰς κεραυνοὺς τὰς κλεῖς, Πέτρου ἃς οὐκ ἔλαβε, μόνος ἔχειν ὁ Πάπας, ὡς γεζουῗται λέγουσιν αὐτῷ, μόνῳ δοθῆναι, κἂν τοῦτο σφαλλόμενοι.

**Κάθισμα β΄. Ἐπεφάνης σήμερον**

Βροντῆς δίκην σείουσι, τὰς κλεῖς τοῦ Πάπα Λατῖνοι, ἀπειλοῦντες ἅπασιν, ὡς κεραυνὸν τὸν τοῦ Διός, ἐπιπεμφθῆναι τοῖς Ἕλλησιν, ἂν μὴ τὸ γόνυ ἐκείνῳ συγκάμψωσιν.

**Κάθισμα γ΄. Ἦχος πλ. δ΄. Τὴν οὐράνιον πύλην.**

Οἱ Λατῖνοι τὰς μέμψας διαφυγεῖν, μελετήσαντες ὄντως διακενῆς· ὅτι κατεμέμφοντο τούτοις πάντες ὡς Ἕλλησιν, οἱ εὐσεβεῖς ἀείποτε τοῦ μὴ λέγειν ὡς ἄτοπον, ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λαμβάνειν τὴν ὕπαρξιν, ὥσπερ προβολέως, καὶ ἀρχῆς καὶ αἰτίου Πατρὸς μόνον πέλοντος· διὰ τοῦτο προσέθεντο τῷ συμβόλῳ τῆς πίστεως, πρόσθεσιν τό, καὶ ἐκ τοῦ Υἱοῦ, μέγιστον τὸ σχίσμα ἐργασάμενοι, καὶ κακῷ τὸ κακὸν ἐξεώμενοι.

**Κάθισμα δ΄ ὅμοιον**

Τὴν προσθήκην δὲ ταύτην οἱ Ἰταλοί, μὴ προσθήκην ὑπάρχειν ὅλως φασίν, ἀλλ' εἶναι ἀνάπτυξιν τοῦ συμβόλου διδάσκουσιν, ἀλλὰ καὶ οὕτω φάσκοντας σαφῶς ἐπλανήθησαν· τῆς γὰρ τρίτης Συνόδου ὁ ὅρος ἐκώλυσε· μὴ προσάγειν ἔτι συλλαβήν, οὔτε λέξιν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῷ ὅρῳ, τῆς πίστεως, ὡς τελείου ὑπάρχοντος, πανταχοῦ οὖν οἱ ἅγιοι, ἑπόμενοι τῷ θείῳ θεσμῷ, τοὺς τολμῶντας πρόσθεσιν ἢ μείωσιν, τῷ συμβόλῳ ἐπάγειν κατέκριναν.

Κάθισμα ε΄ ὅμοιον

Τοῦ ὀρθοῦ ὅμως λόγου οἱ ὀπαδοί, μὴ ἀνάπτυξιν ταύτην φασί, καὶ γὰρ τὴν ἀνάπτυξιν ἐγκειμένου νοήματος. συνεπτυγμένου μόνου τελεῖσθαι καθίστηκε, νόημα δὲ τοῖον οὐκ ἔστιν ἐγκείμενον· ἢ συνεπτυγμένον, οὐδαμῶς ἐνυπάρχειν τῷ ὅρῳ τῆς πίστεως· διὸ δῆλον ὡς ἔξωθεν προσετέθη τὸ τόλμημα· ἔστι δὲ προσθήκην προφανὴς τῆς προσθήκης ἔξωθεν ἀείποτε, ἐπακτῆς ἀξιούσης καὶ εἶναι καὶ λέγεσθαι.

Ο ΚΑΝΩΝ Ὠδὴ α΄ Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας

Τὸ σχίσμα Λατίνων ἔσχεν ἀρχήν, ἐκ φιλοτιμίας τῆς συνήθους πάλαι αὐτοῖς, καὶ δεινῆς ὀφρύος ὡς προέφη, ὁ θεοφάντωρ καὶ μέγας Βασίλειος.

Τὸ σκῆπτρον Ρωμαίων μετατεθέν, πάλαι ἀπὸ Ρώμης, πρὸς Βυζάντιον νουνεχῶς, ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου, τοὺς Ἰταλοὺς οὐ μετρίως ἐτάραξεν.

Ὅτε τῷ τῆς Ρώμης ἀρχιερεῖ, τοῖς ἴσοις πρεσβείοις, συντιμᾶσθαι τὸν Βύζαντος, καὶ τὴν Κωνσταντίνου νέαν Ρώμην, ἀποκαλεῖσθαι δικαίως ἠξίωσαν.

Τότε τοῖς Λατίνοις μέγα δεινὸν καὶ ὑπεροψία, ὑπερόπταις, οὖσι σαφῶς, ἔδοξε, καὶ φθόνῳ κινηθέντες, πρὸς ἀλλοτρίους ὁδοὺς ἐξετράπησαν.

Ὠδὴ γ΄ Οὐρανίας ἁψῖδος

Τὸν ἐν Ρώμῃ προστάτην ὑπερυψοῦν ἔγνωσαν, καὶ τῆς Ἐκκλησίας ἁπάσης ὡς αὐτοκράτορα, θῆναι ἐτόλμησαν τυραννικῶς καὶ βιαίως, τῶν Χριστοῦ προρρήσεων καταφρονήσαντες.

Ἐκκλησίας ἁπάσης, οἱ Ἰταλοὶ ἔστησαν, μίαν κεφαλὴν τερατώδη τὸν σφῶν ἐπίσκοπον, ὡς ἀπὸ τρίποδος, καὶ μανικῆς ἐκ μαινάδος, τὰ λοξὰ προστάγματα τούτου δεχόμενοι.



Κεφαλὴ τερατώδης, ὡς ἀληθῶς πέφυκε, νῦν τῆς Ἐκκλησίας ὁ Πάπας, καὶ γὰρ τοῦ σώματος νοητοῦ πέλοντος, καὶ νοητῆς δεῖται κάρας, τοῦ Χριστοῦ ὡς ἔφησε Παῦλος ὁ ἔνδοξος.

Αἰσθητὸς δ' ὢν ὁ Πάπας, τοῦ νοητοῦ σώματος, τῆς καθολικῆς Ἐκκλησίας κάρα οὐ δύναται, ἐπωνομάζεσθαι, τοῦ νοουμένου γὰρ ὅλως, αἰσθητὸν νῦν λέγεσθαι μέρος ἀδύνατον.

Κάθισμα. Τὸ προσταχθὲν μυστικῶς.

Καὶ τὴν προσθήκην ἣν κακῶς περ προσεξεῦρον, αἰτίαν οὖσαν ἀληθῶς πολλῶν σκανδάλων, οὐκ ἠθέλησαν πρῶτον συγκοινολογῆσαι, συνόδῳ συναθροισθείσῃ καθολικῇ, ὡς ἔθος τῇ Ἐκκλησίᾳ τὸ ἐξ ἀρχῆς, ἀλλὰ μόνοι προσέθηκαν, καὶ λάθρα μᾶλλον αὐτήν· τὸ δεῖξαι γὰρ οὐκ ἔχουσι, τίς ὁ ταύτην προσθέμενος.

Πᾶν δὲ τὸ λάθρα καὶ κρυφῇ ἐν Ἐκκλησίᾳ, δογματισθὲν προφανὴς κλοπὴ ὑπάρχει, καὶ κατάδηλος μᾶλλον ἱεροσυλία· ἀλλ' ἵνα καὶ τοὺς ἐλέγχους τούτους φυγεῖν· ἐπλάσαντο πατριάρχας καθ' ἑαυτούς, γυμνοῖς μόνοις ὀνόμασι.

(Τὰ λοιπὰ ἐφθαρμένα)

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε

Οἱ Λατῖνοι θεμέλιον, ἐπὶ ψάμμου θέμενοι ὑπερήφανον, τὴν τοῦ Πάπα κυριότητα, Ἐκκλησίαν πᾶσαν διετάραξαν.

Τὸν χαλάνης ἐτόλμησαν, πῦργον ἀνεγεῖραι τὸν ὑπερήφανον, ὧν τὰς γλώσσας μόνος Κύριος, δύναται συγχῦσαι καὶ σκεδάσασθαι.

Ἐκκλησίας θεμέλιον, Πέτρον τὸν Ἀπόστολον μόνον λέγουσιν, ἐναντία δογματίζοντες, Παύλῳ τῷ σοφῷ θεοκήρυκι.

Καὶ τὸν τούτου διάδοχον, ὅλως μὴ σφαλῆναι ποτὲ δυνάμενον, ὡς τοῦ Πέτρου χρηματίζοντα, τῆς διδασκαλίας μόνον μέτοχον.

Ὠδὴ ε΄ Ἵνα τί με ἀπώσω

Ταῦτα μάτην φρονοῦντες, ὅρους τοὺς τῆς πίστεως παρασαλεύουσι, ταῖς καινοτομίαις εἰσηγήσεσι, μόνον ἑπόμενοι, ταῖς διανοίαις ταῖς ἑαυτῶν διαθαρροῦντες, διασπῶσι γραφῆς τὰ νοήματα.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἡ στενότης τῆς γλώττης, ἐπὶ τοῦτο ἄνωθεν Λατίνους ἤλασεν, ὡς μὴ δυναμένους τὴν ὑπόστασιν λέγειν σαφέστατα, ἐπὶ τῆς Τριάδος, ὡς διαφέρει τῆς οὐσίας, διαιρεῖν καὶ συνάπτειν ἀμφότερα.

Οὐδαμῶς ἡ οὐσία, ὡς καὶ οὗτοι βούλονται καὶ ἡ ὑπόστασις, ἔχει ταυτησθῆναι ὡς ἀδύνατον, ὅλως καὶ ἄτοπον, τὸ γὰρ ἐκπορεύειν, καὶ τὸ γεννᾷν καὶ τὸ γεννᾶσθαι, ὑποστάσεων πέλει ἰδίωμα.

Οὐ δυνάμεθα λέγειν, ὅτι ἐκπορεύεται Πνεῦμα τὸ ἅγιον, ἀπὸ τῆς οὐσίας τοῦ Πατρὸς καὶ ἐκ τῆς ὑποστάσεως· εἴη γὰρ ἂν οὕτως, ἐξ ἑαυτοῦ προβεβλημένον, καὶ γὰρ πέλει Πατρὶ ὁμοούσιον.

**Ὠδὴ στ΄ Ἱλάσθητί μοι Σωτὴρ**

Τὸ Πνεῦμα ἐκ τοῦ Πατρός, μόνον φασὶν ἐκπορεύεσθαι, τὰ τοῦ Σωτῆρος ῥητά, καὶ οὕτω διδάσκουσιν, ἐνθεαστικώτατα, πάντες οἱ Πατέρες τοὺς Λατίνους ἐκτρεπόμενοι.

Τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, οὐδεὶς φησὶν ἐκπορεύεσθαι, τῶν διδασκάλων σαφῶς, οὔτε μὴν προέρχεσθαι, κατὰ τὴν ἀΐδιον, πρόεισιν ἣν πάντες, τῷ Πατρὶ μόνῳ προσνέμουσιν.

Ἀλλ᾽ οἱ Λατῖνοι ταῖς σοφῶν, διδασκαλίαις ἑπόμενοι, φασὶ καὶ ἐκ τοῦ Υἱοῦ, καὶ ἐκ τοῦ γεννήτορος, λαμβάνειν τὴν ὕπαρξιν, ὡς ἀδυνατοῦντος Πατρὸς μόνον πρὸς ἐκπόρευσιν.

Εἰ γὰρ ἀρκεῖ ὁ Πατήρ, πρὸς τὴν τοιαύτην ἐνέργειαν, ματαία ἡ τοῦ Υἱοῦ, αὕτη καὶ παράλογος, ἣν Λατῖνοι λέγουσιν, καὶ γὰρ ἐκ τῶν δύο, τοῦτο εἶπον ἐκπορεύεσθαι.

Ἀλλ᾽ ὡς ἐκ μιᾶς ἀρχῆς, τῶν δύο φασὶ προέρχεσθαι, τῆς μὲν μιᾶς προσεχοῦς, τῆς δ᾽ ἄλλης πυῤῥότερον, ταῖς σοφῶν διαπρίσιος, τῇ θεολογίᾳ ξένον δόγμα παρεισάγοντες.

**Κοντάκιον. Τὸν τάφον σου Σωτὴρ**

Οὐδεὶς τῶν ἱερῶν διδασκάλων τοιαύταις, ἐχρήσατο ποτέ, διαιρέσεσιν οὕτω, τὸ γένος δὲ τὸ πάντολμον, τῶν Λατίνων ἐφεύρατο, κακοδαίμονος καὶ σφαλερᾶς διανοίας· ἐφευρέματα, ἀλλοτριόφρονος γνώμης, τοῦ ὅρου τῆς πίστεως.



**Ὠδὴ ζ΄ Παῖδες Ἑβραίων**

Παῖδες Λατίνων ἐν καμίνῳ, παραπέμποντας τῇ τοῦ καθαρτηρίου· συνωθοῦντος αὐτοὺς τοῦ Πάπα ἐπὶ τοῦτο, ἂν μὴ ἀφθόνως χρήματα, τούτῳ δώσωσι προθύμως.

Μία καὶ αὕτη ἐνυπάρχει, τῶν ἀτόπων ἐφευρέσεων Λατίνοις, εἰς χρημάτων σχολὴν συμβάλλουσα τῷ Πάπᾳ, καὶ ἔξοδον μαγειρικήν, καὶ ζωμόν, καὶ καρυκείαν.

Πρόδηλον ὅτι τοῖς Λατίνοις, καὶ αὐτὸ τὸ πῦρ τὸ τοῦ καθαρτηρίου ἐξ ἀγράφων φωνῶν ἀνήφθη καὶ ὡς σκότος, μετὰ καπνοῦ ἐκάλυψε τὰς ἐκείνων διανοίας.

Οὔτε ἡ πάλαι οὔθ᾽ ἡ νέα, Διαθήκη οὐ διδάσκαλος τῶν πάλαι, ἐφαντάσθη τὸ πῦρ τὸ τοῦ καθαρτηρίου, οὐ χρονικήν τι κόλασιν, εἰμὴ μόνος Ὠριγένης.

**Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.**

Τῶν ἁγίων τὰ πνεύματα Λατῖνοι, μετὰ πότμον εὐθέως ἀπολαύειν, ἐν οὐρανοῖς τὸ τέλειον διδάσκουσιν, ἄνευ τῶν σωμάτων, καὶ οἱ ἁμαρτοῦντες τὴν κόλασιν ὁμοίως.

Παριδόντες τὰς ῥήσεις τῶν ἁγίων, καὶ τοῦ Παύλου τρανῶς ἀναβοώντων, μετὰ ψυχῆς καὶ σώματος ἀντάμειψιν, λαβεῖν ἐν τῇ κρίσει, ὧν περ νῦν ἐνταῦθα πεπράχασιν οἱ πάντες.

Τῶν ἁγίων ψυχὰς ἐν εὐφροσύνῃ, καὶ ἐν τόπῳ φωτεινοτάτῳ πέλειν, καὶ σχεῖν ἐλπίδα ἀμετάπτωτον τῆς ἐπαγγελίας, τυχεῖν ἐν τῇ κρίσει φασὶν οἱ θεολόγοι.

Καὶ ἐν τόπῳ ζοφωδεστάτῳ αὖθις, καὶ ἐν λύπῃ καὶ στεναγμῷ ὑπάρχειν, τοὺς ἀμετανοήτως ἐκδημήσαντας, καὶ προσδοκωμένους, κολάσεως μετόχους, γενέσθαι αἰωνίου.

**Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τοῦτο**

Τὸ φῶς τὸ ἀπαστράψαν ἐν τῷ Θαβώρ, οἱ Λατῖνοι κτιστὸν δογματίζουσι, καὶ γὰρ φασίν, ἄκτιστον ἐνέργειαν τοῦ Θεοῦ, σωματικοῖς οὐ πέφυκεν, ὄμμασιν ὁρᾶσθαι εἰλικρινῶς, καθάπερ τόδε εἶδον οἱ τρεῖς τῶν ἀποστόλων, Χριστοῦ ὡς ἥλιον ἀστράψαντος·

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Καὶ ταῦτα οἱ ἐκείνων σχολαστικοί, οὓς καὶ μᾶλλον χολόδει, ἐξείποιμεν, καὶ γὰρ χολῆς τούτων ἐκ Γομόρρας ἡ σταφυλὴ καὶ κλιμματὶς καὶ ἄμπελος, βότρυν τῆς πικρίας ἀπογεννᾶ, θυμὸν καὶ τῆς ἀσπίδος, ἐρεύγεται τὸ στόμα, δηλητηρίου δραστικώτερον.

Ἀρχαίων δὲ Πατέρων ἡ διδαχή, ὀρθοδόξως ἡμῖν ἐδογμάτισε, τὴν ἐν Θαβὼρ ἄκτιστον ἐνέργειαν τοῦ Θεοῦ, καὶ δόξαν καὶ λαμπρότητα, θείαν ὁραθῆναι τοῖς μαθηταῖς, ὡς μὴ ὑπάρχειν ὅλως κτιστόν τι κατ' οὐσίαν, ἐν τῇ ἀκτίστῳ οὐσιότητι.

Ἰδού σοι τὰς Λατίνων διαφορὰς ἐξεθέμην ἐν σχήματι ᾄσματος, μᾶλλον εἰπεῖν τοῦτο κωμῳδίαν τραγῳδικήν, ἐξ ἀθυμίας γράφω γάρ, κλαίων ὀδυρόμενος τὴν αὐτῶν κακόνοιαν καὶ πλάνην, ἣν ἐξ ἀλαζονείας, ἐν ἑαυτοῖς ἀπεθησαύρισαν.

**Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς**

Τοῖς Ἰταλῶν διδάγμασι κατὰ καινοτομίαν, ἐφευρεθεῖσι κάκιστα κατὰ τῆς Ἐκκλησίας, τὸν νοῦν μηδόλως προσέχεις, μάνθανε δὲ καὶ ποῖα, ὑπάρχει κατ' ἐξαίρεσιν, σφαλερῶς εὑρημένα, καὶ μηδαμῶς, τρέπε τὴν διάνοιαν ἐπὶ τούτοις· ὑπάρχει γὰρ ἀλλότρια, Ἐκκλησίας τοῦ τόπου.

Ὡς βάσιν καὶ θεμέλιον πάνυ σεσαθρωμένον, τιθέασι τὴν ὡς φασιν ἐξουσίαν τοῦ Πάπα, ἐξ ἧς ἀρτῶσι τὰ πάντα, δεύτερον δὲ τὸ Πνεῦμα, ὑπάρχειν κατ' ἐκπόρευσιν ἐκ Πατρὸς καὶ Υἱοῦ τε, καὶ τρίτον πῦρ, ὅπερ καθαρτήριον ὠνομάσθη, κρίσιν καὶ ἀνταπόδοσιν, νῦν ὑπάρχειν θανοῦσι.

---

# ΕΤΕΡΟΣ ΚΑΝΩΝ
## ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

**(Δυστυχῶς ἀκέφαλος, διότι βέβηλος χεὶρ ἀφήρεσε διὰ ψαλλίδος ἓν φύλλον μεταξὺ 14 καὶ 15)**

Ὠδὴ η.'

Χαῖρε σὺ κοινότατος ὁ τόμος, ὁ ἄθικτος τῇ ἀφθορίᾳ γε παντάπασι ἐν ᾧ ὁ ἀνείδεος λόγος ἐζωγράφηται· ὁ κατὰ πάντα ὅμοιος, ἡμῖν ἁπάντων Θεός, γραφίδι ἀνθρωπίνως ἰδέας, ἄνευ ἁμαρτίας γενόμενος ἀρρήτως.

Ἰεζεκιὴλ χαῖρε ἡ ὦπα, πύλη χαῖρε ἡ ἀνατόβλεπτος, ἐξ ἧς ἡ ἀνατολή, τῆς ζωῆς χαῖρε ἡμῖν, τὴν δύσιν τῆς θνητότητος, μυοῦσα χαῖρε ἰσχύς, χαῖρε ἡ ἀδιόδευτος βάσις, καὶ τὰς κλεῖς φρουροῦσα τῆς ὄντως παρθενίας,

**Ὠδὴ θ. Ἅπας γηγενής.**

Χαῖρε τοῦ Θεοῦ χωρίον εὐρύχωρον, ὃ καὶ νοούμενον, ἅμα καὶ λεγόμενον· ἀδιανόητον καὶ ἀσυνείκαστον, χαῖρε τὸ καταγώγιον τῆς θείας θαῦμα φρικτόν, ἀπειρίας, οὗπερ περιέχεται, ὁ ἐν ᾧ περιέχων τὰ πέρατα.

Χαῖρε ἧς οὐδέν, πιστοῖς θυμηδέστερον, καὶ τιμαλφέστερον· χαῖρε ἡ ἀνάβλυσις, τῆς ὄντως μόνη μακαριότητος· καὶ ποταμοὺς τῆς χάριτος καὶ ἰαμάτων πηγάς, εὐλογίαν βρύουσα ἀέναον· χαῖρε πάντων καλῶν ἡμῖν πρόξενε.

Χαῖρε ἡ χαρά, (1) καὶ τέρψις ἀπόρρητος τῶν ἄνω τάξεων, χαῖρε ἀνεκλάλητος, δικαίων πάντων ἡ ἀγαλλίασις, πατριαρχῶν καὶ προφητῶν, μαρτύρων ἱεραρχῶν, ἀποστόλων θυμηδία ἄφραστος, καὶ ὁσίων πνοή, φῶς καὶ ὕμνησις.

Χαῖρε ὁ λιμήν, ἡμῖν καὶ ἡ ἄφεσις τοῖς ἁμαρτάνουσι, χαῖρε παραμύθιον, τοῖς λυπουμένοις τὸ εὐμενέστατον, καὶ τοῖς αἰτοῦσιν ἕτοιμος χαῖρε βοήθεια ἡ κυρία βασιλὶς καὶ Δέσποινα, καὶ Χριστοῦ τοῦ Θεοῦ ἡ λοχεύτρια.

(1) ἡ χαρμονή, ἡ γλυκασμός

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Χαῖρε σοὶ κἀγώ, προσφθέγγομαι Δέσποινα, ἐλπίζων σῶσαι κἀμέ, πάλιν ἐρῶ δέσποινα, ὦ Θεοτόκε καὶ ἀπειρόγαμε, ψυχὴν ἀνάψας τὴν ἐμήν, τῆς σῆς ἐλπίδος ψυχήν, νοῦν καὶ σῶμα, πᾶσαν μου τὴν δύναμιν, ἀνεθέμην ὁ ἄθλιος δοῦλός σου.

Ἕτερον.

Χαῖρε ὁ οἶκος τῆς Τριάδος, ὁ θείας Ἀγλαΐας δόμος τε· οὗ περ τὸ ὑπέρθυρον, τῆς ἀγνοίας ἄπτωτον, ἡ πλήρης δόξης Δέσποινα κυρία τῶν Σεραφείμ, ἐν πνεύματι φωτοειδεστέρα, χαῖρε τῆς Τριάδος ἐναύλισμα τὸ θεῖον.

**Πρὸς τό. Πάντων προστατεύεις ἀγαθή.**

Κλίνω νῦν πρὸς σὲ δουλοπρεπῶς, Δέσποινα ὁ τάλας τῷ γόνυ, καὶ ὀδυρόμενος, ἴδε μου τὴν κάκωσιν τῆς ταπεινῆς μου ψυχῆς, καὶ τῶν πάλαι πταισμάτων μου, συγχώρησιν δίδου· βίου τε διόρθωσιν, καὶ λογισμὸν ἀγαθόν, σοὶ γὰρ ἀνατίθημι μήτηρ τοῦ Θεοῦ ἐλπίδα μου πᾶσαν, καὶ τῷ σῷ ἐλέει νῦν προσέφυγα.

Δέσποινα καὶ μήτηρ τοῦ Θεοῦ· τοὺς ἐν διαφόροις κινδύνους, σῶζε πρεσβείαις σου, πᾶσαν τε περίστασιν ἀποδιώκουσα, καὶ παντοίαν ψυχόλεθρον, ψυχῆς ἀθυμίαν, χάριν τε καὶ ἔλεος, ἡμῖν παρέχουσα· ὅπως ταῖς λιταῖς σου σωθέντες, χαίροντες ὑμνήσωμεν πάντες, τοὺς σοὺς οἰκτιρμοὺς καὶ τὰ ἐλέη σου.


# Βιβλία

Εὑρισκόμενα παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Σχοινᾷ ἐν Βόλῳ, Κοραῆ 47 καὶ ἀποστελλόμενα **ἐλεύθερα ταχυδρομικῶν τελῶν.**

**Θέατρον Πολιτικὸν** ὑπὸ Ν. Μαυροκορδάτου, σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον Δραχ. 90.—
πανόδετον » 114.—
δερμάτινον » 140.—

(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

**Ἐγκόλπιον Χριστιανοῦ** ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα » 20.—

**Συμβουλευτικὸν ἐγχειρίδιον** ὑπὸ Νικοδήμου Ἁγιορείτου
ἄδετον » 50.—
πανόδετον » 70.—

**Ἱστορία Βαρλαὰμ καὶ Ἰωάσαφ** ὑπὸ Ἰωάν. Δαμασκηνοῦ
ἄδετον » 40.—
πανόδετον » 60.—

**Ἱστορία τῆς ἐν Πάρῳ Ι. Μονῆς Λογγοβάρδας** ὑπὸ Ἐμμ. Σαγκριώτου Γυμνασιάρχου » 35.—

**Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 20.—

**Χριστοήθεια** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 12.—


Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ἀκολουθία Ἁγίου Γερασίμου** τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου κατταγομένου καὶ ἐν τῇ Ἱ. Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος » 10.—

**Ἱστορικὴ μελέτη τῆς Ι. Μονῆς Ἁγίου Παντελεήμονος** ὑπὸ Δανιὴλ μοναχοῦ » 15.—

**Ἀντιρρητικόν.** Βιβλίον ἀσχολούμενον μὲ τὰ ἡμερολογιακά, ὑπὸ Δωροθέου Καρακαλλινοῦ μοναχοῦ » 8.—

**Ἐκκλησιαστικοὶ Νόμοι.** Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ, χρησιμώτατον δι' ὅλους τοὺς Ἐκκλησ. ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια » 45.—

**Ἑρμηνεία τῶν 14 ἐπιστολῶν καὶ τῶν 7 Καθολικῶν** τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον » 280.—

δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 530.—

**Κυριακοδρόμιον Εὐαγγελίων, Ἀποστόλων μετὰ ἑορτοδρομίου** τοῦ αὐτοῦ· τόμοι 3 » 175.—

Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 325.—

**Ἡ Ἐκκλησία καὶ ἡ ἀναγκαιότης τοῦ τακτικοῦ ἐκκλησιασμοῦ**, Ν. Π. Γιαννίου, ἔργον πρωτότυπον » 30.—

**Ἡ Εὐτυχία ἐν τῇ ἀρετῇ.** ὑπὸ Στεφάνου Παπαδημητρίου » 25.—

**Ἡ πορεία τοῦ Χριστιανοῦ ἀποδημητοῦ**, Ι. Βουνιάνου » 28.—

**Ἡ πορεία τῆς Χριστιανῆς ἀποδημητρίας** » 22.—

**Ἡ ὀρφανὴ ἀπὸ τὸ Λόουντ**: δρᾶμα ἠθικὸν » 17.50

δεδεμένον » 27.50

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρησκευτικὰ βιβλία


"ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,,
ΕΤΟΣ Α.' ΑΡΙΘ. 7


# ΚΑΝΟΝΕΣ ΚΑΤ' ΗΧΟΝ

## ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΙΩΑΝΝΗΝ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ

Ποίημα Ἰωάννου μοναχοῦ τοὐπίκλην Μαυρόποδος, ἀρχιεπισκόπου Εὐχαΐτων.

Ἐκδίδονται ὑπὸ

**ΣΠΥΡΙΔΩΝΟΣ ΛΑΥΡΙΩΤΟΥ**

Ἰατροῦ

Δαπάναις τοῦ Ἐκδοτικοῦ Οἴκου

**ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ**

**ΜΑΡΤΙΟΣ 1937**


1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀπαγορεύεται αὐστηρῶς ἡ ἀνατύπωσις κατὰ τὸν νόμον.

ΤΩ ΠΝΕΥΜΑΤΙΚΩι ΑΡΧΗΓΩι
ΤΗΣ ΑΥΤΟΚΕΦΑΛΟΥ ΟΡΘΟΔΟΞΟΥ
ΕΛΛΗΝΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣ
Κ. Κ. **ΧΡΥΣΟΣΤΟΜΩι ΠΑΠΑΔΟΠΟΥΛΩι**
**ΑΠΕΙΡΟΥ ΣΕΒΑΣΜΟΥ ΚΑΙ ΤΙΜΗΣ ΕΝΕΚΕΝ**
**ΑΝΑΤΙΘΗΜΙ**

Ο ΕΚΔΟΤΗΣ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΠΡΟΛΟΓΟΣ

Αἱ ἱεραὶ Μοναὶ τοῦ Ἄθω αἱ πελαγίζουσαι ὡς φάροι ἐν τῷ πυκνῷ σκότει τῆς μακροχρονίου δουλείας μετελαμπάδευον διὰ τῶν ἱερῶν Μετοχίων τὸ ἐθνικὸν φῶς καὶ τὸ χριστιανικὸν ὀρθόδοξον εἰς τὸν ὑπὸ ζυγὸν Ἑλληνισμὸν διὰ τῶν Οἰκονόμων καὶ πνευματικῶν αὐτῶν. Ἐκεῖ εἰς τὰ ἱερὰ Μετόχια εὕρισκεν ὁ σφαδάζων ὑπὸ τὸ πέλμα τοῦ κατακτητοῦ Ἑλληνισμὸς τὴν παρηγορίαν του, τὸν ἐξομολόγον του. Σήμερον τὸ Πρυτανεῖον τοῦτο τῆς Ὀρθοδοξίας ἐχόμενον στερρῶς τῶν Βυζαντινῶν καὶ ἀρχαιοπρεπῶν παραδόσεων ἀρύεται τὸν σεβασμὸν καὶ τὴν ἠθικὴν ἐπιρροὴν τοῦ Χριστιανικοῦ κόσμου καὶ εἶνε τύπος καὶ ὑπογραμμὸς τῶν λοιπῶν ὀρθοδόξων Ἐκκλησιῶν. Οἱ δὲ προγονικοὶ ἡμῶν θησαυροὶ κινοῦσι τὸν θαυμασμὸν τῶν ἡμετέρων καὶ ξένων περιηγητῶν, οἵτινες ὁμολογοῦσιν ὅτι ἐὰν ἡ Δύσις καυχᾶται διὰ τὰ πλούτη καὶ τὰ μεγαλεῖα της, ἡ Ἑλλὰς κατακαυχᾶται διὰ τὰς δύο Ἀκροπόλεις της τὴν τῶν Ἀθηνῶν καὶ τὴν τοῦ Ἄθω. Εἰς τὴν πλουσίαν βιβλιοθήκην τῆς Λαύρας ἀποκαλύπτονται οἱ περιηγηταὶ ἐπίσης καὶ εἰς τὴν ἔντυπον, ἥτις θησαυρίζει καὶ τὰ ἔργα τοῦ Μακαριωτάτου Ἀρχιεπισκόπου Ἀθηνῶν κ. Χρυσοστόμου Παπαδοπούλου· ἅτινα κινοῦσι τὸν θαυμασμὸν πῶς μετὰ τὰς τόσας ἀσχολίας εὑρίσκει καιρὸν καὶ συγγράφει τοιαῦτα πολυσέλιδα καὶ πολύτιμα συγγράμματα καὶ οὕτως ὁμολογοῦσιν ὅτι ὄντως τοῦ Μακαριωτάτου τὸ στόμα, ἡ καρδία καὶ ὁ νοῦς εἰσὶ πεπλουτηκότα χάριτι, πρὸς τιμὴν καὶ δόξαν τῆς Ἑλληνικῆς Ἱεραρχίας, ἣν ἐνόμιζον ἐν νάρκῃ πνευματικῇ εὑρισκομένην.

Ἡ εἴσοδος τοῦ νέου ἔτους μοὶ δίδει τὴν εὐκαιρίαν νὰ ἐξωτερικεύσω τὰ πρὸς τὸν Μακαριώτατον αἰσθήματά μου ἐκτιμήσεως καὶ θαυμασμοῦ καὶ εὐγνωμοσύνης διότι ἱκανοποιεῖ τὴν ἐθνικὴν ἡμῶν φιλοτιμίαν ἀπέναντι τῶν ξένων, ἐκδίδων τοὺς κατ' ἦχον Κανόνας τοῦ ἐν Α-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

γίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, οὓς ἀντέγραψα ἐκ τοῦ Κώδικος Ι 77 καὶ νὰ εὐχηθῶ ὅπως ὁ Ὕψιστος τῇ πρεσβείᾳ τοῦ Ἁγίου διατηρῇ τὴν Αὐτοῦ Μακαριότητα ἐν ἀμετακπτώτῳ ὑγείᾳ εἰς πολλῶν ἐτῶν περιόδους ἐπ' ἀγαθῷ τῆς Ἐκκλησίας καὶ τῆς Ἐπιστήμης.

Ἔγραφον ἐν τῇ κατ' Ἄθῳ Ἱερᾷ Μονῇ τῆς Μεγίστης Λαύρας τῇ 1 Ἰανουαρίου 1937.

ΣΠΥΡΙΔΩΝ ΛΑΥΡΙΩΤΗΣ
Ἰατρός.

# ΚΑΝΟΝΕΣ ΚΑΤ' ΗΧΟΝ

Εἰς τὸν ἐν ἁγίοις Πατέρα ἡμῶν Ἰωάννην τὸν Χρυσόστομον, ποίημα Ἰωάννου μοναχοῦ, οὗ τὸ ὄνομα ἐντέτακται ἐν ἑκάστῃ ἐννάτης Ὠδῆς Ἀκροστιχίδι.

## ΗΧΟΣ Α'.

Κανὼν φέρων ἀκροστιχίδα

«Ὕμνοις ἀνυμνῶ τὸν καλόν σε ποιμένα, μοναχὸς Ἰωάννης».

**Ὠδὴ α'. ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος δεξιά.**

Ὕμνοις τὸν ποιμένα τὸν καλόν, καὶ μιμητὴν τοῦ καλοῦ ἀρχιποίμενος, πάγχρυσε Χρυσόστομε, ἀνευφημῆσαι πόθῳ σε τολμήσαντα, χάριν μοι πλουσίαν, γνώσεως θείαν κατάπεμψον.

Μόνα τὰ ἀόρατα ποθῶν, ὡς διαρκῆ καὶ ἑστῶτα καὶ μένοντα πάντων κατεφρόνησας, τῶν ὁρατῶν ὡς λυομένων πάνσοφε, διὰ τῶν προσκαίρων, ὠνούμενος τὰ αἰώνια.

Νόμους ὑπερβαίνει καὶ θεσμούς, βροτοπρεπῶν ἐγκωμίων ἡ δόξα σου, ὄντως γὰρ ἐκάλυψεν, ἡ ἀρετή σου χρυσολόγε πάντιμε, τὰς τῆς οἰκουμένης, ἐσχατιὰς καὶ τὰ πέρατα.

Ὅλος τῷ πυρὶ προσαναφθείς, τοῦ μυστικοῦ καὶ δροσίζοντος ἄνθρακος, ἄνθραξ ἐχρημάτισας, καὶ ἀπαθείας τῷ ἀΰλῳ ἄνθρακι, ἄνθρακος ἐνύλου, παθῶν Χρυσόστομε ἔσβεσας.

**Θεοτοκίον.**

Ἴασαί με πάθεσι πολλοῖς, βασανιζόμενον καὶ ἰαθήσομαι, σῶσον καὶ σωθήσομαι, ἐλέησόν με καὶ ἐλεηθήσομαι, δύνασαι γὰρ πάντα, θεογεννήτρια Δέσποινα.

**Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.**

Σταλάζουσι θεῖαν γλυκασμόν, οἱ πόνοι σου Χρυσόστομε, καὶ εὐφροσύνης δρόσον οἱ κάματοι, καὶ διανοίας καταδροσίζουσιν, ἐκτακείσας καύσωνι, τῷ τῆς ἀπογνώσεως καὶ ἐλπίδος γονὴν διεγείροντες.

(1) Ἐκ τοῦ Κώδικος Ι 77, φυλ. 336

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀ'νοίξας τὸ στόμα σου σοφέ, εἵλκυσας Πνεῦμα ἅγιον, πνεῦμα σοφίας, πνεῦμα συνέσεως, καὶ ἐξηρεύξω δογμάτων ἄβυσσον, καὶ ἐκ τῆς κοιλίας σου, ποταμοὺς ἀνέβλυσας, διδαχῶν γλυκυτάτων Χρυσόστομε.

Νεφέλην σκιάζουσαν φωτός, καὶ στύλον σε πυρίμορφον, τοῦ ἐξ ἐθνῶν λαοῦ προηγούμενον, καὶ πρὸς τὴν ἄνω ζωὴν ἰθύνοντα, τοὺς ἐφεπομένους σου, τοῖς παγχρύσοις δόγμασιν, Ἱεράρχα Χρυσόστομε ἔγνωμεν.

Υ'ψοῦσαν ταπείνωσιν πλουτῶν, ὑψώθης ὡς κυπάρισσος, εὐωδεστάτη καὶ εὐωδίασας, τὸν κόσμον πάντα Χριστοῦ γενόμενος, εὐωδία πάνσοφε, καὶ αὐτοῦ τῆς γνώσεως, τὴν ὀσμὴν εἰς τὰ πέρατα ἔπνευσας.

Θεοτοκίον.

Μέριμναι τοῦ βίου ἀκερδεῖς, κυκλόθεν συμφυεῖσαί μου, ὥσπερ ὀξεῖαι πλήττουσιν ἄκανθαι, ἀπέπνιξάν μου τὸν σπόρον τῶν ἀρετῶν, ὅν περ ἀναζώωσον, ζωῆς στάχυν Δέσποινα, ἡ βλαστήσασα ὡς ἀγεώργητος γῆ.

Ὠδὴ δ΄. Ὅρος σε τῇ χάριτι.

Νέκρωσον Χριστοῦ ζωοποιὸν ἐνδυσάμενος, τοῦ νεκρωθέντος δι' ἡμᾶς τοὺς νεκρωθέντας ἡδοναῖς, λόγοις σου ἐζώωσας, καὶ τῆς ζωῆς τῆς ἐν Χριστῷ κατηξίωσας, ἐκδυσαμένους ὡς ῥάκος τὴν νέκρωσιν.

Ὤλεσας ἀσάρκων ἀλλοφύλων στρατεύματα, καὶ ἀοράτων δυσμενῶν, θεοστυγεῖς παρεμβολάς, καὶ φάλαγγας ἔτρεψας, ὡς στρατηγὸς τῆς τοῦ Χριστοῦ παρατάξεως, καὶ ἠλευθέρωσας οὓς ᾐχμαλώτευσαν.

Τέτρωρον ὡς ἅρμα καὶ χρυσάντυγον ὄχημα, τὰς ἀρετὰς τὰς γενικάς, πασῶν τὰς περιεκτικάς, σαυτῷ πήξας πάγχρυσε, ὤφθης τρανῶς ἁρματηλάτης αἰθέριος, οὐρανοδρόμος πυρίπνους ἡνίοχος.

Ὁ ζῆλος τοῦ οἴκου τοῦ Θεοῦ σὲ κατέφαγε, ζηλῶν ἐζήλωσας καὶ γὰρ τῷ Παντοκράτορι Θεῷ, ἐντεῦθεν καὶ ἤλεγξας, τὴν προφανῶς παρανομήσασαν ἄνασσαν, τὸν Ἠλιοῦ τὸν Θεσβίτην μιμούμενος.



Θεοτοκίον.

Νέκταρος ἀΰλου μυστικῆς ἀμβροσίας τε, καὶ καθαρὰν καὶ διειδῆ, καὶ γλυκερὰν καὶ μελιχράν, πηγήν σε γινώσκομεν Μῆτερ Θεοῦ, Χρυσόρρειθρον χαριτόβρυτον, διὸ χειμάρρουν τρυφῆς ἡμᾶς πότισον.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Κεκμηκότα ἀπογνώσεως δίψει τὰ πέρατα ἀνεκτήσω, δροσοβόλοις ῥαννίσι τῶν λόγων σου, εἰς ἐλπίδος κρείττονος, ἀναψυχὴν ἐξάγων πάντας, τῇ μετανοίᾳ Χρυσόστομε.

Ἀ'ρραγῆ σε τῆς Χριστοῦ Ἐκκλησίας θεμέλιον, ὑποβάθραν στερεὰν καὶ κρηπῖδα ἀσάλευτον, ὡς ὄντα Χρυσόστομε, καθικετεύω στήριξόν με, περιτρεπόμενον πάθεσιν.

Λογικὴν σε λιγυρὰν ἀηδόνα πολύφωνον, μυστικήν τε μουσικὴν χελιδόνα Χρυσόστομον, συγκαλοῦσαν ἅπαντας, πρὸς μετάνοιαν θεῖον ἔαρ, γινώσκομεν Χρυσεπώνυμε.

Ὁ φωτίσας τῆς Γραφῆς τὸ σκιῶδες τοῖς λόγοις σου· καὶ λευκάνας τὸ ζοφῶδες αὐτῆς καὶ ἀφώτιστον, φώτισον Χρυσόστομε, σκοτειζομένην τὴν ψυχήν μου, ταῖς τῶν παθῶν ἐπιχύσεσιν.

Θεοτοκίον.

Ναχομένην θολεροῖς βορβορώδεσιν ὕδασιν, ἀκαθάρτων καὶ αἰσχρῶν λογισμῶν τὴν καρδίαν μου, κάθαρον ὑπάρχουσα καθαρωτέρα καὶ Ἀγγέλων, θεογεννήτρια Δέσποινα.

Ὠδὴ στ΄. Ἐκύκλωσεν ἡμᾶς.

Στερέωμά σε λογικὸν καὶ ἔμψυχον, καὶ οὐρανὸν ἀνέδειξεν, ὁ τῷ λόγῳ στερεώσας οὐρανούς, δόξαν τοῦ Θεοῦ ἐκδιηγούμενον, καὶ τῶν χειρῶν αὐτοῦ τὴν ποίησιν ἀναγγέλλοντα.

Ἐ'ξέθρεψας τὸ λογικόν σου ποίμνιον, ἐφ' ὕδωρ ἀναπαύσεως, καὶ ἐποίμανας ἐν πόᾳ μυστικῇ, καὶ εἰς τόπον χλόης κατεσκήνωσας, οὗ καὶ ἡμᾶς κατασκηνῶσαι, μάκαρ καταξίωσον.

Παντίοις με κακοῖς κλειδωνιζόμενον, καὶ πάθεσι ποντούμενον, καὶ κυκλούμενον ἀβύσσῳ λογισμῶν, ὅρμῳ μετανοίας ἐγκαθόρμισον, ἱερουργέ, ὡς κυβερνήτης καὶ οἰκονόμος ψυχῶν.

Ὁ λόγος σου τῷ βίῳ σεμνυνόμενος, ὁ βίος δὲ τῷ λόγῳ σου λαμπρυνόμενος ὡράθη ἀρετῶν, ἔμψυχος εἰκὼν καὶ στήλη ἔμπνεος, οὗ μιμητάς, ἡμᾶς ἐκ μέρους δεῖξον Χρυσόστομε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Θεοτοκίον.

Ἰάτρευσας τὸ μέγα καὶ ἀνίατον, ἀνθρώπων τραῦμα Δέσποινα, τέξασα ἀριστοτέχνην ἰατρόν, ὃς ἐχθρὸν τὸν ἡμᾶς τραυματίσαντα, τοῖς ἑαυτοῦ ἁγίοις τραύμασιν ἐτραυμάτισεν.

### Ὠδὴ ζ΄. Σὲ νοητήν.

Μυσταγωγός, τῶν ἀρρήτων γέγονας, καὶ τῶν ἁγίων λειτουργός, οὐρανίων ὑφηγητής, ἄγγελος ἐπίγειος, ἄνθρωπος οὐράνιος, Θεὸς θετὸς κατὰ μέθεξιν, υἱοὺς Θεοῦ τοὺς ἀνθρώπους τελῶν τῇ μεσιτείᾳ σου.

Ἐρημικούς, κατασβέσας ἄνθρακας, σπινθηροβόλων ἡδονῶν, ἐγκρατείας τῷ δροσισμῷ, ἄνθραξ ἐχρημάτισας, πάγχρυσε Χρυσόστομε, θείῳ πυρὶ ἀναπτόμενος, διὸ κἀμοῦ τῶν πυρφόρων παθῶν σβέσον τοὺς ἄνθρακας.

Νέφος πολύ, ζοφερὸν ἀέριον, ὥς τινα γνόφον διασχών, εἰς νεφέλην φωτοειδῆ, θεωρίας κρείττονος, μυστικῶς ἐχώρησας, λεπτῷ ἀσχέτῳ ἄλλῳ νοΐ, νόμον καινόν, ὑπεδέξω διὸ τῆς σῆς καρδίας πλαξίν.

Ἀναδραμών, εἰς ἄκραν ἀκρώρειαν, εἰς ὑψηλὴν περιωπήν, κορυφὴν εἰς ὑπερνεφῆ, θείας ἁγιότητος, θείας καθαρότητος, δι᾽ ἀρετῶν μάκαρ κλίμακος, εἶδες Χριστόν, νοερῶς τὴν πηγὴν τῆς ἀγαθότητος.

### Θεοτοκίον.

Μόνη ἁγνή, μένεις μετὰ γέννησιν, μόνη παρθένος γαλουχεῖς, μόνη τίκτεις ἄνευ ἀνδρός, τρέφεις βρέφος ἄσπορον, φέρεις Λόγον ἄχρονον, χειρὶ τὰ σύμπαντα φέροντα, εὐλογητὸς ἀληθῶς, ὁ καρπὸς ὁ τῆς κοιλίας σου.

### Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες.

Ὁλοτρόπως ὅλον ἑαυτόν, ἐξ ὅλης τῆς καρδίας Χρυσόστομε νηπιόθεν προανέθου τῷ Χριστῷ, καὶ τοῦτον ἠγάπησας ὁλοψύχως· ὅθεν ὑπῆρξας ἐκλογῆς θεῖον σκεῦος, Πνεύματος ἁγίου, χωρητικὸν δοχεῖον.

Νέος Παῦλος ἔφυς ἀληθῶς· ὡς ἔχων κατ᾽ ἐκεῖνον τὴν μέριμναν καὶ φροντίδα, τῶν πασῶν Ἐκκλησιῶν, καὶ σπλάγχνα χρηστότητος ὑπανοίγων· πᾶσιν ἀνθρώποις πυρούμενός τε ζήλῳ, ὑπὲρ τῶν ἀσθενούντων καὶ σκανδαλιζομένων.



Ἀποστάζει δρόσον γλυκασμοῦ, καὶ μέλιτος ἥδιω, Χρυσόστομε Ἱεράρχα, τὰ σὰ χείλη τὰ χρυσᾶ, γλεῦκος κατανύξεως νεκταρῶδες, ταῖς τῶν ἀνθρώπων καρδίαις ἐνιεῖσαν, καὶ παθῶν πικρίαν ἐλαύνουσαν εὐτόνως.

Χαρμοσύνως, ἐν τοῖς οὐρανοῖς, ἐδέξαντο χοροί σε Ἀγγέλων συνθιασώτην, καὶ λαμπρὸν συγχορευτήν, μεθ᾽ ὧν καὶ παρίστασαι τῇ Τριάδι, καὶ τὴν ἀκτῖνα καὶ τρισολβίαν αἴγλην, τὴν ἐξαλλομένην ἐκεῖθεν ὑποδέχῃ.

Ὁδοιπόρος ὤφθης εὐσταλής, καὶ εὔζωνος ὁδίτης, καὶ κοῦφος σταδιοδρόμος, πρὸς τὴν Ἱερουσαλήμ, τὴν ἄνω γὰρ ἔσπευσας καταντῆσαι, τὴν ἐλευθέραν τοῦ Παύλου καὶ μητέρα, ἔνθα πρωτοτόκων ἁγία Ἐκκλησία.

### Θεοτοκίον.

Σαλευθεῖσαν πάθεσι πολλοῖς, ἕδρασον τὴν ψυχήν μου, ἐν πέτρᾳ τῆς μετανοίας ἀσαλεύτῳ τὸν τὴν γῆν σαλεύοντα νεύματι ἡ τεκοῦσα, καὶ τὴν ἁγνείαν ἁγνὴ μὴ σαλευθεῖσα, μείνασα δὲ πάλιν, παρθένος ὡς πρὸ τόκου.

### Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.

Ἴσῳ τῷ ἱεροκήρυκι, σὲ τὸν καλὸν ἀγῶνα ἀγωνισάμενον, καὶ τὸν δρόμον τοῦ Εὐαγγελίου τελέσαντα, καὶ τὴν πίστιν τηρήσαντα ἄτρωτον, τῷ τῆς δικαιοσύνης Χριστὸς στεφάνῳ κατακεκόσμησεν.

Ὥσπερ εὐανθὴς παράδεισος νεοθαλὴς εὐώδης λειμὼν ἡδύπνοος, εὐωδίασας τὴν οἰκουμένην Χρυσόστομε, ἀρετὰς ἀποπνέων καὶ χάριτας, φιάλαι ἀρωμάτων, ὤφθησαν γὰρ αἱ σιαγόνες σου.

Ἅρμα τοῦ Θεοῦ γενόμενος, καὶ τὸ αὐτοῦ βαστάσας πάντιμον ὄνομα, αἱρεσιαρχῶν, καὶ κακοδόξων ἐνώπιον, ὑπ᾽ ἐκείνου τε ἡνιοχούμενος, οὐράνιον πρὸς νύσσαν, φθάσας ἐκεῖ τοῦ δρόμου πέπαυσαι.

Νύκτα ζοφερὰν ἀσέληνον, διαδραμὼν τοῦ βίου ἡμέραν ἔφθασας, φαιδρὰν καθαράν, διειδεστάτην ἀνέσπερον, καὶ τῆς δόξης τὸν ἄδυτον ἥλιον, ὁρᾷς ἀμέσως τούτου, μαρμαρυγαῖς καταστραπτόμενος.

Νόας ἀσωμάτους ἔφθασας, τὴν πολιτείαν τούτων ὡς ἀσπασάμενος, καὶ ἀγγελικὴν διαγωγὴν μιμησάμενος, καὶ αὐ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λως βιώσας ὡς ἄϋλος, ἐν σώματι ὑλώδει, θεομακάριστε Χρυσόστομε.

Ἤδη, παρελθὼν τὰ φάσματα, τοῦ ὀνειρώδους βίου, καὶ τὰ ἐνύπνια, πρὸς εἰλικρινῆ καὶ ἀκραιφνῆ κατανόησιν, ἀληθείας τῆς ὄντως κατήντησας, ἧς καὶ ἡμᾶς ἀξίους, εὐχαῖς σου ποίησον Χρυσόστομε.

Θεοτοκίον.

Στένω, καὶ θρηνῶ καὶ κόπτομαι, κατανοῶν τὰ φαῦλά μου ἔργα Δέσποινα, πλήν, ἀλλ᾽ ἐννοῶν τῶν οἰκτιρμῶν σου τὴν ἄβυσσον, εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, θαρροῦντας καταφεύγω, κράζων σοι σώτειρά μου σῶσον.

---

## ΗΧΟΣ Β΄.

Ἕτερος Κανὼν οὗ ἡ Ἀκροστιχὶς

«Λόγοις προσαυδῶ σοι Πάτερ Χρονολόγε· ἐγὼ Ἰωάννης».

Ὠδὴ α΄. ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε.

Λογικῶν χαρίτων ὁ χορός, ὁ τὴν χαριτώνυμον, σοῦ κορυφὴν περιστέφων Χρυσόστομε, ὡς κύκλος εὐτόρευτος, καὶ ὡς εὔκυκλος καὶ χρυσόπλοκος στέφανος, μέλλοντί σοι μέλπειν, χάριν χαρισάτω μοι τινὰ λογικήν.

Ὁ ποιμὴν ὁ μέγας καὶ ἀμνός, γρήγορον ποιμένα σε, τῆς ἑαυτοῦ ποίμνης καὶ ἄγρυπνον φύλακα ἔθετο τῶν λόγων σου, τῇ σφενδόνῃ τοὺς λύκους βάλλοντα πόρρωθεν, εἴργοντά τε τούτων, τὰς κρυπτὰς ἐνέδρας καὶ τὴν ἔφοδον.

Γολιὰθ ἀλλόφυλον Δαβίδ, κτήνας ἐλυτρώσατο, τοὺς ὁμοφύλους αὐτὸς τὴν τριάδα δέ, σφενδόνην ὡς τρίπλοκον ἐπαγόμενος Γολιὰθ τὸν ἀόρατον, ὥς τις μονομάχος, μέγας καθελὼν σὴν ποίμνην ἔσωσας.

Ὁ ὑψῶν ἀρούρας γεωργῶν, πάγχρυσε Χρυσόστομε, κεχερσωμένην καὶ ὑλομανήσασαν, ψυχῆς μου τὴν ἄρουραν, τῷ ἀρότρῳ τῆς μετανοίας γεώργησον, καὶ ἐπιτηδείαν, πρὸς ὑποδοχὴν σπερμάτων δεῖξον καλῶν.



Θεοτοκίον

Ἰατρὸν σωμάτων καὶ ψυχῶν, μόνον παντοδύναμον, ἀριστοτέχνην φιλάνθρωπον εὔσπλαγχνον, Δέσποινα γεννήσασα, τὸν ἰώμενον δωρεὰν πάντας ἴασαι, τὰ ἀνίατά μου τραύματα, καὶ κρύφια καὶ χρόνια.

Ὠδὴ γ΄. Ἐν πέτρᾳ με

Συνέχει τὴν καρδίαν μου μέγας πόνος, καὶ τρόμος ἀδιήγητος κατατρύχει, καὶ φόβος ὑποσμήχει με τῆς γεέννης, ἧς μὲ ἐξάρπασον ἐν ὥρᾳ κρίσεως, ἱερὲ Χρυσόστομε μεσιτείαις σου.

Παρῆλθες τῶν παρόντων ζοφώδη γνόφον, ἀνῆλθες εἰς ἀκρώρειαν ἀπαθείας, εἰσῆλθες εἰς νεφέλην θεοφανείας, καὶ προσωμίλησας, τῷ ποθουμένῳ Χριστῷ, Χρυσολόγε πάνσοφε, ὡς ὁ μέγας Μωϋσῆς.

Ραδίως ἐξελήλυθε γῆν εἰς πᾶσαν, ὁ φθόγγος ὁ πολύφωνος σοῦ τρισμάκαρ, τὰ πάγχρυσα δὲ ῥήματα οἰκουμένης, εἰς ἀκραπέρατα, καὶ κόσμου ἐσχατιάς, καὶ οὐδεὶς ἀνήκοος τούτων ἔμεινεν.

Ὁ λύχνος ὁ φωτίζων ψυχὰς ἀνθρώπων, ὁ ῥήτωρ βασιλείας τῆς οὐρανίου, ἡ σάλπιγξ ἡ μεγάλη τῆς μετανοίας, ὁ διαπρύσιος τῆς εὐσπλαγχνίας Θεοῦ, κῆρυξ ὁ Χρυσόστομος, ἀνυμνήσθω λαμπρῶς.

Θεοτοκίον

Σὲ βάτος ἀκατάφλεκτος προετύπου, τὴν ἔμψυχον καὶ ἔμπνουν ζῶσαν βάτον, τὸ πῦρ γὰρ τῆς θεότητος συλλαβοῦσα, ἄφλεκτος ἔμεινας θεογεννήτρια, διό με ἐξάρπασον τοῦ ἀσβέστου πυρός.

Ὠδὴ δ΄. Ἐλήλυθας.

Ἀνάθημα οὐρανίου σοφὲ πολυτίμητον, καὶ κόσμου ὡραῖόν σε, καὶ δόξης στέφανον ἔγνωμεν, κόσμου χρηματίσαντα, Ἀρχιερέων καὶ δόξαν Ἐκκλησίας Θεοῦ.

Ὑψαύχενα λογισμὸν ἐσχηκὼς τὰ κινοῦντά με, τὸν τῆς ταπεινώσεως ὑφηγητὴν ὑψηλότατον, μάκαρ ἱκετεύω σε, διὰ ταπεινοφροσύνης ἀνυψῶσαί με.

Διένειμας τὸν τῆς γνώσεως πλοῦτον καρδίαις πτωχαῖς, ψυχὰς ταπεινὰς δέ, ἄρτον ἀγγέλων ἐψώμισας, τροφῆς οὐρανίου γάρ, καὶ μυστικῆς ἀμβροσίας, ὤφθης πάροχος.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὡς ἅγιος τὸν ἁγίοις ἐπαναπαυόμενον, Θεὸν ὑπεράγιον, ἐν τοῖς ἁγίοις ἀνέπαυσας, λόγοις σου Χρυσόστομε, ὃν ἁγιάσαι δυσώπει τοὺς τιμῶντάς σε.

### Θεοτοκίον

Σὺ πρόστηθι τῆς ψυχῆς μου ἐν ὥρᾳ τῆς κρίσεως, αὐτή μοι παράστηθι, χωριζομένῳ τοῦ σώματος, σὺ θεογεννήτρια, διὰ παντός μοι τοῦ βίου, ῥῦστις παράστηθι.

### Ὠδὴ ε΄. Ὁ φωτισμός.

Ὁ ὑψηλὸς, τῆς αἰσθήσεως θρόνος ὑψηγορείσθω, ὁ τῆς διακρίσεως μέγας λύχνος, μεγαλυνέσθω ἡ χρυσὴ μυροθήκη, τῶν κρυφίων καὶ μυστικῶν ἐννοιῶν, ἀρωματιζέσθω μυρίζουσιν ἄσμασιν.

Ἱεραρχῶν, σὲ χρυσῆν κορωνίδα καὶ διδασκάλων, εὔλαλον Χρυσόστομον ἀηδόνα, καὶ χελιδόνα λιγυρᾶν μουσικήν τε, καὶ ὡραίαν περιστερὰν παγκαλῆ, καὶ σωφρονεστάτην τρυγόνα γινώσκομεν.

Περιστερᾶς, περιηργυρωμένας πτέρυγας ἔχων, καὶ κεχρυσωμένας χλωρῷ χρονίῳ, τῆς ἐγκρατείας, οὐ μετάφρενα πάτερ, ἐπετάσθης πρὸς νοητὰς καλιάς, καὶ πρὸς οὐρανίοις ἐπαύλεις κατέπαυσας.

Αἱ ἱεραί, σιαγόνες σου μάκαρ χρυσαῖ φιάλαι, πλήρεις ἀρωμάτων εὐωδεστάτων, μυρεψικὴν γάρ, ἀποπνέουσι χάριν, εὐωδίαν πνευματικὴν μυστικήν, μῦρον γὰρ ἀκένωτον ἐξερεύγονται.

### Θεοτοκίον

Τὴν ἀληθῶς, ἀδιόδευτον πύλην τὸ θεῖον Ὄρος, τὴν κεχρυσωμένην τοῦ μάννα στάμνον, γῆν τὴν ἁγίαν, τὸν ὑπέρτατον θρόνον, τὸ πανάγιον τοῦ Σωτῆρος Χριστοῦ, τὴν εὐλογημένην Παρθένον ὑμνήσωμεν.

### Ὠδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἐπὶ γῆς διατρίβων Χρυσόστομε, ἐν τοῖς οὐρανοῖς τὸ πολίτευμα ἔσχηκας, ἐξ οὗ Σωτῆρα Κύριον, Ἰησοῦν τὸν Χριστὸν ἐξεδέχου ἀεί.

Ῥιζοτόμος κακίας γενόμενος, τὴν φιλαργυρίαν ἀνέσπασας πρόρριζον, ἀλλὰ κἀμοῦ Χρυσόστομε, τῶν παθῶν τὰς ἀκάνθας ἐκρίζωσον.



Χαλινῷ σωφροσύνης ἁγνείας κημῷ, πάγχρυσε τοῦ σώματός σου καθυπέταξας, τὰ πωλικὰ φρυάγματα, καὶ τὰ ἄτακτα τούτου σκιρτήματα.

Ῥητορείαις βρενθύουσαι γλῶσσαι σοφῶν, καὶ τῷ ἱκτόρῳ βροντῶσαι τῆς φράσεως, σὲ τὸν πυρίπνουν ῥήτορα, πρὸς ἀξίαν γεραίρειν οὐ δύναται.

### Θεοτοκίον

Ὑψηλοῦ Βασιλέως ἀνάκτορον, ἔμπνους οὐρανὸς καὶ στερέωμα ἔμψυχον, καὶ λογικὸς Παράδεισος, ἀνεδείχθης Πανάμωμε Δέσποινα.

### Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Σὲ μάκαρ πηγήν, γλυκερὰν μελισταγῆ καὶ νεκταρόβρυτον, τῶν οἰκτιρμῶν τὸ μέγα πέλαγος τῆς εὐσπλαγχνίας ἡ ἄβυσσος, ἔδειξεν ἀρδεύουσαν νόας, καὶ γλυκάζουσι νάμασι, καὶ διειδέσι προχοαῖς ψυχὰς πιαίνουσαν.

Ἁπάντων τροφεύς, ὁ Πατὴρ τῶν ὀρφανῶν καὶ τῶν χηρῶν ὁ κριτής, κοινὴν πενήτων σὲ προμήθειαν, καὶ λυπουμένων παράκλησιν, ἔθετο Χρυσόστομε Πάτερ, ὀρφανῶν ἀντιλήπτορα, χηρῶν θερμὸν προασπιστήν, καὶ τῶν πολλῶν φροντιστήν.

Λαβὼν πρὸς Θεοῦ, ἐξουσίαν τοῦ δεσμεῖν καὶ λύειν πάντα, λῦσον τὰ ἄλυτά μου πταίσματα, καὶ τοῦ δεσμοῦ ἀπολύεις με, τῶν περιπλακέντων μοι βρόχων, ἀλύτως αὖθίς με σύνδεσον δεσμοῖς ἀλύτοις θεϊκοῦ φόβου Χρυσόστομε.

Ὁ Παῦλος τρανῶς, εἰκονίζων ἐκ μακροῦ καὶ ζωγραφῶν σε, κράζει τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεὺς ἱερώτατος, ὅσιος ἀμίαντος, πρᾶος εὐθὺς ἀκέραιος ἄκακος, κεχωρισμένος προφανῶς ἀπὸ τῶν ἁμαρτωλῶν.

### Θεοτοκίον

Γῆ εἶ καὶ εἰς γῆν, ἀπελεύσῃ ὁ Ἀδὰμ ἤκουσε πάλαι, σὺ δὲ ὡς γῆ ἁγία Δέσποινα, τὸν κεραμέα τῆς φύσεως δεύτερον Ἀδὰμ γεγονότα, τεκοῦσα τοῦτον ἀνέπλασας, καὶ ἀπὸ γῆς πρὸς οὐρανὸν προσεπανήγαγες.

### Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ.

Ἐφ᾽ ὑψηλὴν περιωπήν, καὶ λυχνίαν σε τῆς Ἀρχιερωσύνης, μέγα φῶς ἐγνωκότα, καὶ λύχνον χρυσοφαῆ, τῆς δόξης,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Πατρὸς τὸ ἀπαύγασμα, τέθεικε Χριστός, εἰς παντὸς τοῦ κόσμου φαῦσιν.

Ἐν ἐπιπόνοις προσευχαῖς καὶ συντόνοις ἀγρυπνίαις, ψυχοφθόρα κατεκοίμησας πάθη, διὸ κοιμίζεις βροτῶν, ὀδύνης ζῶν καὶ μετὰ κοίμησιν, ὅθεν ῥῦσαι πάντας σκώληκος ἀκοιμήτου.

Γεώδη φύσιν ἐσχηκώς, ὑπὲρ φύσιν ἐπὶ γῆς ζωὴν ἐκτήσω, ἀσαρκίαν Ἀγγέλων, μετὰ σαρκὸς κατορθῶν, ἐν ὕλῃ βιῶν βίον ἄϋλον, ἐπίγειος ὥς τις Ἄγγελος σαρκοφόρος.

Ὡς καὶ ἀρχέτυπον ὁρῶν ὁ τοῦ Παύλου μιμητής, τὸν Παύλου βίον, ἐσταυρώθης τῷ κόσμῳ, συσταυρωθεὶς τῷ Χριστῷ, σαρκὶ μὲν οὐκέτι ζῶν πάγχρυσε, ἔχων δὲ Χριστὸν ἐν σοὶ ζῶντα καὶ λαλοῦντα.

**Θεοτοκίον**

Ὁ κατὰ φύσιν ἀναφής, καὶ ὑπέρθεος Θεός, καὶ Θεοῦ Λόγος, τῆς Ἁγίας Τριάδος, ὁ εἷς Παρθένε ἐκ σοῦ, θεῶσαι βουληθεὶς τὸν ἄνθρωπον, ἄνθρωπος ὠράθη, διὰ φιλανθρωπίαν.

**Ὠδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.**

Ἱεραρχῶν σε χορείαις, τὸν ὁμότροπον τούτοις, ὁμόσκηνον ἐδέξαντο σκηναῖς, ἐν οὐρανίοις ἐν αἷς ὁ γλυκύς, ἦχος ἑορταζόντων, καὶ ἡ ἀγαλλιάσεως φωνή, καὶ τῶν εὐφραινομένων χορεία ἀκατάλυτος.

Ὡς φοῖνιξ ἤνθησας μάκαρ, ἐν λειμῶνι χαρίτων, ὡς κέδρος ἐπληθύνθης ψαλμικῶς, καὶ ὡς εὐώδης κυπάρισσος, ἀρεταῖς μυριπνόοις, ὑψώθης καὶ ἐν οἴκῳ τοῦ Θεοῦ, χρυσολόγε ὠράθης, ἐλαία ὡς κατάκαρπος.

Ἄνθη δρεψάμενος λόγων, ψυχικῶν ἐκ λειμώνων, εὐώδη δροσερά, ἐαρινά· ὕμνων σοι στέφανον ἔπλεξα, κορυφῆς μὲν τῆς θείας, οὐκ ἄξιον Χρυσόστομε τῆς σῆς, πλὴν τὴν εὐγνωμοσύνην, αὐτὸς εὐμενῶς δέξαι μου.

Νομῆς σου πρόβατον ὄντα ζήτησόν με κακίας εἰς βάραθρα καὶ ὄρη καὶ κρημνούς, ἀκανθοφόρους πλανώμενον, καὶ πρὸς ἀνθοποιόν με ὁδήγησον νομήν, τῆς ἀρετῆς καὶ τῆς τοῦ Παραδείσου νομῆς μου δεῖξον μέτοχον.

Νυξὶ ζοφερᾷ καὶ γνοφώδης, τρικυμία καὶ κλάδων, καὶ ζάλη, καὶ ἀγρία καταιγίς, πολλῶν παθῶν με χειμάζουσιν, ἐν



πελάγει τοῦ βίου, γενῶν μοι κυβερνήτης ἀγαθός, καὶ πυρσὸς ὁδηγῶν με, λιμένα πρὸς ἀκύμαντον.

Ἥλιος μὲν ἀνατείλας, τὸ στυγνὸν καὶ ζοφῶδες, ἐλαύνει τῆς νυκτός, χρυσοφαεῖς μαρμαρυγῆς μειδιάματι· ἡ δὲ χάρις σου Πάτερ, καρδίαι φρυκτωροῦσαι τῶν παθῶν τὴν ὁμίχλην σκεδάζει, αἰθρίαν θείαν φέρουσα.

**Θεοτοκίον**

Σεραφικήν σε πυράγραν, καὶ πυρφόρον λαβίδα θεότητος, ἀστέκτου καὶ φρικτῆς, ἄϋλον ἄνθρακα, φέρουσαν τοῖς ἀχράντοις σου κόλποις προεῖδεν Ἡσαΐας, διό μου τῶν πταισμάτων τὴν ὕλην θεογεννήτωρ ἔμπρησον.

## ΗΧΟΣ Γ΄.

Ἕτερος κανὼν οὗ ἡ Ἀκροστιχίς

«Τὸ χρυσόρρημον ἐν λόγοις μέλπω στόμα· ὕμνος Ἰωάννου»

**Ὠδὴ α΄. Ἦχος γ΄ Χέρσον ἀβυσσοτόκον.**

Τρίφωτον ἑνιαίαν αἴγλην ἄτμητον, τρισηλίου ἀστραπῆς, ἀναβλύζουσαν ἀΰλως, ἐκ πηγαίας ἀκτῖνος, δεχόμενος ἱερομύστα, καὶ ὅλος φῶς γενόμενος, λάμψον μοι φωτοφόρον αὐγὴν τῆς θείας γνώσεως.

Ὄργανον μουσικόν σε, μέλος ἔμμουσον, μετανοίας μελῳδοῦν, εὐρυθμόφωνον κιθάραν, παναρμόνιον λύραν, τοῦ Πνεύματος τῷ πλήκτρῳ μάκαρ, κεκροτημένην ἔγνωμεν, ᾄσματα μελουργοῦσαν ψυχοτερπῆ σειρήνια.

Χύμα σοφὲ καρδίας, πλάτος γνώσεως, καὶ συνέσεως βυθόν, ὡς ποτὲ τῷ Σολομῶντι, τοῦ Θεοῦ ἡ σοφία, ὁ λόγος παρέσχετό σοι λέγων, ὡς τῷ Ἱερεμίᾳ σοι· ἰδὲ νῦν μου τοὺς λόγους, δέδωκα εἰς τὸ στόμα σου.

Ῥήματα ζωηφόρα θείας πρόξενα βασιλείας οὐρανῶν, ἀναβλύζει σου τὸ στόμα ἐκ πηγῆς τῆς καρδίας· ἡ γλῶσσα γάρ σου γραμματέως, τοῦ ὀξυγράφου κάλαμος, ὤφθη καλλιγραφοῦσα, νόμους τῆς θείας χάριτος.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον**

Ὕψος τοῦ μυστηρίου Κόρη πάναγνε τοῦ φρικτοῦ σου τόκου, καταπλήττει μὲν Ἀγγέλους, ἐξιστᾷ δὲ ἀνθρώπους· χωρεῖς γὰρ ἀστενοχωρήτως, τοῦ μηδαμοῦ χωρούμενον, λόγον Θεοῦ, φανεῖσα εὐρύχωρον χωρίον Θεοῦ.

**Ὠδὴ γ΄. Ὁ ἐκ μὴ ὄντων.**

Συσσείσας τείχη, αἱρέσεων ὑψηλά, ὀχυρὰ θεμέλια, κραταιῷ τειχοσείστῃ μοχλῷ, τῶν στερρῶν δογμάτων σου, καὶ καταστρέψας ἐλέπτυνας εἰς κόνιν.

Οἰκίαν εὗρες αἰώνιον ἐκ Θεοῦ καὶ ἀχειροποίητον οἰκοδομὴν ἐν τοῖς οὐρανοῖς, μετὰ τὴν κατάλυσιν τῆς ἐπιγείου τοῦ σκήνους σου οἰκίας.

Ραθυμοτόκους μερίμναις βιοτικαῖς φυσίσας κύκλοθέν μου, ὡς ἀκάνθας συμπνίγομαι αἷς ἐπάφες ἅγιε, τὸ καθαρτήριον πῦρ, τῶν πρεσβειῶν σου.

Ἡ παρουσία ἐγγὺς ἐστι τοῦ Χριστοῦ, ὁ κλέπτης ἐφέστηκεν, ἐπὶ θύρας ἡ ἔξοδος, εὐτρεπεῖς οἱ ἄγοντες, καὶ ὁ θερίζων τὸ νεῦμα ἀναμένει.

**Θεοτοκίον**

Μόνην ὁ μόνος, ἱερὸς ἱεράν, ἁγίαν ὁ ἅγιος, ὁ ὡραῖος ὡραίαν εὑρών, σὲ Θεογεννήτρια, ὁ Βασιλεὺς μου Χριστός, ἐκ σοῦ προῆλθεν.

**Ὠδὴ δ΄. Ἐκάλυψεν.**

Ὁ βίος σου ἀρετῆς ὑπογραμμὸς ἐντελοῦς, ἀγγελικῆς διαγωγῆς, καὶ πολιτείας θείας, καὶ ἀΰλου ζωῆς, ἔμπνους εἰκών, καὶ ἔμψυχος στήλη, ὁ λόγος δὲ κανὼν εὐθύτητος, καὶ ἀκριβέστατος γνώμων, ὀρθοδοξίας σοφέ.

Νεότητος ἐν ἀκμῇ, καὶ ἄνθει σώματος ὥσπερ ὁ σώφρων Ἰωσήφ, τῆς σωφροσύνης ἤνθησας λευκὴν πολιάν, ὡς Δανιὴλ ὁ μέγας ἐν μέσῳ συνεδρίου μεγιστάνων ἐμεγαλύνθης ἐν γνώσει, ὡς μεγαλύνας Χριστόν.

Ἐξήπλωσας τοῦ Θεοῦ τὴν εὐσπλαγχνίαν ἡμῖν, καὶ μετανοίας ἀπλανοῦς, ἁμαρτωλοῖς ἐγνώρισας, εὐθείας ὁδούς, πολυειδεῖς, διαφόρους ποικίλας, ἐν αἷς οἱ ὁδεύοντες εὕροιεν, καλὴν κατάπαυσιν, ἅγιον τε κατάλυμα.



Νεότητος ἁμαρτίας καὶ ἀγνοίας μου ὡς ἐλεήμων μὴ μνησθῆς· ταῖς ἱεραῖς εὐχαῖς τοῦ Χρυσοστόμου Πατρός, ἀλλά μου μνήσθητι ὅταν ἔλθῃς οἰκτίρμον ἐν τῇ Βασιλείᾳ σου, τῆς σῆς χρηστότητος ἕνεκεν ὑπεράγαθε.

**Θεοτοκίον**

Λοχεύτριαν ἀλοχεύτως σὲ λοχεύσασαν, ὁ Ἡσαΐας προορῶν, τὴν ὑπὲρ λόγον τέξασαν τὸν λόγον σαρκί, διὸ παθῶν ἀλόγων με ῥῦσαι, καὶ δίδου μοι λόγον ἀνυμνεῖν σὲ διὰ παντός.

**Ὠδὴ ε΄. Ὡς εἶδεν Ἡσαΐας.**

Ὃν εἶδεν Ἡσαΐας, ἄνθρακα θεῖον ὡς θυσιαστήριον, ὃν περ τῇ λαβίδι ἔλαβεν ἄγγελος, βαστάζων ἐν τῇ ψυχῇ σου, διαέριος πυρὸς τηλεφανὴς ὡράθης αὐγάζων τὰ πέρατα Χρυσόστομε.

Γενοῦ μοι Χρυσολόγε ἐγγυητὴς πιστὸς καὶ ἀξιόχρεως, καὶ θερμὸς προστάτης ἐν ὥρᾳ κρίσεως, καὶ δός μοι νῦν μεταγνῶναι, μετανοίας οὐ γὰρ εἶ ὑφηγητής, ἕως μετανοίας καιρὸς καὶ προθεσμία ἐστί.

Ὁ φῶς ἐνθεὶς ἡλίῳ, ὡς αὐτόφως καὶ βρύων φῶς, καὶ φῶς κατοικῶν, φῶς ἀναβαλλόμενος ὡς ἱμάτιον, εἰς φαῦσιν ἔθετο κόσμου, σὲ τὸ μέγα φῶς καὶ ἄδυτον σοφέ, ταῖς χρυσοφαέσιν ἀκτῖσι φρυκτωροῦντα ψυχάς.

Ἰλύϊ ἐγκλημάτων, καὶ ἡδονῶν βορβόρῳ ἐμπαγέντα με, καὶ περιπαρέντα ποικίλοις πάθεσιν, ἐκσπάσης, ἀνέλκυσόν με ἐπὶ πέτραν μετανοίας ἀρραγοῦς, ἱστῶν μου τοὺς πόδας Ἰωάννη Χρυσόστομε.

**Θεοτοκίον.**

Στερέωσον τὸν νοῦν μου, τὸν λογισμόν μου Παρθένε φωταγώγησον, καὶ βεβαίωσόν με περιδονούμενον, βεβαία τοῦ κόσμου σκέπη καὶ χαρᾶς ὑπερκοσμίου κοινωνόν, δεῖξον ἡ τεκοῦσα χαρὰν τῷ κόσμῳ Δέσποινα.

**Ὠδὴ ϛ΄. Τοῖς εἰς τὰ τέλη των.**

Μετὰ σαρκὸς τὴν ἀσαρκίαν, ὥς τις ἄσαρκος κατώρθωσας πεζοπορῶν μὲν ἐπὶ γῆς, Ἀγγέλοις ἁμιλλώμενος, νηστείαις, ἀγρυπνίαις, καὶ προσευχαῖς· μεθ' ὧν χορεύεις ἀεὶ ἐν ὑψίστοις.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἐκ τῶν πηγῶν τοῦ σωτηρίου ἀρυσάμενος τὰ νάματα, ὡς ποταμὸς ὑπερχειλής, ἐπικλείνων τε χειμάρρους τρυφῆς, τὴν πᾶσαν γῆν ἀρδεύεις κυκλοτερῶς τῆς Ἐκκλησίας ἐξ Ἐδὲμ ὡρμημένος.

Λαοῦ ποιμάνας ἐπὶ χλόην εὐσεβείας καὶ σεμνότητος, νῦν ἐπὶ πόαν χλοερὰν παραδείσου κατεσκήνωσας, ἐν ᾗ κατασκηνῶσαι δὸς καὶ ἡμῖν Χρυσόστομε ταῖς ἁγίαις εὐχαῖς σου.

Πολυανθέστατόν λειμῶνα, καὶ δροσώδη σὲ παράδεισον, πεπυκασμένον ἀρεταῖς, καὶ κατάσκιον ταῖς χάρισιν, ἀνέδειξεν ἐν κόσμῳ ἱερουργέ, παράδεισον ἐν Ἐδὲμ ὁ φυτεύσας.

Θεοτοκίον.

Ὢ τοῦ φρικώδους μυστηρίου, τῆς σῆς Δέσποτα σαρκώσεως· ὁ γὰρ αὐτὸς καὶ εἷς Υἱὸς καὶ ἀμήτωρ καὶ ἀπάτωρ τελεῖς· τὸ μὲν ἐν τοῖς ὑψίστοις, τὸ δ᾽ ἐπὶ γῆς ὀφθεὶς καθ᾽ ἡμᾶς δι᾽ ἡμᾶς ἐκ Παρθένου.

Ὠδὴ ζ'. Σὲ τὸν ἐν πυρί.

Στῦλος ἀρρεπὴς καὶ ὄρθιος, γῆθεν ἀνατεινόμενος, πρὸς αἰθέριον οὐρανόν τε ὕψωμα, καὶ ἀκράδαντος κίων κραταιῶς ἡδρασμένος, βάσις χρυσῆ τῶν ἀρετῶν ὤφθης Χρυσόστομε.

Τέμνων ἀνεδείχθης πέλεκυς νόθου σπορᾶς ζιζάνια καὶ αἱρέσεων τὴν ὕλην ἐκριζῶν ἀνασπῶν, πυριπνόοις σε φθόγγοις τῆς πυρίνης σου γλώσσης, τὰς φρυγανώδεις ἐμπιμπρῶν κενοφωνίας σοφέ.

Οἷα κυβερνήτης ἔμπειρος ἄριστος τὰ θαλάττια καὶ ὁλκάδα λογικήν, τὴν Ἐκκλησίαν Χριστοῦ, κυβερνήσας ἀκλύστους ὥρμισας εἰς λιμένας παραδραμοῦσαν τὰ πικρὰ τοῦ βίου κύματα.

Πατὴρ ἀληθῶς φιλότεκνος, ἄνωθεν ἡμῖν δέδοται, ὑπερβάλλων καὶ πατέρων στοργήν, ἐφ᾽ ἡμᾶς τοὺς υἱοὺς σου, οὓς τῷ εὐαγγελίῳ μάκαρ ἐγέννησας, καθὼς ὁ μέγας Παῦλος βοᾷ.

Θεοτοκίον.

Ἄσπορος φρικτὴ ἡ σύλληψις, ἄφθορος καὶ ἡ γέννησις, ἀνερμήνευτος ὁ τρόπος τῆς λοχείας σου, ὡς γὰρ ἧς πρὸ



τοῦ τόκου ὤφθης καὶ μετὰ τόκον Κόρη παρθένος, καθαρά, ἁγνή, ἀμίαντος.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί.

Ὑφάψας οὐδεὶς φησὶ λύχνον, τίθησιν αὐτὸν ὑπὸ τὸν μόδιον ἢ κλίνην, οὐδὲ σκεύει τινὶ καλύπτει, ἐπὶ τὴν λυχνίαν δὲ ἵνα φαίνῃ, τοῖς ἐν τῇ οἰκίᾳ ἅπασιν, ὃ καὶ ἐπὶ σοὶ καλῶς ἔδρασε τὸ Πνεῦμα.

Μεμνῆσθαι ἀεὶ τῆς γεέννης, καὶ τὸν ταύτης φόβον ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, ἀδιάστατον ἔνδον φέρειν, ὡς ἐντεῦθεν δάκρυσι μετανοίας, ὅλον, ἄνωθεν ῥαντίζεσθαι καταξίωσόν με Χρυσόστομε τρισμάκαρ.

Νυμφῶνός μοι θείου τὴν θύραν, καὶ τῆς οὐρανίου βασιλείας τὰς εἰσόδους ἀναπέτασον ταῖς εὐχαῖς σου, καὶ πρὸ τῆς ἐξόδου μου τὰς εἰσόδους, πάσας τῶν παθῶν ἀπόκλεισον, τῶν μεθοδειῶν τοῦ ἐχθροῦ λυτρούμενός με.

Ὁ κρύψας τὸ τάλαντον δοῦλος, καὶ χοῒ παθῶν ἐγκατορύξας καὶ συγχώσας, ἐγὼ Δέσποτα χρηματίζω, ἀλλὰ μὴ εἰσπράξῃ με κατ᾽ ἀξίαν, τούτου τῆς ἀργίας δέομαι, τὰς πικρὰς εὐθύνας, εὐχαῖς τοῦ Χρυσοστόμου.

Θεοτοκίον.

Συμβόλοις πολλοῖς αἰνιγμάτων, καὶ τυπωτικαῖς διαμορφώσεων εἰκόσι, προετύπουν σε οἱ Προφῆται, στάμνον Κόρη λέγοντες, καὶ λυχνίαν κλίνην καὶ θυμιατήριον. γέφυραν καὶ ὄρος καὶ τράπεζαν καὶ θρόνον.

Ὠδὴ θ'. Ἐν νόμῳ σκιᾷ.

Ἰσχύϊ Χριστοῦ ῥωννύμενος, ᾔσχυνας τὸν ἀνίσχυρον, ἰσχὺν καταπατῆσαι, καὶ ὀφρὺν σοφῶς τοῦ δυσμενοῦς, καὶ ἰσχυροῦ ἐν κακίᾳ σαρκός, οὗ τῶν βελῶν καὶ θηράτρων, διατήρησον ἀτρώτους ἡμᾶς.

Ὡς φοῖνιξ κέδρος κυπάρισσος, ἤνθησας πληθυνθεὶς ἀρεταῖς, χαρίσμασιν ὑψώθης, εὐωδίασας πιστῶν ψυχάς, ὑψοποιὸν γὰρ ταπείνωσιν ἐνδυσάμενος ὡς εὐφροσύνης χιτῶνα, ὑψηλὸς καὶ μέγας ὤφθης Θεῷ.

Ἀρνίον Χριστοῦ πραότατον, τοῦ πράου ἀρχιποίμενος, τοῖς ἴχνεσιν ὡράθης, εὐσεβῶς αὐτοῦ ἀκολουθῶν, ποιμὴν ποιμέ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νων διόπερ προχειρισθεὶς ὑπ᾽ αὐτοῦ, ἐπὶ νομὰς ζωηφόρους, τὸ σὸν ποίμνιον ἐποίμανας.

Νυκτὶ λογισμῶν συνέχομαι, σκότει παθῶν καλύπτομαι ὁμίχλη ἁμαρτίας σαρκικῶν ὀρέξεων ἀχλύς, τὴν γνοφερὰν καὶ ζοφώδη ψυχήν μου, κρύπτουσι φαιδρὰν αὐγὴν μετανοίας, αὔγασόν μοι Πάτερ ἄνωθεν.

Ὁ λύχνος τῆς διακρίσεως, ὁ θρόνος τῆς αἰσθήσεως, φρονήσεως ὁ οἶκος, ἀνδρείας ἀνδριάς, δικαιοσύνης ἡ στάθμη, ἡ σωφροσύνης εἰκών, τὸ ἐνδιαίτημα πάντων τῶν καλῶν ἀνευφημείσθω λαμπρῶς.

**Θεοτοκίον.**

Ὑμνῶ προσκυνῶ δοξάζω σε, γεραίρω μεγαλύνω τιμῶ, ὑπέρτιμε Παρθένε, ὁ πολλῶν σου εὐεργεσιῶν, ἀξιωθεὶς νηπιόθεν καὶ τὸ ἑξῆς δυσωπῶ ἀδιαστάτως τοῦ βίου συμπαρεῖναί μοι τὴν σκέπην σου.

---

## ΗΧΟΣ Δ΄.

Ἕτερος κανὼν οὗ ἡ ἀκροστιχίς.

«Ὑμνῶ λιγυρῶς τὴν μετανοίας λύραν, μοναχὸς Ἰωάννης»

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Ὑψόθεν μοι πάγχρυσε, ὡς ἀετὸς συγκατάβηθι, τολμῶντι γεραίρειν σε, καὶ τὸ βαρὺ καὶ ἀργὸν καὶ χαμαιπετές, πτερὸν τῆς διανοίας, κουφίσας μου ποίησον ὀξυπετέστερον.

Μεγάλοις ἐν θαύμασι καὶ φοβεροῖς σε ἐν τέρασι, Χριστὸς ἐμεγάλυνεν ὃν ἐμεγάλυνας, οὗ τὸ ἔλεος καὶ τὴν φιλανθρωπίαν, τοῖς τέρασι πέρασι Πάτερ ἐγνώρισας.

Νοὸς καθαρότητι, καὶ διανοίας ὀξύτητι, ταχὺ κατενόησας, τὸ ἀπαγὲς καὶ σαθρόν, καὶ ἀβέβαιον τοῦ βίου καὶ ἤλλαξω, ῥεόντων τὰ ἄρρυτα, ὥσπερ ἀγχίνους κριτής.

Ὡς σάλπιγξ βροντόφωνος, ἡ σὴ φωνὴ εἰς τὰ πέρατα ἠκούσθη Χρυσόστομε, καὶ ὡς νεφῶν συνδρομή, καὶ συγκίνησις, ἀέρος σφοδροτάτη, φωνὴ τῆς βροντῆς σου γάρ, ἐν τῷ τοῦ κόσμου τροχῷ.



**Θεοτοκίον.**

Λιμὴν καὶ παράδεισος, ἀθανασίας σὺ Δέσποινα, ἐν ᾧ οὐκ ἐδάδισεν, ὄφις γεννήτωρ παθῶν, καὶ ἁγία γῆ, ἐν ᾗ κεκαλυμμένοι, αἱρέσεων δέρμασι πόδες οὐ βαίνουσιν.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Ἰδοὺ τὸ ψυχὰς ἁλίζον ἅλας, παθῶν τε ξηραῖνον καὶ ἰστῶν σηπεδονώδη ῥεύματα, καὶ βορβορώδη νάματα, ὅσοι νοσεῖτε δράμετε, ἄμισθος ἴασις γὰρ πρόκειται.

Γεέννης ὀδύνας πόνους θλίψεις, πρὸς δὲ βασιλείας οὐρανῶν, δόξαν χαρὰν ἀπόλαυσιν, ἡμῖν εἰκονογράφησας, λόγων ἀΰλοις χρώμασιν, οἷα ζωγράφος μορφώσας κηρῷ.

Υἱὸς τοῦ Θεοῦ γεγονὼς θέσει, τὸν φύσει Υἱὸν αὐτοῦ Θεοῦ, ὁμολογῶν ἐτέλεσας, υἱοὺς Θεοῦ βροτῶν τοὺς υἱούς, υἱοποιῶν βαπτίσματι, τούτοις αὐτῷ ποθητὸς ὡς υἱός.

Ῥανίσι κοιλαίνεται καὶ πέτρα, καὶ σίδηρος κάμπτεται πυρί, ἀδάμας δὲ δαμάζεται, χρόνῳ τῷ πανδαμάτορι, ἡ ἐν ἐμοὶ κακία δέ, φιλονικεῖ μεῖναι ἄτρεπτος.

**Θεοτοκίον.**

Ὡς πλάκα τῆς χάριτος τοῦ νόμου ὡς τόμον καινοῦ καὶ καθαροῦ, ὡς Χριστοῦ βίβλον ἔμψυχον, ἥνπερ οὐδεὶς ἀνέγνω βροτῶν, ἐκδυσωπῶ σε Δέσποινα, βίβλῳ ζωῆς καταγράφαι με.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Σὺ ὡς ἄλλος νέος Παῦλος, πᾶσι πάντα γεγένησαι, ἵνα πάντως πάντα, ἢ τινας κερδήσας προσάξῃς Χριστῷ, τοὺς οἰκτιρμοὺς καὶ τὰ σπλάγχνα ἐνδυσάμενος, τοῦ πτωχεύσαντος ὑπὲρ ἡμῶν ἱερώτατε.

Τὸ μὲν στόμα καὶ ἡ γλῶσσα, καὶ τὰ χείλη σιγῶσί σου τελευτὴν τιμῶντα, φθέγγονται πολλῷ δὲ τορώτερον, αἱ σαὶ χρυσαῖ θυγατέρες, βίβλοι πάγκαλοι, ὡς εἰκόνες τῆς σῆς ἀρετῆς οὕτως εὔλαλοι.

Ἡ κατάκαρπος ἐλαία, ἡ πολύφορος ἄμπελος, ἡ πυκαζομένη, μείζοσι πυκάζουσι βότρυσι, τοῖς ἀναβλύζουσιν οἶνον κατανύξεως, καὶ πηγάζουσι νέκταρ ψυχῶν, ἀνυμνείσθω λαμπρῶς.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Νεῖλος ὤφθης Χρυσορρόας, καρποδότης καὶ εὔσταχυς πλημμελοῦντι ῥείθρῳ, καὶ τῷ πελαγίζοντι ῥεύματι, τῶν σῶν ποσίμων ναμάτων, ψυχὴν ἅπασαν, καταρδεύων καὶ πρὸς ἀρετῆς διεγείρων γονήν.

Θεοτοκίον.

Μείνας ὅπερ ἦν ἀτρέπτως, ὃ οὐκ ἦν προσελάβετο, φιλανθρώπῳ τρόπῳ ἄνθρωπος φανεὶς ὁ φιλάνθρωπος, ἐκ σοῦ πανάμωμε Κόρη ὡς τὸν ἄνθρωπον, ἀπεργάσηται θέσει Θεόν, ὁ τῇ φύσει Θεός.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἐγένου Χρυσόστομε, ἀνδριαντοποιὸς χρυσουργός, ἀγαλματογλύφος χρυσοπλάστης, τὰ θηριώδη ἤθη καὶ ἄγρια, λόγοις μεταπλάττων τῶν ψυχῶν, καὶ πρὸς ἡμερότητα, ἀνθρωπίνην ῥυθμίζων αὐτά.

Τῷ λόγῳ τὰ ἄλογα καθυποτάξας πάθη σοφέ, ὤφθης λογικῶν ποιμὴν προβάτων. διὸ ἀλόγων παθῶν με λύτρωσαι τὸ πρόβατόν σου τὸ λογικόν, κτῆνος γὰρ ὡς ἄλογον παραλόγως δουλεύω αὐτοῖς.

Ἀσύριον τύραννον, δυνάστην βαβυλώνιον, κάμινον παμφλάζουσαν βροντῶσαν, παθῶν ἐμπύρων ἐμφύτων καίοντα, καὶ τὸ τριμερές μου τῆς ψυχῆς, τεφροῦν πάντα σπεύδοντα, Ἱεράρχα κατάβαλε.

Νυγεὶς γλυκεῖ μύωπι, καὶ βέλει μελιτόεντι, σοῦ τοῦ γλυκυτάτου Πάτερ πόθου, ψυχὴν καὶ φρένα, καὶ τὴν καρδίαν πληγείς, καὶ σοῦ τοῖς ἡμέροις πεδηθείς, ἀφεύκτως γεραίρειν σε, παρ' ἀξίαν οὐκ ἔφριξα.

Θεοτοκίον

Ὁ νώτοις ὀχούμενος, χερουβικῶν ἁρμάτων φρικτῶς, καὶ Σεραφικῶν ᾀσμάτων αἶνον, ἐν τοῖς ὑψίστοις ἄνω δεχόμενος, οὗτος ἐπὶ γῆς βρεφοπρεπῶς, δι' οἶκτον καθέζεται ἐν τοῖς κόλποις σου Δέσποινα.

Ὠδὴ ϛ΄. Τὴν θείαν ταύτην.

Ἰάτρευσόν μου τὰ τραύματα, τὰ ἕλκη τὰ ἀνίατα ἴασαι, τὰ τῆς ψυχῆς μου καὶ γὰρ σὲ ἰατρὸν ψυχῶν ἔδειξεν, ὅταν ψυχῶν Δεσπότης καὶ τῶν περάτων Θεός.



Ἀρότρων λόγων σου πάγχρυσε, ἀρόσας τῆς ψυχῆς μου τὴν ἄρουραν, ὡς ἀγαθὸς γεωργός, σπόρον ἐν ταύτῃ κατάβαλε, φόβου Θεοῦ καὶ δός μοι, πολὺν βλαστήσας καρπόν.

Στενάζω κλαίω καὶ κόπτομαι, δακρύω καὶ θρηνῶ καὶ ὀδύρομαι, πόρωθεν γὰρ προορῶ, τὴν φρίκης γέμουσαν γέενναν, ἧς τὴν ἐγγύθεν θέαν καὶ πεῖραν φύγοιμι.

Λεπτύνας πάχος τοῦ σώματος, ξυστῆρσιν ἐγκρατείας ἐτέλεσας ὀξυδερκῆ τὴν ψυχήν, δι' ὑελίνων τῶν ὕμνων γάρ, ἧ ὡς διὰ κατόπτρου ἐδόκει πάντα ὁρᾶν.

Θεοτοκίον.

Ὑμνῶ σε Κόρη πανάμωμε, ὡς τέξασαν Θεὸν ὑπεράμωμον, τὸν ὑπὸ πάσης πνοῆς, ἄνω καὶ κάτω αἰνούμενον, σῶσόν με σώτειρά μου πόθῳ κραυγάζων σοι.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ῥιπιζόμενον κακίας πολλοῖς πνεύμασι, καὶ χειμαζόμενον καὶ ἀστατοῦντα δεινῶς, βεβαίωσον ἕδρασον, ἔρεισον, στήριξον, ἀπερίτρεπτον. τὸν λογισμόν μου ἅγιε ἐπὶ πέτραν μετανοίας,

Ἀναβάσεις ἐν καρδίᾳ σου τιθέμενος, καὶ μεταβαίνων συχνῶς, ἐξ ἀμυδρᾶς προκοπῆς, καὶ ἀπὸ δυνάμεως εἰς μείζω δύναμιν, ἀπὸ δόξης τε, εἰς κρείττω δόξαν ἔφθασας, τὴν ἀκρόπολιν τῆς δόξης.

Νομὴ πρόεισιν, εὐώδους μύρου βλύζουσα, σοῦ τῆς τιμίας σοροῦ, σὺ εὐωδία Χριστοῦ, ὤφθης γὰρ μυρίπνοος ἀρωματίζουσα, πᾶσι πνέουσα, αὐτοῦ τῆς ἐπιγνώσεως τὴν ὀσμὴν τὴν πανευώδη.

Μυροθήκη γεγονώς, τοῦ θείου Πνεύματος ἀναπηγάζεις ἡμῖν, ἄγια καὶ ἄφθονα, ἰάσεων νάματα, ἐκ σωτηρίου πηγῆς, ἀρυόμενος, καὶ δωρεὰς ἀμείνονας, ἐφαπλοῖς τοῖς σὲ τιμῶσιν.

Θεοτοκίον.

Οὐρανίαις μὴ χωρούμενος, εὐρύτησιν Θεὸν οὐράνιον, ὡς οὐρανὸς λογικός, ἐχώρησας Δέσποινα, τοῦ οὐρανοῦ καὶ τῆς γῆς ὑψηλότερον σὺ καὶ εὐρυχωρότερον ἐνδιαίτημα φανεῖσα.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ὠδὴ η'. Παῖδας εὐαγεῖς.**

Νέκταρος πηγὴ διειδεστάτη, χρυσοῦς κρατὴρ ἀμβροσίας χαριτόβρυτος δέδειται τὸ στόμα σου, νάματα γλυκάζοντα, μελισταγῆ καὶ πότιμα βλύζον Χρυσόστομε τὸ ζῶν γὰρ καὶ ἁλλόμενον ὕδωρ, καὶ ζωὴν πηγάζον ἐν σῇ πλουτεῖς καρδίᾳ.

Ἀνοίξας τὸ ἅγιον σου στόμα, τὸ Πνεῦμα τὸ ἀγαθὸν καὶ θεῖον εἵλκυσας, ὅθεν ἐξηρεύξατο μάκαρ ἡ καρδία σου, ἀγαθὸν λόγον ἄνθρωπος ὁ ἀγαθὸς ἀγαθά, ἀπὸ τοῦ ἀγαθοῦ θησαυροῦ γάρ, ἀληθῶς ἐκφέρει, ὁ ἀγαθὸς ὡς ἔφη.

Χύσιν ἀσεβείας ἀναστέλλων, καὶ ῥύσιν ἀναξηραίνων ἀθεότητος ἢ ὡς ἀνυπόστατον ὕδωρ ἐξεκέχυτο, σὲ ὡς ὀπὸν ἐν γάλακτι συνακτικὸν ἐμβαλών, ὁ τὰ ἐσκορπισμένα συνάγων, τοὺς ἐσκεδασμένους εἰς ἓν συνῆψε σέβας.

Ὄργανον θεόπνουν ἀνεδείχθης, κρουόμενον ἐπιπνοίᾳ θείου Πνεύματος, ὅθεν ἐμελῴδησας μέλος παναρμόνιον, θεολογίας ὅσιε, καὶ σωτηρίας ἡμῖν, ὡς λύρα λιγυρὰ μετανοίας, ὡς μουσικωτάτη καὶ εὔρυθμος κιθάρα.

**Θεοτοκίον.**

Σὺ τὴν ἀπωσθεῖσαν ἡμῶν φύσιν, εἰς θάνατον, εἰς φθοράν, εἰς ᾅδου χάρυβδιν, ὕψωσας ἀπέδειξας, ἄφθαρτον ἀθάνατον, ὁ τῆς ζωῆς δεσπόζων γάρ, καὶ τοῦ θανάτου κρατῶν, ἐκ σοῦ Θεογεννῆτορ ἐτέχθη, ὃν ἀεὶ δυσώπει ὑπὲρ τῶν σὲ ποθούντων.

**Ὠδὴ θ'. Ἅπας γηγενής.**

Ἱεροπρεπῶς, τελῶν ἱερώτατε, τὴν ἱερὰν σου ζωήν, οἷα καλλιέρημα, καὶ ἱερεῖον ἄμωμον σὺ σεαυτόν, ὡς ἱερεὺς ἱέρευσας τῷ πάντων Ἀρχιερεῖ καὶ Ποιμένι, καὶ ἀμνῷ καὶ θύματι, ἐν πυρὶ καθαρᾶς συνειδήσεως.

Ὥσπερ στρατηγός, γενναῖος καὶ ἄμαχος, παραδυόμενος, μετὰ πεποιθήσεως, αἱρετιζόντων εἰς τὸ ὀχύρωμα, καὶ τὴν ἐκείνων φάλαγγα καὶ τὴν παράταξιν διατέμνων, δόρατι τῆς γλώττης σου, ἀνεστήσω λαμπρὰ μάκαρ τρόπαια.

Ἄνωθεν σοφέ, σφοδρῷ τῷ ροιζήματι ὡς ἀετὸς καταπτάς, τὸ παρακαθήμενον ἡμᾶς κοράκων σμῆνος ἀπέλασον, καὶ τὰ νοσσία σκέπασον, σοῦ καὶ ἀνάλαβε, ἐπὶ ὤμων, καὶ τῶν μεταφρέ-



νων σου, τὸν Δεσπότην τὸν σὸν ἐκμιμούμενος.

Νέος ὡς Δαβίδ, πατάξας τὸν λέοντα, τὴν ἄρκτον ἔπτηξας, τὴν ἐπιθυμίαν μὲν ὡς ἄρκτον κτείνας, τὸν δὲ θυμὸν ἀνελών, ὥς τινα θῆρα λέοντα, ὅθεν καὶ πρᾶος ἀφθείς, τῶν πραέων γῆν ἐκληρονόμησας, ἀναφαίρετον κλῆρον Χρυσόστομε.

Νήφουσάν μοι δός, καρδίαν Χρυσόστομε, καὶ συνετὸν λογισμόν, ἄγρυπνον καὶ γρήγορον, ἐπαγρυπνοῦντα, θείαις μελέταις ἀεί, καὶ γρηγοροῦντα πάντοτε πρὸς τὴν ἐπέλευσιν τοῦ κλέπτου, μήπως διορρύξῃ μου τῆς ψυχῆς τὴν οἰκίαν αἰφνίδιον.

Ἡλιοειδῶς ὡς περιχεόμενος, τῷ τρισηλίῳ φωτί, τῷ ἐναποβλύζοντι ἐξ ἐνιαίως τρισσοφαιοῦς ἀστραπῆς, τῆς τριλαμποῦς Θεότητος, τῇ ζοφερᾷ μου ψυχῇ μετανοίας, χρυσαυγὲς ἀμάρυγμα καὶ ἀκτῖνα φαιδρὰν ἐξαπόστειλον.

**Θεοτοκίον.**

Σὺ τὸ παλαιόν, τῆς ἔχθρας μεσότοιχον, καὶ τὸν φραγμὸν τῆς ἀρᾶς, Δέσποινα κατέστρεψας, ἀπὸ βαράθρων αὐτῶν ἀνέστησας, εἰρήνην γὰρ ἐγέννησας καὶ εὐλογίαν Χριστόν, τοῖς ἀνθρώποις εἰρήνην ποιήσαντα, οὐρανὸν καὶ τὴν γῆν τῷ σταυρῷ αὐτοῦ.

---

## ΗΧΟΣ ΠΛ. Α'

Ἕτερος κανὼν οὗ ἡ ἀκροστιχὶς

«Τὸν κοσμολαμπῆ φωσφόρον μέλπω λόγοις, ἐγὼ Ἰωάννης».

**Ὠδὴ α'. ἦχος πλ. α'. Ἵππον καὶ ἀναβάτην.**

Τέθριππον Χρυσολόγε, ταῖς γενικαῖς ἀρεταῖς, σεαυτῷ συνεπήξω ἀεροπόρον ὄχημα, ἐφ' ᾧ ἐπιβέβηκας, καὶ πρὸς νύσσαν ἔφθασας τὴν οὐράνιον ἀγαλλόμενος.

Ὅλος ἐτρώθης, μάκαρ τῷ θείῳ ἔρωτι, καὶ τὴν σάρκα λεπτύνας, ἀσκητικοῖς παλαίσμασι, τὸν νοῦν ἀνεπτέρωσας, πρὸς τὸ ὕψος, κάλλος Χριστοῦ τὸ ἄχραντον ἐνοπτρίζεσθαι.

Νέκρωσιν ζωηφόρον ἀμφιασάμενος, ὡς νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς μακάριε, ζωὴν τὴν ἀνώλεθρον καὶ ἀγήρω, εἴληφας ἀναφαίρετον κλῆρον ἄνωθεν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Κόσμος Ἀρχιερέων περικαλλὴς γεγονώς, ὡς γενόμενος ἔξω σαρκὸς καὶ κόσμου πάγχρυσε, χαρὰν ὑπερκόσμιον ἐκπληρῶσαι, ἧς ἡμᾶς τοὺς ἐν κόσμῳ μετόχους ποίησον.

**Θεοτοκίον.**

Ὅλον ἐν σοὶ τὸ πλήρωμα τῆς Θεότητος κατοικῆσαν Παρθένε τὴν ἐν ἡμῖν οἰκήσασαν, κακίαν ἐξώκισε παραδείσου, πάλιν ἡμᾶς οἰκήτορας ἐργασάμενον.

**Ὠδὴ γ΄. Ὁ πήξας ἐπ᾽ οὐδενός.**

Στεφάνῳ τῶν ἀρετῶν σε μάκαρ κατέστεψε χαρὰ τῶν κύκλω σε κατεκόσμησε, ἡ αὐτοσοφία Ἰησοῦς, ὡς ἐραστὴν σοφίας, τῆς ἀληθοῦς τε καὶ ἀμείνονος, οὐ τῆς ψευδωνύμου δὲ γνώσεως.

Μελέτην τὸν βίον ὅλον θανάτου θέμενος, τὰ παρόντα πάντα σκιὰν λελόγισαι· ὄνειρον καὶ κόνιν καὶ καπνόν, καὶ τέφραν λυομένην, καὶ μετατάξω πρὸς τὰ μένοντα καὶ διηνεκῆ καὶ ἀΐδια.

Ὁ φθόγγος τῶν βροντοφώνων μάκαρ δογμάτων σου, ὡς βροντὴ ῥαγεῖσα ἐξ οὐρανοῦ φοβερά, ἄνωθεν ῥαγδαίως ἐνυχθείς, τοὺς ἀπὸ γῆς φωνοῦντας, ῥήτορας, ὡς ἐγγαστριμύθους τῶν αἱρετικῶν κατεβρόντησεν.

Λιμένα τοὺς ἐν θαλάσσῃ καὶ ἐν πελάγει παθῶν, κλυδωνιζομένοις καὶ κινδυνεύουσιν, ἔθετό σε Χριστός σε, γαληνόν, πρὸς ὅρμον μετανοίας, ἠμέρῳ κύματι καὶ πνεύματι, τούτους κυβερνῶντα Χρυσόστομε.

**Θεοτοκίον.**

Ἁγίως τὸν ἐν ἁγίοις ἀναπαυόμενον, τὸν ἁγίων ἅγιον ἁγιάζοντα, πάντας τοὺς ἁγίους ὡς Θεὸν ἁγία τῶν ἁγίων, ἁγίῳ Πνεύματι συνέλαβες, ὡς ναὸς Θεοῦ ἁγιώτατος.

**Ὠδὴ δ΄. Τὴν θείαν ἐννοῆσαί σου.**

Μισήσας τὴν τοῦ κόσμου προσπάθειαν, ἡδυπαθείας σαρκικῆς, τὴν ἐμπαθῆ Πάτερ ὄρεξιν, δι᾽ ἀπαθείας νεκρώσας, ὤφθης ἀπαθὴς θεῖος Ἄγγελος.

Ποικίλας τῷ χρυσῷ τῶν δογμάτων σου, ἣν ἐξυφάνατο Χριστός, καὶ θείῳ αἵματι, ἔβαψε, τῇ Ἐκκλησίᾳ πορφύραν, σαφῶς ὡραιοτέραν ἀνέδειξε.



Ἡ σάλπιγξ ἡ χρυσόστομος ἤχησε, καὶ τῷ φρικώδει σαλπισμῷ, ὡς τείχη Ἱεριχούντεια, τὰ ὀχυρώματα πάντα, κατέστρεψεν εἰς γῆν τῶν αἱρέσεων.

Φωστὴρ ὡς διαυγὴς καὶ φανότατος, τοὺς ἐν νυκτὶ τῶν ἡδονῶν νυκτομαχοῦντας, ὡδήγησας πρὸς τὸν τῆς δικαιοσύνης, ἀνέσπερον καὶ ἄδυτον ἥλιον.

**Θεοτοκίον**

Ὡς ῥίζαν ὡς πηγὴν ὡς αἰτίαν σε, τῆς ἀναπλάσεως ἡμῶν, καταγεραίρομεν Δέσποινα, διὰ γὰρ σοῦ τὴν ἀρχαίαν, πατρίδα τὸν Παράδεισον εὕρομεν.

**Ὠδὴ ε΄. Ὁ ἀναβαλλόμενος.**

Σοῦ τῶν λόγων ἔφαναν, αἱ ἀστραπαὶ ψαλμικῶς, τῇ οἰκουμένῃ καὶ ἐσαλεύθη καὶ ἔντρομος γέγονεν ἡ γῆ, μεταβᾶσα ἀπὸ κακίας εἰς ἀρετήν.

Φέρειν τὰ συμπίπτοντα, περιχαρῶς δυσχερῆ, καὶ εὐχαρίστως ἐν ταῖς ἀνάγκαις καὶ ταῖς περιστάσεσιν, ἔχειν τοὺς ἀνθρώπους ἐκπαιδεύσας Χρυσόστομε.

Οἷα βότρυς πέπειρος, ἀποθλιβόμενος ληνοῖς, καρδίας ἐναποστάζει, γλεῦκος κατανύξεως, καὶ ἄϋλον νέκταρ, ὁ λόγος σου Χρυσόστομε.

Ῥέουσα Χρυσόστομε, χρυσὸν ἡ γλῶσσά σου, ψυχὰς πλουτίζει, τὰς πενομένας, Χριστὸν ἐνστερνίζεσθαι, ἢ χρυσὸν συνάγειν, παγχρύσοις λόγοις πείθουσα.

**Θεοτοκίον.**

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, καὶ περιβάλλων νεφέλαις πόλιν, ἐκ σοῦ περιβάλλεται, πανάμωμε Κόρη, σαρκὸς περιβολὴν δι᾽ ἐμέ.

**Ὠδὴ ς΄. Ἐκύκλωσέ με ἄβυσσος.**

Νεκρὸς πρὸ τῆς νεκρώσεως, πρὸ τάφου καὶ τῆς διαλύσεως, σκωλήκων καὶ σήψεως, ὑπάρχω περίπλεως, ἐσάπησάν μου καὶ γὰρ οἱ ἔνδον μώλωπες.

Μολύβδου βαρυτέρα μοι, τελοῦσα βαλεῖ τὸν αὐχένα μου, συντρίβει τὸν τράχηλον συγκύπτειν βιάζει με, ἡ ἁμαρτία, ἧς ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἐδίκασας τῷ σώματι δικαίως, σοφὲ καὶ τῷ πνεύματι, τὸ χεῖρον τῷ κρείττονι, τῷ λόγῳ τὸ ἄλογον, καθυποτάξας, ὡς ὢν διαιτητὴς ἀκριβός.

Λυχνία χρυσαυγίζουσα ἐδείχθης, νεφέλη σκιάζουσα, καρδίας δροσίζουσα, ψυχὰς ἀναψύχουσα ἐκτηκομένας, παθῶν ἐμπύρων ἄνθραξιν.

**Θεοτοκίον.**

Πολύφωτον στερέωμα, ὤφθης τοῖς τέρασι πέρασι, πανάμωμε Δέσποινα ὡς ἄστρασι τέρασι, καταφωτίζων καὶ θαύμασι τὴν γῆν φοβεραί.

**Ὠδὴ ζ΄. Ὁ ἐν καμίνῳ πυρός.**

Ὡς παρεστὼς τῷ Χριστῷ, Σεραφικοὶ ὡς παραστάτης τὴν τῶν πολλῶν μου χρεῶν λύσιν μοι βράβευσον.

Λελαμπρυσμέναις σταλαῖς, ἱεραρχίας, Ἱεράρχα· τῷ λαμπροτάτῳ φωτὶ νῦν πλησιάζεις τρανῶς.

Οἱ ψυχοφθόροι λῃσταί, πολλὰς πληγὰς ἐπέθηκάν μοι, ὡς ἀρχηγοὶ τῶν παθῶν, πάθεσι στίξαντες.

Γῆς παρεπίδημος ὤν, πάσης καὶ πάροικος τρισμάκαρ, τοὺς οὐρανοὺς κατοικεῖς, νῦν ἀγαλλόμενος.

**Θεοτοκίον.**

Ὁ ἐκ Παρθένου μητρός, ἵνα τὴν Εὔαν ἀναπλάσῃς νέος Ἀδὰμ γεγονώς, εὐλογητὸς εἶ Χριστέ.

**Ὠδὴ η΄. Σοὶ τῷ Παντουργῷ.**

Ἵστα τὴν φωνήν, συμπνίγει μου τὸν λόγον, ὑπὸ τῆς πυκνότητος τὸ τῶν ἐπαίνων σου πλῆθος ἐπάγον μοι μάκαρ ἀπορίαν, διὰ ἀπορίαν καὶ πλῆθος ἐγκωμίων.

Σὺ τῶν Χερουβὶμ καὶ Σεραφὶμ καὶ θρόνων, ἰσότιμος γέγονας καὶ ἰσοστάσιος, ἐπανεπαύθη καὶ γὰρ ἐν σοὶ ὁ Λόγος, καὶ σοῦ τοῖς ἁγίοις μέλεσιν ἐδοξάσθη.

Ἔβλυσεν ἡμῖν νάματα νεκταρώδη τὸ τίμιον στόμα σου μάκαρ Χρυσόστομε, σοῦ γὰρ τὰ χείλη, κρατῆρι τῆς σοφίας, ὑποθεὶς ἐκεῖθεν ἤντλησας θείαν χάριν.

Γλῶσσαν ἱλαρὰν καὶ τοῦ Χριστοῦ τὸ στόμα, τὸ πάσης πραότητος καὶ γαληνότητος πλῆρες πλουτήσας, καὶ ταπεινὴν καρδίαν καὶ μετὰ τὸ τέλος εἰσέτι θέλγει πάντας.



**Θεοτοκίον.**

Ὡς δημιουργὸν κόσμου, καὶ τῶν ἐν κόσμῳ τεκοῦσάν σε Δέσποινα Θεογεννήτρια ἅπας ὁ κόσμος μετὰ τῶν ἐγκοσμίων, καὶ ὑπερκοσμίων ὑμνοῦσι παγκοσμίως.

**Ὠδὴ θ΄. Ἠσαΐα χόρευε.**

Ἰδεῖν ὀρεγόμενος τὸ ὡραῖον κάλλος τοῦ Χριστοῦ, παρέδραμες τὰ φθαρτὰ κάλλη καὶ ῥευστά, τὸ μόνον καὶ μόνιμον, καὶ ὀρεκτῶν ἔσχατον καλῶν, καὶ τῆς ἀκρότητος τῶν ἐφετῶν ἐφιέμενος.

Ὡς χρυσίον εὔροιζον μαργαρίτας ὡς λευκοφαεῖς, ὡς λίθους διαυγεῖς, καὶ πολυτελεῖς, ὡς πλοῦτον πολύολβον, ὡς θησαυρὸν πᾶσι τοῖς πιστοῖς, σὺ ἐθησαύρισας Χρυσολόγε τὰ σὰ λόγια.

Ἀνοίξας Χρυσόστομε, καταρράκτας γνώσεως τῆς σῆς, ἀναστομώσας πηγάς, λόγων σου σοφῶν, σοφίας τὴν ἄβυσσον εἶχες καὶ γὰρ βρύουσαν ἐντός, ἄρδην κατέκλεισας, κακοδόξων τὰ συστήματα.

Νυσταγμὸν οὐκ ἔδωκας σοῖς βλεφάροις Πάτερ ἱερέ, οὐχ ὕπνου προφητικῶς σοῦ τοῖς ὀφθαλμοῖς, ἀλλ᾽ οὐδὲ ἀνάπαυσιν τοῖς κροτάφοις, ἕως σεαυτὸν τόπον καὶ σκήνωμα, ἀπειργάσω τῷ Θεῷ Ἰακώβ.

Νοερὰν πανήγυριν ἐπετέλουν, τάξεις νοεραί, αἰνέσεως ἡ φωνὴ καὶ ἀλαλαγμοῦ, ἡνίκα τοῦ σώματος χωρισθεῖσα τοῦ πανευαγοῦς ἀνεκομίζετο, ἡ ψυχή σου εἰς σκηνὰς οὐρανῶν.

Ἡ χρυσοχορδόπληκτρος ἀνυμνείσθω λύρα λιγυρῶς, ἡ μελιχρὰ μουσικὴ καὶ κοσμοτερπής, κιθάρα ἡ εὔρυθμος, μετανοίας ὁ γλυκὺς αὐλός, ὁ χρυσεπώνυμος, καὶ χρυσόνους καὶ χρυσόστομος.

**Θεοτοκίον**

Στεναγμοῖς καὶ δάκρυσι, τῶν δακρύων καὶ τῶν στεναγμῶν, τῶν ἐν γεέννῃ πυρός, καὶ ἐν ζοφεροῖς, τοῦ ᾅδου σκηνώμασι, λύτρωσαί με Μῆτερ τοῦ φωτός, ἀγαλλιάσεως, οὐρανίου ἀξιοῦσά με.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΗΧΟΣ ΠΛ. Β΄.

Ἕτερος κανὼν οὗ ἡ ἀκροστιχίς.

«Συνωνύμως μέλπει σε τὸ χρυσοῦν στόμα, οἰκτρὸς μοναχὸς οἰκέτης Ἰωάννης».

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Κύματι θαλάσσης.

Στόματι πηλίνῳ, καὶ γλώσσῃ γεώδει, σὲ τὸν Χρυσόστομον ὑμνεῖν ὁρμῶντί μοι, χρυσοφαὲς οὐρανόθεν, θείας γνώσεως ἀμάρυγμα, ἐξαστράψας φώτισον τὸν νοῦν καὶ τὴν καρδίαν μου.

Ὕλην φθειρομένην, καὶ ῥέουσαν δόξαν καὶ κόσμον σύμπαντα, καὶ κοσμοκράτορα, παραδραμὼν ἀντὶ πάντων, τὸν Χριστὸν ἐκτήσω πάνσοφε, οὗ τρωθεὶς τῷ ἔρωτι, ἡγήσω πάντα σκύβαλα.

Νόμοις τοῦ Σωτῆρος, Χριστοῦ πειθαρχήσας, ἀπὸ νεότητος ἐπὶ τῶν ὤμων σου ἀναλαβὼν τὸν σταυρόν σου, διὰ πόνων τῆς ἀσκήσεως, αὐτῷ ἠκολούθησας, σαρκὸς νεκρῶν τὸ φρόνημα.

Ὤκησας ἐρήμους, ἀβάτους ἀνύδρους, ἄσκευος ἄστεγος, ἄτρωφος, ἄγνωστος, ὥσπερ ὁ μέγας Ἠλίας, Ἰωάννης τε ὁ Πρόδρομος, ὧν ζηλῶν ἐζήλωσας τὴν παρρησίαν ἅγιε.

Νίκην λαμπροτάτην ἀράμενος μάκαρ κατὰ τοῦ δράκοντος, μετὰ τροπαίων λαμπρῶν, ὥστις ὀλυμπιονίκης, θείῳ πνεύματι φερόμενος, αὖθις ἐπανέδραμες πρὸς τὴν ἐνεγκαμένην σε.

Ὕπνου βραχυτάτου, παρ᾿ ὅλον τὸν βίον σχεδὸν ἐτέλεσας ἀπογευόμενος, σχοῖνον ἐξάψας τοῦ στέγους, καὶ τὰς χεῖρας αἰωρῶν ἐν αὐτῷ, καὶ στερρῶς ἱστάμενος πρὸς βίας τὰ τῆς φύσεως.

Μέγας ἐν σημείοις, καὶ τέρασιν ὤφθης, πολλοῖς ἐν θαύμασιν καὶ περιβόητος, ὕδατι μόνῳ ῥαντίζων, καὶ ἰώμενος τοὺς κάμνοντας καὶ τυφλοῖς παρέχων φῶς, ἀφῇ τῶν ἱματίων σου.

**Θεοτοκίον.**

Ὁ ἀπεριγράπτοις καθήμενος κόλποις, θείου γεννήτορος, ἀπεριγράπτου Πατρός, ὡς ἀπερίγραπτος Λόγος, τῷ σαρκὶ περιγραφεὶς τοῦ ἐκ σοῦ, τοῖς ἀχράντοις κόλποις σου, βρέφος ἁγνὴ καθέζεται.



Ὠδὴ γ΄. Σὲ τὸν ἐπὶ ὑδάτων.

Σὺ νοῦν Χριστοῦ πλουτήσας, ἐζήλωσας τὴν αὐτοῦ εὐσπλαγχνίαν, ὡς δυνατὸν ἀνθρώπῳ, καὶ σῶσαι πάντας ἐσπούδασας, δι᾿ ἐξομολογήσεως καὶ ἀποχῆς κακῶν, καὶ ἐμπράκτου μετανοίας θερμῆς.

Μέλλοντι ἀναβαίνειν, εἰς μέγιστον ὕψος ἱερωσύνης, νυκτὸς ἐπιφανέντες, Πέτρος ὁ μέγας ἀπόστολος καὶ Ἰωάννης τόμον σοι, σοφίας σύμβολον, ἐγχειρίζουσι καὶ κλεῖς οὐρανῶν.

Ἔχρισέ σε τὸ Πνεῦμα, τὸ ἅγιον ὁ Θεὸς ὁ Θεός σου, παρὰ τοὺς σοὺς μετόχους, ἀγαλλιάσεως ἔλαιον, καὶ μῦρον θείου χρίσματος, καὶ ἐξεχύθη σου χάρις δαψιλὴς ἐν χείλεσιν.

Λέοντας ἀοράτους, καὶ δράκοντας νοητοὺς τῇ δυνάμει Χριστοῦ καταπατήσας, τὸν αἰσθητὸν θῆρα λέοντα τὸν σαρκοβόρον χάριτι σταυροῦ κατέβαλες, καὶ νεκρὸν ἀθρόον ἔδειξας.

Πέλαγος ἐξηρεύξω, Χρυσόστομε, διδαχῶν γλυκυτάτων, αἱρέσεων ξηραῖνον, τὰ βορβορώδη καὶ ἄποτα, καὶ θολερὰ ὀμβρήματα, καὶ ἁλμυρόβρυτα, τὰς καρδίας τε πιαῖνον ἡμῶν.

Ἔμψυχον ἐγκρατείας, ἀρχέτυπον καὶ στήλη σωφροσύνης, καὶ ἄγαλμα ἁγνείας, καὶ παρθενίας ἀνάθημα, καὶ ἀρετῶν σὺ πάγχρυσος, γνώμων Χρυσόστομε, καὶ παντὸς καλοῦ διδάσκαλος.

Ἵνα χωρήσῃς ὅλην, τὴν ἔλλαμψιν τῆς ἁγίας τριάδος, ἐστίλβωσας τὸν νοῦν σου οἷα νεότμηκτον ἔσοπτρον, καὶ τὴν ψυχὴν ἐχρύσωσας, Πάτερ Χρυσόστομε, ἀρετῶν ἰδίαις πάσαις νοΐ.

**Θεοτοκίον.**

Σὺ χωρὶς συναφείας, ἀπείρανδρε, τοῦ Χριστοῦ συλλαβοῦσα, τὰ πρώην διεστῶτα, Χριστὸν συνάψαντα γέγονας, ἀμίκτων πάντα φύσεων, ἕνωσις ἄρρηκτος, ἀδιάσπαστος συνάφεια.

**Ὠδὴ δ΄. Τὴν ἐν σταυρῷ σου.**

Ἐξηγητὴν ἱεροκήρυκα, ἑρμηνέα σοφόν, τῶν γραφῶν καθιστᾷ σε, Μελέτιος ὁ ἔνδοξος, ταύτης τῷ λαῷ, ἐν συνέσει καὶ χάριτι ἀναπτύσσοντα.

Τοῦ ἀρχιποίμενος τοῖς νεύμασιν, ὁ ποιμὴν ὁ καλός, ἄξιον παραστάτην, προσάγει σε τῷ βήματι τὸν μετ᾿ οὐ πολύ, τῶν ποιμένων ποιμένα, μέγαν ἐπόμενον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ ἐν ὑψίστοις παριστάμενος, τῷ Θεῷ, νοερῶς καὶ σὺν Ἀγγέλοις ᾄδων, ὕμνον αὐτῷ τρισάγιον, καὶ ἐν ἱερᾷ πρεσβυτέρων καθέδρᾳ, ᾕνεσας τοῦτον ἐν γῇ.

Χρυσοῦ εὐροΐζου καθαρώτερος, ὁ σὸς δέδεικται νοῦς, Χρυσόστομε τρισμάκαρ, πᾶν ἐμπαθὲς καὶ πρόσυλον νόημα καὶ γάρ, τῆς ἁγνείας χωνεία ἐναπετέφρωσεν.

Ῥάβδῳ πυρίνῃ τῶν παγχρύσων σου, διδαχῶν διασχών, τὴν τῆς φιλαργυρίας κυμαινομένην θάλασσαν, ἔθηκας βατήν, τῇ ἐλεημοσύνῃ ἄβατον οὖσαν τὸ πρίν.

Ὕψωμα ἅπαν ἐπαιρόμενον, κατὰ τῆς τοῦ Θεοῦ γνώσεως, λογισμούς τε, σὺ καθαιρῶν πᾶν νόημα εἰς τὴν ὑπακοήν, τοῦ Χριστοῦ Ἱεράρχα, ἐξῃχμαλώτιζες.

Θεοτοκίον.

Σωματοφόρον τὸν ἀσώματον, ἀσωμάτου φωνῇ γεννήσασα Παρθένε, σωματικῶν ὀρέξεων, ῥῦσαί μου τὸν νοῦν, ἀσωμάτων ἀγγέλων ἡ ὑπερέχουσα.

Ὠδὴ ε΄. Θεοφανείας σου Χριστέ.

Ὁ πρὸ γενέσεως εἰδώς, τὸ χρυσαυγὲς καὶ φαιδρὸν τῆς ψυχῆς σου, καὶ πρὸ τοῦ πλασθῆναι ἐν τῇ μήτρᾳ σε Πάτερ ἅγιε, ὡς προφήτην ἄλλον σαφῶς Ἱερεμίαν σε, ἄγρυπνον ποιμένα, καὶ φύλακα τῆς αὐτοῦ ποίμνης προβάλλεται.

Ὑπὸ Θεοῦ προχειρισθείς, τοῦ τὴν ἡμῶν ὑπελθόντος πτωχείαν, τῶν πτωχῶν προστάτης καὶ ὑπέρμαχος, καὶ κοινὴ πενήτων προμήθεια, ἐμβαλὼν ὡς κλεῖδα χρυσῆν, γλῶσσαν τὴν πάγχρυσον, τοῖς τῶν φιλαργύρων ταμείοις, καὶ θησαυροὺς ἤνοιξας ταῦτα πτωχοῖς.

Νόμοις Χριστοῦ ἀκολουθῶν, τὸ ἀσθενοῦν συμπαθῶς ἐπεσκέψω· τὸ πεπλανημένον ἐπανήγαγες, τὸ νοσοῦν ἴασω θεσπέσιε, καὶ τὸ καταρραγὲν δεινῶς αὖθις κατήρτισας, καὶ ἐπανωρθώσω, ὡς γνήσιος καὶ καλός, οὐ μισθωτὸς ὢν ποιμήν.

Συντόνῳ τάχει καὶ σπουδῇ, πίστις θερμὴ εὐσεβῶν βασιλέων· ἐξ Ἀντιοχείας τῆς Συρίας σε, πρὸς τὴν βασιλίδα τῶν Πόλεων, μετὰ δόξης ὅτι πολλῆς δορυφορίας τε καὶ τιμῆς, πρεπούσης μετάκλητον ὡς Θεοῦ ἄγγελον ἔθετο.



Τὸ προαιώνιόν σε φῶς, ἐφ᾽ ὑψηλὴν τὴν ἀρχιερωσύνην πάγχρυσε λυχνίαν ἀνεσκεύασε, μέγα φῶς τοῦ κόσμου τυγχάνοντα, ὅπως ἔδωσε διὰ σοῦ φῶς ἐπιγνώσεως, οἱ ἀπεγνωσμένοι, καὶ φέγγος ἐπιστροφῆς, καὶ μετανοίας αὐγήν.

Ὁ πᾶς τῆς Πόλεως λαός, ὡς εἰς κοινὴν ἑορτὴν συνδραμόντες, καὶ ὡς εἰς πανήγυριν χαρμόσυνον, προχυθέντες ἔξω τοῦ ἄστεος, μετὰ κρότων περιχαρῶς, σοὶ προσυπήντησαν, ἐπιβατηρίων ποιούμενοι ἑορτήν σοι ἐπεισόδιον.

Θεοτοκίον

Μόνη ἐν πάσαις γενεαῖς, ὑπερφυῶς καὶ Παρθένος καὶ Μήτηρ, χρηματίζεις Δέσποινα γεννήσασα, βρέφος προαιώνιον, ἄχρονον, γεννηθείς μου ἐκ τοῦ Πατρὸς ἄνευ Μητρὸς πρὸ πάντος, ἐκ σοῦ τῆς Μητρὸς δέ, ὡς εἶδε μετὰ τὸ πᾶν δίχα Πατρὸς κυηθέν.

Ὠδὴ ϛ΄. Συνεσχέθη.

Ἀνατείλας, οἷα χρυσαυγίζων ἥλιος, καὶ χρυσοφαής, ὡς ἐκ παστοῦ νυμφίος, ἐν τῷ ὕψει τῷ τῆς Ἐκκλησίας, χρυσαῖς ἀκτῖσι, τῆς διδασκαλίας σου, κατεχρύσωσας τὴν πᾶσαν κτίσιν, καὶ διεσκέδασας ἔαρ ὡς μυστικόν, τὸν βαρὺν χειμῶνα τῶν αἱρέσεων.

Ὁ δοξάζων, βασιλεὺς τῆς δόξης, πάντας δοξάζοντας αὐτόν, αὐτὸς σε καὶ δοξάζει, ὡς δοξάσαντα αὐτὸν ἐν πᾶσι καὶ πάσης δόξης, ἀποφαίνει ἄξιον ἐνδοξότερόν τε βασιλέων, δείκνυσιν ἔμπροσθεν, τούτων χάριν σοι δοὺς δαίμονας ἐλαύνειν ψιλῷ ῥήματι.

Ἵνα δείξῃ, ὁ κρυφιογνώστης, τὴν ἐν κρυπτῷ σου ἀρετήν, ἐν ὀστρακίνῳ σκεύει, οἶκος κέκρυπται θησαυρὸς μέγας, λευκοφαὴς τε μαργαρίτης ἔντιμος, ὡς λευκὴ περιστερὰ ἐπέστη Πνεῦμα τὸ ἅγιον, ἄρτι τὴν κεφαλήν, τῷ ἀρχιερεῖ καθυποσχόντι σοι.

Κατεπλάγη, βασιλεὺς καὶ δῆμος, καὶ ἱερέων ὁ χορός, ὁρῶντες ἀριδήλως τοῦ λαμπροῦ καὶ καθαροῦ σου βίου, τὴν μαρτυρίαν, φερομένην ἄνωθεν, ὁ ἐν οὐρανῷ πιστὸς μάρτυς ἐπιμαρτύρησεν, ὡς τὰ πάντα εἰδὼς τῇ ἀκεραιότητι τῶν τρόπων σου.

Τὰ σὰ χείλη, Πνεύματος ἁγίου, γέγονε λύρα μυστική, καὶ μελουργὸς κιθάρα, παναρμόνιον ᾄδουσα μέλος μουσικὸν ᾆσμα, λιγυρὸν ἀπήχημα, τῇ εὐρύθμῳ γλυκερᾷ συνθήκῃ, καὶ τῷ χα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρίεντι τῆς τῶν φθόγγων πλοκῆς, θέλγουσα ψυχὰς καὶ καθηδύνουσα.

Ρητορεύων, ἔπεισας ἀπείρους, φίλους γενέσθαι τοῦ Θεοῦ, καὶ ἀρετῆς ἐργάτας, οὐ γὰρ ὄρος γλυκασμοῦ σταλάζον, οὐ θεία δρόσος, οὐρανόθεν πίπτουσα καὶ πιαίνουσα ψυχῶν ἀρούρας· διὸ οἱ λόγοι σου, ὤφθησαν τοῖς λαοῖς, μέλιτος γλυκύτεροι Χρυσόστομε.

**Θεοτοκίον**

Ὄρος πῖον, πάγχρυσε λυχνία στάμνε τοῦ μάννα τῆς ζωῆς, κεχρυσωμένη πύλη ἀκατάφλεκτε πυρφόρε βάτε, ἔμψυχε θρόνε, οὐρανὲ πολύφωτε, περιώνυμε Χριστοῦ καθέδρα, παστὰς χρυσόπλοκε, εὐωδίας πηγὴ σκήνωμα Θεοῦ Δέσποινα σῶσόν με.

**Ὠδὴ ζ΄. Ἄφραστον θαῦμα.**

Συχναῖς λιβάσι, καὶ ἐπομβρίαις τῶν λόγων σου, ἀρδομένη οἷα λιπαρά, καὶ εὔγειος γῆ, δέδεικται πολύφορος ἡ Ἐκκλησία, Χριστοῦ καρποφοροῦσα, ἀρετῶν διαφόρων παγκαρπίαν.

Μὠλωπες ὄντως, τοῖς εὐσεβέσιν οἱ ἔλεγχοι, καὶ πυρφόρα βέλη καυστικά, ἐπεὶ καὶ πικρὸν τὸ μέλι τοῖς κάμνουσι, καὶ Θεοῦ λόγοι, κέντρα τοῖς κακοτρόποις, καὶ νοσῶν, ὀφθαλμὸς γὰρ φεύγει φέγγος.

Οὐκ ἐπὶ πλέον, στέγειν τοῦ φθόνου δυνώμενος, τὴν ὠδῖνα ῥήγνυσιν αὐτήν, καὶ εἰς φανερὸν ἐξάγει τὸ γέννημα, ὁ τῆς κακίας γεννήτωρ καὶ τοῦ φθόνου, τὸν ποιμένα, μακρὰν θεὶς τοῦ ποιμνίου.

Νὺξ ἀθυμίας, καὶ κατηφείας σκοτόμαινα, ἐξ αἰθρίας ἡμεροφαοῦς, τὴν νύμφην Χριστοῦ αἴφνης κατεκάλυψεν, ἀποβαλοῦσάν, τὸν μέγαν σε φωστῆρα, ἐπειρείᾳ, τοῦ ἄρχοντος τοῦ σκότους.

Ἅρπαγες λύκοι, ποιμένων πρόσωπα φέροντες, καὶ προβάτων, ἔξωθεν δοράν, τὴν ἀλωπεκήν, ἔνδοθεν δὲ κρύπτοντες, καὶ τῷ κωδίῳ καλύπτοντες τὸν θῆρα, τὸν καλόν σε, κατέκριναν ποιμένα.

Χήρα καθάπερ, βαρυπενθὴς καὶ πολύδακρυς τὸν νυμφίον σε τὸν ἑαυτῆς, ζητοῦσα πικρῶς, ἔστενε Χρυσόστομε, ἡ Ἐκκλησία, ἥτις διὰ τὴν χηρείαν τὴν ἄωρον ὑπέστη.



**Θεοτοκίον.**

Ὁ μόνος κρίνων, δικαιοσύνην ἐκάθισεν ἐπὶ θρόνον Δέσποινα καὶ γάρ, ἐκ σοῦ σαρκωθεὶς θρόνον σε πυρίμορφον, ἔδειξεν ὅθεν· ἐν κόλποις κάθηται, σοῦ ὡς ἐν θρόνῳ, βρεφοπρεπῶς ἁγίῳ.

**Ὠδὴ η΄. Ἔκστηθι φρίττων.**

Σὲ τὸν ποιμένα τὸν καλόν, τοῦ ἀρχιποίμενος καὶ ἀμνὸν τὸν μιμητήν, ὡς ἄρνα, καὶ κριὸν ἐπίσημον, καὶ ὡς ἀμνὸν λογικὸν οὐδόλως κραυγάζοντα, οὐ σχόντες παλάμαις παλαμναίαις, οἱ ποιμένες καὶ λύκοι, πόρρω τῆς σῆς ποίμνης, ἐξώρισαν ἀδίκως.

Ὄρη καὶ νάπαι καὶ βουνά, κοιλάδες θάλασσαι, καὶ πηγαὶ καὶ ποταμοί, ἀστέρες σελήνη καὶ ἥλιος ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶσα ἐστύγνασεν, ἡ κτίσις ἐλέγχουσα τὴν τότε πραχθεῖσαν ἀνομίαν, τὴν ἐκ πρεσβυτέρων ἀδίκων ἐξελθοῦσαν.

Ἵνα θεάσωνται τὸ φῶς, τῆς ἐπιγνώσεως, οἱ ἀγνοίας ἐν νυκτὶ τελοῦντες, καὶ δόξης τὸν ἥλιον μάθωσι μόνον Θεόν, οἱ τῷ αἰσθητῷ, λατρεύοντες ἡλίῳ, ὡς Παῦλος ἀπεστάλης, εἰς ἔθνη μακρὰν ὄντα, ἀχλὺν ἀπιστίας, ὡς ἥλιος σκεδάζων.

Κέρδος προσήγαγες Χριστῷ, καὶ κατὰ πάρεργον ἧς πεπόρευσαι ὁδοῦ, ὡς δοῦλος εὐγνώμων Χρυσόστομε, καὶ ἀγαθὸς καὶ πιστός, ἐθνῶν ὁλοκλήρων σωτηρίαν μέλιτι τῶν σῶν λόγων, τὴν πικρὰν ἀπιστίαν, ὡς διεφθορότα χυμὸν ἐξεμεσάντων.

Εὗρεν ὡς ἄλλον σε Χριστόν, ἄλλος παράλυτος, τοῦ Χριστοῦ τὸν μαθητήν, ἐντεῦθεν, εὗρε καὶ τὴν ἴασιν, παρεπομένην εὐθύς, ὡς μόνον γὰρ ἔφησε πιστεύσας ἀνέστη παραχρῆμα, καὶ τὴν κλίνην βαστάσας ἐβάδισε, χαίρων καὶ Χριστὸν μεγαλύνων.

Τέλος τῶν πόνων εὐκλεὲς εὐαγγελίζονται, εὐχομένῳ σοὶ νυκτός, ὁ μέγας Πέτρος Ἰωάννης τε, ἡ θεολόγος Βροντή, καὶ τὴν μετὰ Χριστοῦ βασιλείαν, καὶ τὴν τῶν ἀπορρήτων, ἀγαθῶν μετουσίαν, τὴν ἐκδεξομένην σε μάκαρ μετὰ τέλους.

Ἤδη ἡ αὔριον σαφῶς, ἡμᾶς ἑνώσει τε καὶ συνάψει ἐν Χριστῷ, ὁ μάρτυς Βασιλίσκος ἔφη σοι κατ᾽ ὀφθαλμοὺς παραστάς, καὶ τῷ νεωκόρῳ παρηγγύα καθ᾽ ὕπαρ ἐπισκήπτων, ἑτοίμασον δὴ τόπον, ὡς τὸν ἀδελφὸν Ἰωάννην ἀναπαύσει.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Θεοτοκίον

Σὲ ἡ σοφία τοῦ Θεοῦ, ἡ ἀπαράλλακτος τοῦ Πατρὸς ὄντως εἰκών, ἡ ζῶσα σφραγὶς καὶ ἀκίνητος, ὁ ἀκριβὴς χαρακτήρ. Ὡς ἔμψυχον θάλαμον οἰκήσας, ἐκ σοῦ Θεογεννῆτορ, σαρκοφόρος προῆλθε, καὶ συνανεστράφη ἀνθρώποις φιλανθρώπως.

### Ὠδὴ θ΄. Μὴ ἐποδύρου μου Μῆτερ

Ἱεραρχῶν ὁμηγύρεις, προφητῶν πανηγύρεις, Πατριαρχῶν καὶ Ἀποστόλων δῆμοι καὶ χορεί, ἀθλητῶν ἀγέλαι, μαρτύρων φάλαγγες, ἀσκητῶν καὶ ὁσίων συστήματα, τὴν σήν, ἀνιοῦσαν προέπεμπον Ἱεράρχα ψυχήν.

Ὡραϊσμένη ὡς νύμφη, καὶ περιβεβλημένη, πεποικιλμένη ἀρετῶν, χρυσοῖς ἐν κροσσωτοῖς, ὡς φαιδρὰν παστάδα, τὸ θεῖον σκῆνος, ἡ ψυχή σου λιποῦσα, πρὸς τὰς φωτοειδεῖς, οὐρανίους παστάδας, μάκαρ ἀνέδραμεν.

Ἄγγελος θεῖος κατ᾽ ὄναρ, ἐπιστὰς τῷ σῷ φίλῳ, ἀδελφειῷ τὸν Ἰωάννην ἔφη τὸν χρυσοῦν, τὸν τῆς μετανοίας ὃν ζητεῖς γίνωσκε, μετὰ τῶν πυριμόρφων Σεραφεὶμ παρεστῶτα τῷ θρόνῳ τοῦ Βασιλέως.

Νεανικὸν δεικνὺς πόθον, καὶ διάπυρον φίλτρον, καὶ φιλοπάτορος υἱοῦ, ἀγάπην καὶ στοργήν, ἐκ τῆς ἐξορίας ἀνακομίζει σου, τὸ πολύαθλον σῶμα ὁ μέγας βασιλεύς, ὅν τῷ θείῳ βαπτίσματι ἀνεγέννησας.

Νῦν ἀριδήλως δηλοῦται, ἐκ Θεοῦ ἡ αἰτία, τῆς ἐξορίας σου σοφὲ πελάγιος καὶ γάρ, φερομένη καλῶς, ἡ ναῦς ἡ φέρουσα, σοῦ τὸ τίμιον σῶμα, προσώκειλεν αἴφνης, τῆς ὑγρᾶς ἐκδραμοῦσα ἐν τῷ τῆς χήρας ἀγρῷ.

Ἡ τυραννὶς τοῦ θανάτου, ἐξησθένησεν ὄντως, ζῶσι καὶ γὰρ ἐν τῷ Θεῷ δικαίων αἱ ψυχαί, τοῦ δὲ λόγου πίστις σὺ εἶ Χρυσόστομε, καὶ νεκρὸς γὰρ καθίσας, τῷ θρόνῳ σου τρανῶς, τῷ λαῷ τὴν εἰρήνην προσεπεφώνησας.

### Θεοτοκίον.

Σὲ προετύπω σε βάτος, ἐν Σιναίῳ τῷ ὄρει, σπαργανουμένη τῷ πυρί, καὶ θάλλουσα φρικτῶς. τὸ γὰρ πῦρ τεκοῦσα τὸ τῆς θεότητος, οὐδαμῶς κατεφλέχθης ἀκήρατε ἁγνή, διὸ ῥῦσαί με Δέσποινα τοῦ ἀσβέστου πυρός.

## ΗΧΟΣ ΒΑΡΥΣ

Ἕτερος Κανών, οὗ ἡ ἀκροστιχίς.

«Τὸ χρυσοφαὲς πατέρων μέλπω κῦδος, μοναχὸς Ἰωάννης».

### Ὠδὴ α΄. Ἦχος βαρύς. Νεύσει σου πρὸς γεώδη.

Τάγμασιν ἀσωμάτων, ὁμοταγὴς χρηματίζων, ὡς βίον ἀσώματον, βιώσας μετὰ σώματος, καὶ τῷ σαρκωθέντι λόγῳ παρεστώς, παράσχου μοι λόγον ὑμνῆσαί σε.

Ὅλος πεπυρσευμένος, τοῦ Παρακλήτου τῇ αἴγλῃ, καὶ καταστραπτόμενος ἀΰλοις φρυκτωρίαις αὐτοῦ, ὤφθης φανότατος λύχνος φαίνων, καὶ σκεδάζων παθῶν τὴν σκοτόμαιναν.

Χρύσεων ἀνδριάντα ἐξ ἀρετῶν συμπαγέντα, καὶ χάριεν ἄγαλμα ὃ χεῖρες Θεοῦ ἔξεσαν, ἔγνωμέν σε Χρυσολόγε ἀνεστηλωμένον τῷ κόσμῳ πρὸς μίμησιν.

Ρήσεις δεσπότου πόλιν, ἐπάνω Ὄρους κειμένη, κρυβῆναι μὴ δύνασθαι· διὸ λαθεῖν οὐκ ἴσχυσας, πόλις Θεοῦ χρηματίζων, καὶ ἐπ᾽ ἀρετῶν ἀκρωρείας ἱστάμενος.

### Θεοτοκίον

Ὕψωσις τὴν πεσοῦσαν, φύσιν ἡμῶν θεομῆτορ, φθορᾶς καὶ θνητότητος, εἰς τὸ ζοφῶδες βάραθρον, καὶ κατεκάλλυνας ταύτην, τὸν ἐκ τῆς νεκρότητος χοῦν ἐκτινάξασα.

### Ὠδὴ γ΄. Ὁ κατ᾽ ἀρχὰς τοὺς οὐρανούς.

Σιὼν καὶ Ἱερουσαλὴμ υἱὸς πρωτότοκος μάκαρ, χρηματίζων, τοῖς ἐν οὐρανοῖς, καὶ ζώντων ἐν χώρᾳ αὐλιζόμενος, καὶ παριστάμενος Χριστῷ τοὺς σὲ τιμῶντας, δυσώπει τῶν ἡτοιμασμένων σοι τυχεῖν ἀγαθῶν.

Οὐκέτι βλέπεις ἐν σκιαῖς, οὐδ᾽ ἐν συμβόλοις καὶ τύποις, ὃν ἐφίλεις πάγχρυσε Χριστόν, Χριστὸν καὶ ὁρῶν καὶ φανταζόμενος, Χριστὸν καὶ πνέων καὶ λαλῶν, Χριστὸν καὶ βρῶσιν καὶ πόσιν, ἔχων ἀλλὰ πρόσωπον πρὸς πρόσωπον.

Φαιδρὸν ἀνέτειλέ σοι φῶς, καὶ διαρκὴς εὐφροσύνη, ὡς δικαίῳ Πάτερ ἱερέ, παντὸς ὑλικοῦ παραπετάσματος, νῦν ἐπαρθέντος γὰρ τρανῶς, τὴν τρισολβίαν ἀκτῖνα ἀμέσως εἰσδέχῃ σοὶ προσβάλλουσαν.

Ἀνακαθάρας σου τὸν νοῦν, δι᾽ ἀρετῶν ἐμμελείας, καὶ πλατύνας μάκαρ τῆς ψυχῆς, διὰ θεωρίας τὴν κατάστασιν, ὅλην

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐδέξω τὴν αὐγήν, τῆς μακαρίας τριάδος, καὶ μαρμαρυγὰς δογμάτων ἤστραψας.

**Θεοτοκίον**

Ἐθεωρήθησαν ἐν σοί, θεογεννήτρια Κόρη, αἱ πορεῖαι ὄντως τοῦ Θεοῦ, ἐκ σοῦ τοῖς βροτοῖς συναναστραφῆ γὰρ καὶ προσωμίλησεν ἡμῖν καὶ προσηνῶς καὶ ἡμέρως διὰ συγγενοῦς σαρκὸς ὁ ἄσαρκος.

**Ὠδὴ δ'. Ὁ πατρικοὺς κόλπους.**

Σὺ ὡς χρυσός, πάγχρυσε ποιμήν, δοκιμασθεὶς καὶ πυρωθεὶς πυρὶ πειρασμῶν καὶ καμίνῳ περιστάσεων, ὤφθης δοκιμώτερος, καὶ χρυσοῦ παντὸς εὐροιζότερος.

Πλουτοποιῶν Πάτερ θησαυρὸν, ἡγεῖσθαι πάντας τὴν πενίαν ἔπεισας· τῇ γὰρ πύλῃ τῇ στενῇ τῆς ζωῆς, χωρητὴν ὡς ἄσκευον, ταύτην καὶ ἀπέριττον ἔδειξας.

Ἀναπλησθεὶς ὕλης νοσηρᾶς, καὶ σεσηπότος καὶ διεφθορότος χυμοῦ, ἡδονῶν ἐκ βλαβερῶν ἀσθενῶν, καθάρας φαρμάκοις με, μετανοίας μάκαρ ὑγίωσον.

Τὸ ἀσθενὲς καὶ ἐπιρρεπές, πρὸς τὰς ὀρέξεις τῆς σαρκός, καὶ ἐπικλινές, τῆς ψυχῆς μου μεταποίησον, σθενώσας Χρυσόστομε, κατὰ τῶν παθῶν τὴν καρδίαν μου.

**Θεοτοκίον**

Εὕροιμέ σε ὑπερασπιστὴν, ἐν πειρασμοῖς συμφοραῖς καὶ θλίψεσιν, ἐν ὀδύναις παραμύθιον, ἐν λύπαις παράκλησιν, καὶ παραψυχὴν ὑπεράμωμε.

**Ὠδὴ ε'. Κύριε ὁ Θεός μου.**

Ῥώμη βιαιοτάτη, τῶν παθῶν οἱ χείμαρροι συρραγέντες, ἄφνω μοι προσέρρηξάν, καὶ ῥίψαντες ἔσυραν εἰς βυθὸν βαθὸν ἁμαρτίας ἐξ οὗ με ἀνέλκυσον ἅγιε.

Ὥσπερ ἐξ ἀρωμάτων, εὐωδῶν εὐόσμων καὶ μυριπνόων, δογμάτων συντεθεῖσθαί σου, ὁ λόγος Χρυσόστομε, οἷα πολυτίμητον μῦρον, κατευωδιάζει μυρίζων ἡμᾶς.

Νέκταρος ἡδυτέρα, καὶ κηρίου μέλιτος γλυκυτέρα, στόμα σου, καὶ λάρυγγος τῶν ψυχῶν γλυκάζουσα, ἡ τῶν διδαχῶν σου συνθήκη, ὡς μελισταγὴς προχοὴ καὶ ῥοή.



Μέγας ἐν Ἱεράρχαις, ὑψηλὸς ὡράθης ἐν διδασκάλοις, ἐν ἄστρασιν ἥλιος, ὀφθαλμὸς ἐν σώματι, ἐρυθρὸν ἐν ἄνθεσι ῥόδον καὶ ἐν ὥραις ἔαρ Χρυσόστομε.

**Θεοτοκίον**

Ἔλυσας τὴν κατάραν, εὐλογίαν Δέσποινα συλλαβοῦσα, τὴν λύπην ἠφάνισας, χαρὰν γὰρ ἐγέννησας, διό μοι χαρμόσυνον λύπην καὶ χαροποιὸν πένθος δώρησαι.

**Ὠδὴ ς'. Ναυτιῶν τῷ σάλῳ.**

Λυμεῶνος λύκου, λάρυγγα τὸν ἄπληστον πλήξας ὡς βέλεσιν ἔτρωσας· τοῖς σοῖς λόγοις, καὶ τὴν τοῦ θώρακος σύμπηξιν ἤνοιξας, τοὺς καταποθέντας ὑπ' αὐτοῦ ἀνέλκων, καὶ ζωῆς μετόχους θείας ἐργαζόμενος.

Ποταμὸς ἐλέους, νάματα χρυσόρειθρα ῥέων, πηγὴ χαριτόβρυτος, συμπαθείας, τὴν οἰκουμένην ἀρδεύουσα δέδειξαι, χειμάρρους τρυφῆς γῆν ἐπικλύζων, ἐλεημοσύνης πλημμυρῶν τὰ ῥεύματα.

Ὡς καινῇ γραφίδι, τῇ μουσικωτάτῃ σου γλώσσῃ, τὸ Πνεῦμα τὸ ἅγιον κεχρημένον νόμους ἡμῖν θείους ἐκαινογράφησε, καὶ γὰρ ὀξυγράφου γραμματέως, γέγονεν ἡ γλῶσσά σου κάλαμος Χρυσόστομε.

Καταιγίς κακίαι θύελλαι καὶ γνόφος καὶ ζάλη, χειμών τε καὶ κλύδων καὶ τρικυμίαι, ἀλλεπαλλήλων πνευμάτων ἀντίπνοιαι τὸν πολυπαθῆ χειμάζουσί με, ἀλλ' εἰς μετανοίας με λιμένα ἴθυνον.

Υ.......
(τὸ θεοτοκίον ἐλλείπει)

**Ὠδὴ ζ'. Κάμινον παῖδας.**

Δόξης ἐνθέου, σὲ στέφανον ἔχει ἡ Ἐκκλησία Χρυσόστομε, ὡς εὐδοκίας γὰρ ὅπλῳ τοῖς λόγοις σου, σαφῶς ἐστεφάνωται, καὶ κοσμεῖται αὐτοῖς ὥσπερ ὁρμίσκοις χρυσοῖς.

Ὅλην μου τρέφον, τὴν ἔφεσιν μάκαρ, πρὸς τὰ ἑστῶτα καὶ μόνιμα, τὰ γὰρ ἐπίκηρα ταῦτα καὶ πρόσκαιρα, ὡς ἄνθος μαραίνεται καὶ ὡς ὕδωρ ῥυὲν ἐξαφανίζεται.

Σβέσον παθῶν μου τὴν ἄσβεστον φλόγα, καὶ τὴν παφλάζουσαν κάμινον, ἀναπτομένην πλειόνως ἑκάστοτε, πονηρίας πνεύμασι, μετανοίας ῥανίσιν ἀναψύχων με.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Μένουσαν δόξαν, ἀΐδιον κλέος, διηνεκῆ ἀγαλλίασιν, σοὶ καὶ τρυφὴν ὁ Χριστὸς ἐδωρήσατο, δι' οὗ τὴν ἐπίκηρον ἐβδελύξω, τρυφὴν καὶ τὴν ἀπόλαυσιν.

Θεοτοκίον

Ὅρους παρῆλθες, τῆς φύσεως Κόρη ὡς ὑπὲρ φύσιν γεννήσασαν, τὸν κεραμέα καὶ πλάστην τῆς κτίσεως, ὡς φύσει γοῦν εὔσπλαγχνος, ὑπὲρ φύσιν με πταίσαντα ἐλέησον.

Ὠδὴ η'. Ἄφλεκτος πυρί.

Νῦν ἀναφανδόν, καὶ ἀνακεκαλυμμένῳ προσώπῳ Παῦλος ὥς φησί, κατοπτριζόμενος τὴν δόξαν Χριστοῦ, καὶ τούτου ταῖς καλλοναῖς καταστραπτόμενος φαιδρῶς, καὶ ἐλλαμπόμενος, καὶ κατὰ χάριν, θεούμενος θείων, μνήσθητι ἡμῶν, ὅπως τύχωμεν ἐλέους.

Ἅλατι γλυκεῖ, τῶν νοστίμων διδαχῶν σου, πλεονεξίας ἔστησας, τὴν ἁλμυρὰν σηπεδονώδη νομήν, ὡς γάγγραιναν ψυχικήν, καὶ ἀνεξήρανας σοφέ, φυλαργυρίας τὸν ῥοῦν τοὺς τραυματίας, αὐτῶν δὲ ἴασω Χρυσολόγε, μαλακοῖς φαρμάκοις τῆς ἐλεημοσύνης.

Χήραις ἐπαρκῶν, ὀρφανῶν ὑπερασπίζων, πάντα πτωχὸν ῥυόμενος, ἀπὸ χειρῶν στερεοτέρων αὐτοῦ, ἐλέγχων ζήλῳ Θεοῦ, παρανομοῦντας βασιλεῖς καὶ ἱερεῖς καὶ λαούς, τρέφων πεινῶντας, ποτίζων διψῶντας, καὶ σκεπάζων γυμνοὺς καὶ ῥιγῶντας, κοινὸς πατὴρ ἐδείχθης.

Ὅλον σου τὸν νοῦν, τεχνικὸς ὡς βυθοδρόμος, εἰς τὸν τοῦ θείου πνεύματος, βυθὸν βυθίσας τὸν βαθύτατον, τὰ ἔργα τοῦ Θεοῦ, καὶ τὰ αὐτοῦ ἐν τῷ βυθῷ, εἶδες θαυμάσια καὶ ἀνιμήσω ἐκεῖθεν σοφίας μαργαρίτην, δι' οὗ χρυσολόγε ἐπλούτισας τὸν κόσμον.

Θεοτοκίον.

Σὲ τὴν ἀληθῶς, οὐρανοῦ καὶ γῆς μεσίτιν, οἱ οὐρανοὶ καὶ ἄγγελοι, θάλασσα γῆ, καὶ πάντες ἄνθρωποι, χορείαν μίαν κοινήν, καὶ συμφωνίαν μυστικὴν μυστικῶς πλέξαντες, ζέοντι πόθῳ καὶ πίστει θερμῇ καὶ διαπύρῳ ἀνυμνολογοῦσι πανύμνητε Μαρία.

Ὠδὴ θ'. Μὴ τῆς φθορᾶς.

Ἱερουργὸν ἱερόν σε καὶ ἱεράρχην σεπτόν, ἱερολόγον ὡραῖον, καὶ θεολόγον σοφόν, πάντες γινώσκομεν, πάγχρυσε χρυσολόγε, ὡς ἱερολογοῦντα τὸ ἱερὸν τοῦ λόγου, εὐαγγέλιον θείοις λόγοις σου.



Ὡς ἐξ ἀδάμαντος πύργος στεῤῥὸς ἀκράδαντος τῶν πειρασμῶν ἀντιπνοίαις ὤφθης ἀτίνακτος, τὰ σοὶ προσρήσσοντα κύματα τῆς κακίας, παράλιος ὡς πέτρα πρὸς ὕψος τεταμένη, εἰς ἀφρώδεις λύων πομφόλυγας.

Ἁμαρτιῶν με συνέχει, χειμὼν βαρύτατος, καὶ ἡδονῶν ὑπὸ κρύους ῥιγῶ καὶ πήγνυμαι, λάμψον μοι δέομαι ἁγνείας θείας ἔαρ, καὶ λῦσον τῶν παθῶν μου, τὴν κρυσταλώδη πῆξιν, μετανοίας θερμῆς ἐμπύροις βολαῖς.

Νυκτὶ καὶ μέλανι γνόφῳ, νυκτομαχῶ τῶν παθῶν, ὡς ἐν ἐρήμῳ ἀνύδρῳ περιπλανώμενος, ὁδὸν εὐθεῖαν γὰρ οὐχ εὗρον πορευθῆναι, εἰς κατοικητηρίου ἐπουρανίου πόλιν, ἀλλ' ὁδήγησόν με πρὸς ταύτην ἅγιε.

Νεκροποιοῦ ἁμαρτίας τὸν σάκκον ῥήξας μου, ζωοποιοῦ μετανοίας στολὴν με ἔνδυσον, ὡς ἀπὸ στήμονος βύσσου πορφυροχρόου, καὶ κρόκκης χρυσοκλώστου, λαμπρῶς ἐξυφασμένην, ἔργον θεῖον ἐκ παραλλήλου πλοκῆς.

Ἡ παγκαλὴς καὶ ὡραία, καὶ λιγυρὰ ἀηδών, ἡ μουσικὴ καὶ κοσμία καὶ μελιχρὰ χελιδών, ὁ διαβόητος αὐλὸς τῆς μετανοίας, ὁ τῶν ἁμαρτανόντων ἐγγυητὴς καὶ ῥύστης, γένοιτό μοι ἐγγυητὴς πρὸς Θεόν.

Θεοτοκίον

Σοῦ ὡς χρυσῆς μυροθήκης, μῦρον ἀκένωτον ἐν ἀκενώτῳ κενώσει κενωθὲν Δέσποινα, κατευωδίασε τοῦ κόσμου τὸ δυνῶδες, οὗ τῆς ὀσμῆς αἰσθέσθαι, καὶ οὗ δραμεῖν ὀπίσω τὸν δυσαίσθητόν με ἀξίωσον.

---

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΗΧΟΣ ΠΛ. Δ΄

Ἕτερος κανών, οὗ ἡ ἀκροστιχὶς

«Τῷ χρυσογλώσσῳ πατρὶ καὶ Χρυσοστόμῳ, ὕμνος κροτεῖται μακρὸς ἐξ Ἰωάννου»

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**

Τὸ χαριτόπνουν τῆς σοφίας ὄργανον, καὶ μουσικώτατον, ἡ μελιχρὰ γλῶσσα, καὶ πνευματοκίνητος, τὸ στόμα τὸ χρυσόμορφον, ἡ βροντόφωνος σάλπιγξ, ἡ διηχοῦσα τὰ πέρατα, ἔμπνευσόν μοι λόγον ὑμνοῦντί σε.

Ὡς χρυσαυγίζων σελασφόρος ἥλιος, προσεποχούμενος, τῶν ἀρετῶν θείῳ χρυσαντύγῳ ἅρματι, τὸ λογικὸν στερέωμα, νοητῶς διϊππεύεις μαρμαρυγαῖς τῶν δογμάτων σου, ἅπαντας φωτίζων Χρυσόστομε.

Χριστομιμήτῳ συμπαθείᾳ χρώμενος, μετανοοῦσι θερμῶς, ἁμαρτωλοῖς πᾶσιν, ὑπογράφεις ἄφεσιν, γνησίως ἐγγυώμενος τὴν συγχώρησιν, τούτοις· καὶ διαγράφων τοῖς λόγοις σου τὸ τῆς μετανοίας ἀξίωμα.

Ῥεῖθρον γλυκὺ καὶ διειδὲς καὶ πότιμον, βλύζει ἡ γλῶσσά σου, μελισταγὲς νᾶμα, πόμα χαριτόβρυτον, πᾶσι κιρνᾷ τὸ στόμα σου, τὰ δὲ χείλη σου στάζει γλεῦκος ἡδὺ κατανύξεως, μυστικόν τε νέκταρ Χρυσόστομε.

Ὕλης ῥεούσης καὶ φθαρτῆς ἠλόγησας εὐλόγως πάνσοφε, τὰ γεηρὰ πάντα, ἀποτιναξάμενος, ὡς κόνιν εὐαπόθετον, τοῦ Χριστοῦ δὲ τῷ πόθῳ ἀναπτερούμενος, ἔσχηκας, ἐν τοῖς οὐρανοῖς τὸ πολίτευμα.

Σὺ τὴν καρδίαν νοερὸν δειμάμενος θυσιαστήριον, καὶ τὴν ψυχὴν πήξας, ὡς ἁγίαν τράπεζαν τὸν νοῦν ἀρχιερέα δὲ καταστήσας τῷ λόγῳ ἱέρευσας τὴν προαίρεσιν, ὁλοκαυτωθεῖσαν πυρὶ πειρασμῶν.

**Θεοτοκίον.**

Ὁ ἐν τοῖς κόλποις τοῦ Πατρὸς καθήμενος, μονογενὴς ὡς Υἱός, καὶ νοεροῖς θρόνοις, ἐπαναπαυόμενος, ἐν τοῖς ἀχράντοις κόλποις σου, βρέφος κάθηται Κόρη, θρόνον γὰρ ἅγιον ἔμψυχον, σὲ ἐπὶ τῆς γῆς κατεσκεύασεν.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Γαληνότατον ὅρμον, σὲ καὶ χρυσῆν γέφυραν, ἔθετο Θεὸς τοῖς ἐν ζάλῃ, χειμαζομένοις παθῶν, τούτους ἰθύνοντα, πρὸς μετανοίας λιμένα, καὶ διαπορθμεύοντα πρὸς ἀπαθείας τὴν γῆν.

Λιγυρὰν χελιδόνα, τοῦ νοητοῦ ἔαρος, ἀηδόνα φωνοῦσαν ἐν ἄλσει, τοῦ βίου ἔγνωμεν, Πάτερ Χρυσόστομε, πρὸς μετανοίας τὴν θάλψιν, συγκαλοῦσαν ἅπαντας ῥιγῶντας πάθεσιν.

Ὡς πηγὴ ζωηφόρος, ὡς ποταμὸς ἔμψυχος, ὡς ὑπερχειλὴς καὶ πλημμυρῶν χειμάρρους χάριτος, ῥείθροις τῶν λόγων σου, ψυχῶν ἀρούρας πιαίνεις, κυκλικῶς τὴν σύμπασαν περιερχόμενος.

Σοῦ τὰ χρύσεα ἔπη, καὶ ἱερὰ λόγια, οἷα περ κηρίον καὶ μέλι καταγλυκαίνουσι, ψυχῶν τὸν λάρυγγα ἡ δὲ τοῦ στόματος χάρις ὡς πυρσὸς ἐκλάμπουσα, τὸν νοῦν ἡμῶν φρυκτωρεῖ.

Σοὶ τὸ ζῆν κατὰ Παῦλον ἦν ὁ Χριστὸς ἅγιε, τὸ ὑπὲρ ἐκείνου θανεῖν δὲ κέρδος διψώμενον, ἂν καὶ μιμούμενος, ὑπὲρ τοῦ κόσμου τυθέντα τὴν ψυχήν σου ἔθηκας ὑπὲρ τῆς ποίμνης σου.

Ὡσεὶ βέλη κακίας τῶν δυσμενῶν βάλλονται, οὕτω τῆς τιμίας σου γλώττης Πάτερ οἱ ἔλεγχοι, ὤφθησαν βάλλοντες, τῶν φιλαργύρων τὰ στέρνα, οἵ σε καὶ ὡς δύσχρηστον φθόνῳ ἐξώρισαν.

Πῦρ σε θείας ἀγάπης τοῦ νοητοῦ ἄνθρακος, ὅλον ἀναφλέξαν, πυρφόρον ἔδειξεν ἄνθρακα, ὅθεν ἐχώνευσας, φιλαργυρίαν σοῖς λόγοις, καὶ τὴν ὕλην ἔφλεξας τὴν τῶν αἱρέσεων.

**Θεοτοκίον**

Ἀπορία καὶ γνόφος, καὶ λογισμῶν σύγχυσις, τοὺς τὸν ἀνερμήνευτον τόκον σου ἑρμηνεύοντας, καλύπτει Δέσποινα, ὃν Μωϋσῆς γὰρ προεῖδε, γνόφῳ καλυπτόμενος τοῦτον ἐγέννησας.

**Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.**

Τῶν διδαχῶν, καὶ πατρικῶν παραινέσεων, σοῦ τῇ βίᾳ ὄρη, διεθρύβη σκληρά, βουνοὶ αἰώνιοι σιδηροί, τῆς φιλαργυρίας ἐτάκησαν καὶ ὑπέρρευσαν, ὑψώθη δὲ τὸ κέρας τῆς ἐλεημοσύνης, καὶ εἰς ὄρος ἐγένετο μέγιστον.

Ῥήξας δεσμούς, καὶ σχοινισμοὺς ἀπογνώσεως, ὡς μαχαίρᾳ, τῇ παγχρύσῳ γλώσσῃ σου, σχοινίον ἔντριττον ἄρραγές, ἐ—

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πλέξας ἀγάπην ἐλπίδα πίστιν, συνδέων Θεῷ, πάντας μετανοοῦντας, εἰς καὶ κληρονομίας, ὁ παράδεισος δέδοται σχοίνισμα.

Ἴσον Πατρί, Υἱὸν καὶ Πνεῦμα τὸ ἅγιον, ὀρθοδόξως δογματίζων ἅγιε, τοὺς βορβορώδεις καὶ θολεροὺς, νόας τῶν βλασφήμων, ἀνατροπὴν θολερὰν τοὺς πολλοὺς, καὶ ἅλμην ἀσεβείας, τοὺς ποτίζοντας ὄμβρον, τῶν ποτίμων σου λόγων κατέκλυσας.

Καινοφανές, καὶ καθαρὸν καὶ νεόσμικτον, χρυσαυγίζον ἀποστίλβον ἔσοπτρον, τῇ διαυγείᾳ τῶν ἀρετῶν, δείξας τὴν ψυχήν σου, τὴν αἴγλην ὅλην ἐχώρησας, τοῦ Πνεύματος τοῦ θείου, χρυσεπώνυμε Πάτερ, καὶ ὡς φῶς ἐν τῷ κόσμῳ ἐξέλαμψας.

Ἁμαρτωλῶν, ἐγγυητὴς ὤφθης ὅσιε, μετανοίας κῆρυξ διαπρύσιος, πλεονεξίας ἐκριζωτής, ἐλεημοσύνης, ὑφηγητὴς καὶ διδάσκαλος, τῆς δὲ φιλαργυρίας ὡς εἰδωλολατρίας, κόπτων πέτραν πρηστηρίων πέλεκυς.

Ἰλιγγιῶν, καὶ δειλιῶ τὴν ἐγχείρησιν, καὶ προβῆναι προσωτέρω πέφρικα, ὁρῶν τὸ μέγα καὶ ἀφανές, σοῦ τῶν ἐγκωμίων, περικυκλῶσάν με πέλαγος, ἀλλ᾿ ὅμως δὲ καλέσας, κυβερνήτην τοῦ λόγου, τοῦ πλοὸς καὶ εἰς ἔτι ἀνθέξομαι.

Χρυσολαμπής, περιστερὰ ἐχρημάτισας, Ἰωάννη πάγχρυσε Χρυσόστομε, ἧς τὰ μετάφρενα ἀρετῶν, τῷ χλωρῷ χρυσίῳ, κεχρύσονται αἱ δὲ πτέρυγες, περιηργυρωμέναι, καθαρότητι βίου, καὶ χιόνος λευκότεραι ὤφθησαν.

Ῥύπον ἐμῶν, χειλέων ἀποκαθάρασα, καὶ τὴν ὕλην, τῶν παθῶν μου φλέξασα, ἀΰλου ἄνθρακος νοητοῦ, πάγχρυσε πυράγρα, φρικτὴ λαβὶς καὶ πυρίμορφε, ἀξίωσόν με μέλπειν, καθαρᾷ σε καρδίᾳ, καὶ ἀΰλως ὁρᾶν ἐν ἀΰλῳ νοΐ.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.**

Ὑπ᾿ ἀγγέλων ἀΰλων, τὸν ἀγγελικόν τε καὶ ἄϋλον βίον σου, ἀγγελοπρεπέσι καὶ ἀΰλοις ᾠδαῖς ἔδει σέβεσθαι· ὡς ἠλαττωμένου πρώην, βραχύ τι παρ᾿ ἀγγέλοις, ἰσαγγέλου δὲ νῦν χρηματίζοντος.

Στερεὰς οἷα πέτρας, τῆς ἀρραγεστάτης τοῦ Χριστοῦ δυνάμεως, τὰς ἐλπίδας μάκαρ, ὡς ἀγκύρας χρυσᾶς ἐξαψάμενος, ταῖς πυκναῖς σπιλάσι, τῶν πειρασμῶν καὶ καταιγίσιν, ἱεράρχα ἀκλόνητος ἔμεινας.



Ὁ χρυσοῦς ἑωσφόρος, ὁ χρυσοφαὴς καὶ χρυσαυγίζων ἥλιος, ὁ παντὸς χρυσίου, λαμπροτέραν καρδίαν κτησάμενος, καὶ καθαρωτέραν τῶν τοῦ ἡλίου λαμπηδόνων, τὴν ζοφώδη καρδίαν μου φώτισον.

Σοῦ τῷ στόματι θεία, χάρις χαριτώνυμε, προσεφιζάνουσα καὶ τοῖς χείλεσί σου, γλυκυτάτη πειθὼ καὶ σειρήνειον, ὑποκαθημένη, πρὸς ἑαυτὴν ἅπαντας εἷλκεν, οἷα λίθος μαγνῆτις τὸν σίδηρον.

Τὴν ταπείνωσιν μάκαρ, ὤφθης ὡς ἱμάτιον, περιβαλλόμενος, ταπεινοφροσύνης, ἔμπνουν ἔμψυχον ὡραῖον ἄγαλμα, ἀνεστηλωμένος, ὡς ἀνδριὰς χρυσοῦς εν μέσῳ, καὶ εἰς μίμησιν πᾶσι προκείμενος.

Ὀμβροτόκον νεφέλην, ὁ ζωαρχικώτατος ὄμβρος τε ἔδειξε, μετανοίας ὄμβρους, ἐπομβρίζουσαν πᾶσι Χρυσόστομε, ὑετίζουσάν τε, τοῖς ἐκτακεῖσιν ἀπογνώσει, σωτηρίου ἐλπίδος σταγόνας χρυσᾶς.

Μυστικῆς πανδαισίας, καὶ πνευματικῆς εὐωχίας τραπέζης φρικτῆς, δεσποτικοῦ δείπνου, σὲ κοσμήτορα ἔγνωμεν ἅγιε, τρυφῆς οὐρανίου ζωοποιοῦ διανομέα, καὶ τῆς θείας σαρκὸς ἑστιάτορα.

**Θεοτοκίον.**

Ὡς ἀπόλοιντο πάντες, οἱ μὴ Θεοτόκον σε φρονοῦντες Δέσποινα, ἀλλ᾿ ἐθελουσίως, ἀθετοῦντες τὴν θείαν σου γέννησιν, καὶ ὑπὸ τὴν χεῖρα, τὴν κραταιὰν τὴν τοῦ Υἱοῦ σου, ἑαυτοὺς ταπεινῶσαι μὴ θέλοντες.

**Ὠδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.**

Ὑπέρτερος τῆς τῶν λόγων ἰσχύος, ὁ περίδοξός σου βίος καὶ λόγος, νόμῳ γὰρ σοί, καὶ ὁ βίος τῷ λόγῳ, πρὸς δὲ τῷ λόγῳ ὁ βίος κατάλληλος, ἐργῶδες διὸ προσενεγκεῖν, ὕμνοις βίῳ τοιούτῳ προσήκοντας.

Μισήσαντες ἀληθῶς ἐμίσησαν, οἱ ἐλέγχοντας μισοῦντες ἐν πύλαις, τοὺς πατρικοὺς τῆς σῆς γλώττης ἐλέγχους, ὅσιον λόγον καὶ γὰρ ἐβδελύξαντο, καὶ γλώσσῃ δολίᾳ κατὰ σοῦ, πονηρὰ καὶ κενὰ ἐμελέτησαν.

Νυγεῖσά σου ἡ ψυχὴ θείῳ βέλει, τῆς γλυκείας τοῦ Σωτῆρος ἀγάπης, καὶ τὸ αὐτοῦ, πολυπόθητον κάλλος, φανταζομένου

Athos Library
Αγιορειτική Βιβλιοθήκη

διόλου κατέδραμεν, ὀπίσω αὐτοῦ διακαῶς, ὥσπερ ἔλαφος δίψει κατάσχετος.

Ὁ μέγας τε καὶ εὐρύχωρος κόλπος, καὶ βαθύτατος βυθὸς τῆς σοφίας, ὁ λογικός, οἶκος τῶν μυστηρίων, ὁ τῆς συνέσεως ἔμψυχος θάλαμος, τῆς γνώσεως ὁ θησαυρός, ὁ χρυσοῦς ἀνυμνείσθω Χρυσόστομος.

Σαλπίσασα, ὡς χρυσήλατος σάλπιγξ, ἡ τιμία σου καὶ πάγχρυσος γλῶσσα, τοὺς ἐν σκιᾷ καθημένους θανάτου, καὶ ἀπογνώσεως, τάφοις καθεύδοντας, ἀνέστησε καὶ πρὸς ζωήν, διὰ μετανοίας ὡδήγησεν.

Καλάστερον οὐρανοῦ στερέωμα, ἀνεδείχθης ἱερὲ Χρυσολόγε, ἔχων Χριστόν, ὥσπερ ἥλιον μέγαν, περὶ τὰ στέρνα φαιδρῶς ἀνατέλοντα, κυκλόθεν δὲ τὰς ἀρετάς, ὡς ἀστέρας ἀδύτους αὐγάζοντα.

Ῥημάτων σου, δροσοβόλοις ῥανίσιν, ἀναψύχονται ψυχαὶ πενομένων, τῇ σιδηρᾷ τῆς πενίας καμίνῳ, κατακαιόμενα φέρειν τε πείθονται, εὐψύχως τὴν πυρκαϊάν, ὡς πηγὴν τῆς ἐκεῖ ἀναψύξεως.

**Θεοτοκίον.**

Ὁ ἔμψυχος, τοῦ Χριστοῦ παράδεισος, ἡ Ἐδὲμ ἡ τοῦ Ἀδὰμ τοῦ δευτέρου, ὁ φλογερός, καὶ πυρίμορφος θρόνος ὁ ὑψηλὸς οὐρανὸς καὶ περίδοξος, καὶ στάμνος τοῦ μάννα τῆς ζωῆς, οὐρανίου ζωῆς με ἀξίωσον.

Κοντάκιον. **Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.**

Τῷ Χρυσοστόμῳ οἱ πιστοὶ τὰ ὑμνητήρια, ὡς λυτρωθέντες διὰ σοῦ τῆς ἀπογνώσεως· ἀναγράφοντες βοῶμέν σοι μετὰ πόθου, εὑρετὰ τῆς μετανοίας ἀξιόπιστε· ἐκ παντοίας ἀπονοίας ἡμᾶς λύτρωσαι, ἵνα κράζωμεν;

Χαῖρε γλῶσσα πυρίπνοε.

**Ὁ οἶκος**

Ἄγγελος σαρκοφόρος, ἀπὸ γῆς ἀνεπέμφθης, εἰπεῖν τῷ Θεῷ Λόγῳ τὸ σῷζε· καὶ σὺν τῇ ἐνσωμάτῳ φωνῇ, μιμητήν σε εὑρηκὼς αὐτοῦ ὁ Κύριος, ἐξέστησε τοὺς ἅπαντας κραυγάζειν σοι τρανῶς τοιαῦτα



Χαῖρε, δι' οὗ ἡ χαρὰ ἐκλάμπει· χαῖρε, δι' οὗ ἡ ἀρὰ ἐκλείπει·

Χαῖρε, τῶν πιστῶν βροτῶν ἡ ἀνέγερσις· χαῖρε, τῶν δακρύων τοῦ κάλλους ἡ εὕρεσις.

Χαῖρε, τρίβος συντομώτατος ἀπὸ γῆς εἰς οὐρανούς· χαῖρε, βάθος ἀνεξερεύνητον πρὸς ἀνθρώπων ὀφθαλμούς.

Χαῖρε, ὅτι κουφίζεις τῶν ἀνθρώπων τὰ κάλλη· χαῖρε ὅτι ὑπάρχεις τοῦ Θεοῦ θεῖον στόμα.

Χαῖρε, φωστὴρ ἡλίου λαμπρότατε· χαῖρε λαμπτὴρ αὐγάζων τὰ πέρατα.

Χαῖρε, γλῶσσα πυρίπνοε

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Τὴν πηγὴν τῆς σοφίας, τὸ ἀλλόμενον ὕδωρ ἔχων ἐγκάρδιον, ἐξέβλυσας πελάγη, δογμάτων καὶ μεθύσας Ἐκκλησίας, τὰς αὔλακας αἱρέσεων τὰς πικράς, κατέκλυσας ἐκβλύσεις.

Ἐξουσίαν πλουτήσας, ἁμαρτίας ἀνθρώπων, δεσμεῖν καὶ λύειν σοφέ, διάλυσον τὴν δέσιν, τὴν τῶν ἁμαρτιῶν μου, καὶ ἀλύτως με σύνδεσον, τῷ θείῳ φόβῳ Χριστοῦ, Χρυσόστομε τρισμάκαρ.

Ἰατρὸς ψυχῶν ὤφθης ἐμπειρότατος, μάκαρ καὶ δοκιμώτατος, ὄγκους ὑπερηφάνων, καὶ ἕλκη φιληδόνων, φειδωλῶν τε σκιρτήματα, μαλακοῖς φαρμάκοις, χαλῶν καὶ ἀποπλύνων.

Τοὺς χρυσὸν ἀγαπῶντας, τὸν Χριστὸν ὡς μισοῦντας ἤλεγχες ἅγιε, Χριστοῦ μακρυνομένους, χρυσῷ τοὺς κολλωμένους, ἀποφαίνων τρανώτατα, φιλαργυρίαν διό, παρῄνεις ἀποφεύγειν.

Ἀναφαίρετον πλοῦτον, πολυτάλαντον ὄλβον, κτῆσιν ὑπέρτιμον, Χριστοῦ τῇ Ἐκκλησίᾳ κατέλιπες ὡς κλῆρον, τὰ σὰ πάγχρυσα λόγια, τὰς πενομένας ἡμῶν πλουτίζοντα καρδίας.

**Θεοτοκία.**

Ἰατῆρα τῶν νόσων, ἐλατῆρα τῶν πόνων, δοτῆρα πάντων καλῶν, φωστῆρα τῶν ἐν σκότει, σωτῆρα τῶν ἐν πλάνῃ, ἡ γεννήσασα Δέσποινα νοσοῦντα με ψυχικῶς ἰάτρευσον καὶ σῶσον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Σὺ γενοῦ μοι προστάτις, σὺ φαιδρὰ παραστάτις, θεογεννήτρια, ἡνίκα τὴν ψυχήν μου, ἐσχάτη καὶ μεγάλη καταλάβει περίστασις, ἐξαίρουσάν με χειρός, ληστῶν ἀεροπόρων.

**Ὠδὴ η΄. Ἐπταπλασίως κάμινον**

Μνησικακίας πέλεκυς, κατακρίσεως μάχαιρα, καὶ τῆς ἀπογνώσεως ῥομφαία δίστομος, αὐτὴν κατασφάττουσα, τοὺς ὑπ᾿ αὐτῆς σφαγέντας δὲ δι᾿ ἐλπιδοφόρον μετανοίας ζωοῦσα, καὶ πάσης ἁμαρτίας, ἀκαθαίρετος μάκαρ, ὡράθης καθαιρέτης καὶ ζώων ἀναιρέτης.

Ἄλλον σε Νεῖλον ἔγνωμεν, Χρυσορρόων Χρυσόστομε, νέον χρυσοδίνην πακτωλὸν χρυσόρρειθρον, οὐ μόνην τὴν Αἴγυπτον, πᾶσαν δὲ γῆν ἀρδεύοντα, λόγων γλυκυτάτων, πελαγίζοντι ῥείθρῳ, ἡσύχως φερομένῳ, γαληνῶς πλημμυροῦντι, ἠρέμα χεομένῳ ὡς ἔλαιον ἢ μέλι.

Καταπεπυκασμένον σε, πάντες ἴσμεν Παράδεισον, κλάδους ἀρετῶν, καὶ τῶν χαρίτων ὄρπηξι, διόλου κατάκομον, κυκλοτερῶς στεφόμενον, ταῖς ἀναδενδρᾶσι τῶν ἀΰλων βοτρύων, ἐν μέσῳ στοιχηδὸν δέ, κεκτημένου ἑστῶτα, στελέχους τεθηλότας Χρυσόστομε τρισμάκαρ.

Ῥάβδῳ τεμὼν τὴν θάλασσαν, Μωϋσῆς διεβίβασε, φεύγοντα λαὸν Ἰσραηλίτην ὅσιε, ἀλλ᾿ αὖθις τὰ τμήματα, πρὸς ἑαυτὰ συνῆλθε ταχύ, ἔλαβον τυφθέντα, τὴν πρὶν ἄβατον φύσιν, ἡ σὴ δὲ θεία γλῶσσα τῆς Γραφῆς διασχοῦσα, τὸ πέλαγος εἰσέτι, πᾶσι βατὸν δεικνύει.

Ὁ οὐρανὸς ὁ πάγχρυσος, ὁ πολύφωτος ἥλιος, ὁ μετὰ τὸν Παῦλον ἄλλος Παῦλος δεύτερος, τὸ στόμα τῆς χάριτος, ὁ θησαυρὸς τοῦ Πνεύματος, ὁ νυμφαγωγὸς τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ὁ Πρόδρομος ὁ νέος, μετανοίας ὁ κῆρυξ, ὁ χρυσοῦς Ἰωάννης ὑμνείσθω χαρμοσύνως.

Στύλος πυρὸς ὁλόφωτος, ἀπὸ γῆς μὲν αἰρόμενος, καὶ πρὸς οὐρανὸν σαφῶς ἀναφερόμενος, λαοῦ δὲ ἡγούμενος, τοῦ ἐξ ἐθνῶν



πιστοῦ Ἰσραήλ, καὶ καθοδηγῶν πρὸς οὐρανῶν βασιλείαν, ὥσπερ ἐπαγγελίας τὸ Χριστώνυμον ἔθνος, πορείαις χρυσαυγέσιν ὡράθης Χρυσολόγε.

Ἐστενοχώρει πάγχρυσε, τὴν πλατεῖαν καρδίαν σου, ὁ τοῦ Παύλου πόθος, ὁ σφοδρὸς καὶ βίαιος, πρὸς ὃν ἐξεκέκαυτο, ἀμέτρῳ φίλτρῳ ζέοντι, ἔρωτι θερμῷ, καὶ διαπύρῳ ἀγάπῃ, καὶ οὗ τοὺς λόγους εἶχες, ἡδονὴν τῆς ψυχῆς σου, ἐντρύφημα τῆς γλώττης, καὶ δρόσον τῆς καρδίας.

**Θεοτοκίον.**

Ξένα πολλάκις γέγονε, καὶ παράδοξα τέρατα, ἀλλ᾿ ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη Δέσποινα, τοιοῦτον τεράστιον, οἷον ἐπράχθη νῦν ἐπὶ σοί, μόνη γὰρ ἐν πάσαις ἐγνωρίσθης, θηλάζουσα παρθένος, παρθενεύουσα Μήτηρ, ἀσπόρως συλλαβοῦσα, ἀφθόρως τε τεκοῦσα.

**Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.**

Ἰδεῖν κατηξιώθης ὥσπερ ἰδεῖν, διὰ βίου παντὸς ἐπεθύμησας, ὅλῳ νοΐ, πάντοτε τοῦ σώματος ἐκδημῶν, καὶ ἐνδημῶν τῷ πνεύματι πρὸς τὰ σοὶ ποθούμενα ἀγαθά, ὧν νῦν ἀπολαύων, μνημόνευε τῶν πίστει, μνημονευόντων σου Χρυσόστομε.

Ὡράθης ὡς ῥυθμίσας ταῖς ἀρεταῖς, τῆς ψυχῆς τὰς δυνάμεις ἀοίδιμε, καὶ ἀσφαλῶς, ὡς παιδαγωγήσας φόβῳ Θεοῦ, αἰσθήσεις τὰς τοῦ σώματος, πάγχρυσον ψαλτήριον μουσικόν, δεκάχορδον ὡραῖον, τῇ θείᾳ ἐπιπνοίᾳ τοῦ Παρακλήτου ἐνηχούμενον.

Ἀΰλων σωτηρίου ἀπὸ πηγῶν, νοημάτων ἀντλήσας τὸ πέλαγος, ὡς ποταμός, ὕδατα κατήγαγες διδαχῶν, ὡς ἐν πολλῇ ἀβύσσῳ δέ, τοὺς πιστοὺς ἐπότισας ἐν αὐτοῖς, τῆς πίστεως τὸν σπόρον, ἀρδεύων καὶ συμπνίγων τὰ τῶν αἱρέσεων ζιζάνια.

Νεφέλη συσκιάζουσα δροσερῶς, καὶ ψυχὰς μαλακῶς ἀναψύχουσα, ἁμαρτιῶν, τὰς λειποψυχούσας ἐν τῇ φλογί, καὶ τηκομένας καύσωνι, τῆς ἀναπτομένης πυρκαϊᾶς, καὶ ὑποτυφομένης, ἐντὸς ὑπὸ πνευμάτων φιληδονίας ἱερώτατε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Νομὰς εἰς ψυχοτρόφους καὶ ζωηράς, εἰς δροσώδεις λιμῶνας χλοάζοντας, εἰς καθαρὰς πόας εἰς πεδία ἀνθοποιά, τὸ σὸν ποιμάνας ποίμνιον, πάγχρυσε Χρυσόστομε καὶ ἡμᾶς, κατάταξον εὐχαῖς σου, ἐν τόπῳ τῷ τῆς χλόης, ἐπὶ ὑδάτων ἀναπαύσεως.

Οὐ σθένει στόμα πήλινον εὐφημεῖν, τὸν χρυσόλογον σὲ καὶ Χρυσόστομον, ὡς ἀτεχνῶς, στόμα καὶ καρδίαν καὶ νοῦν Χριστοῦ, πεπλουτηκότα χάριτι, πάγχρυσε Χρυσόστομε ἱερέ, ἀλλ' οὖν εἰδὼς τὸν πόθον, τὴν δὲ χριστομιμήτως, τὴν προσφορὰν τοῦ λόγου δέξαι μου.

**Θεοτοκίον.**

Ὑμνῶ σε τὴν πανύμνητον ἀληθῶς, μεγαλύνω σε τὴν πολυύμνητον, ἣν ἀνυμνεῖ ὕμνοις ἀσιγήτοις πᾶσα πνοή, τεκοῦσαν ὑπερύμνητον, Λόγον ὃν ὑμνοῦσιν ἐν οὐρανοῖς, χίλιαι χιλιάδες, καὶ μύριαι μυριάδες, ἐν φλογεροῖς ἀΰλοις στόμασιν.

---



## Βιβλία

Εὑρισκόμενα παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Σχοινᾷ ἐν Βόλῳ, Κοραῆ 47 καὶ ἀποστελλόμενα **ἐλεύθερα ταχυδρομικῶν τελῶν.**

**Θέατρον Πολιτικὸν** ὑπὸ Ν Μαυροκορδάτου, σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον Δραχ. 90.—
πανόδετον » 115.—
δερμάτινον » 140.—
(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

**Ἐγκόλπιον Χριστιανοῦ** ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα » 18.—

**Συμβουλευτικὸν ἐγχειρίδιον** ὑπὸ Νικοδήμου Ἁγιορείτου ἄδετον » 50.—
πανόδετον » 70.—
πανόδετον » 60.—

**Ἱστορία τῆς ἐν Πάρῳ Ι. Μονῆς Λογγοβάρδας** ὑπὸ Ἐμμ. Σαγκριώτου Γυμνασιάρχου » 35.—

**Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 20.—

**Χριστοήθεια** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 12.—

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ἀκολουθία Ἁγίου Γερασίμου** τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου κατερχομένου καὶ ἐν τῇ Ἱ. Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος » 10.—

**Ἱστορικὴ μελέτη τῆς Ἱ. Μονῆς Ἁγίου Παντελεήμονος** ὑπὸ Δανιὴλ μοναχοῦ » 15.—

**Ἀντιρρητικόν.** Βιβλίον ἀσχολούμενον μὲ τὰ ἡμερολογιακά, ὑπὸ Δωροθέου Καρακαλλινοῦ μοναχοῦ » 5.—

**Ἐκκλησιαστικοὶ Νόμοι.** Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ, χρησιμώτατον δι' ὅλους τοὺς Ἐκκλησ. ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια » 45.—

**Ἑρμηνεία.** τῶν 14 ἐπιστολῶν καὶ τῶν 7 Καθολικῶν τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον » 250.—
δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 500.—

**Κυριακοδρόμιον Εὐαγγελίων, Ἀποστόλων μετὰ ἑορτοδρομίου** τοῦ αὐτοῦ· τόμοι 3 » 175.—
Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 325.—

**Ἡ Ἐκκλησία καὶ ἡ ἀναγκαιότης τοῦ τακτικοῦ ἐκκλησιασμοῦ**, Ν. Π. Γιαννίου, ἔργον πρωτότυπον » 30.—

**Ἡ Εὐτυχία ἐν τῇ ἀρετῇ.** ὑπὸ Στεφάνου Παπαδημητρίου » 25.—

**Ἡ πορεία τοῦ Χριστιανοῦ ἀποδημητοῦ**, Ι. Βουγένου » 28.—

**Ἡ πορεία τῆς Χριστιανῆς ἀποδημητρίας** » 22.—

**Ἡ ὀρφανὴ ἀπὸ τὸ Λόουντ** Πφάϊφφερ - Παπαχατζῆ δρᾶμα ἠθικὸν σελ. 200 περ. » 17.50
δεδεμένον » 27.50

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρησκευτικὰ βιβλία

Athos Library
Αγιορειτική Βιβλιοθήκη

"ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,,
ΕΤΟΣ Α.΄ ΑΡΙΘ. 8

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΑΟΙΔΙΜΟΥ ΚΑΙ ΘΕΟΣΤΕΠΤΟΥ ΒΑΣΙΛΕΩΣ

# ΛΕΟΝΤΟΣ ΤΟΥ ΜΕΓΑΛΟΥ

## ΤΟΥ Α.΄

## ΤΟΥ ΕΠΟΝΟΜΑΖΟΜΕΝΟΥ ΜΑΚΕΛΛΗ

Τοῦ τὴν Ζωοδόχον πηγὴν ἐν Κωνσταντινουπόλει εὑρόντος τῇ ὁδηγίᾳ τῆς Ὑπεραγίας Θεοτόκου.

Προσετέθη δὲ καὶ ἑτέρα τοιαύτη συνημμένη μετὰ τῆς Ἀναστασίμου καὶ τῆς Ζωοδόχου πηγῆς, ὥστε οἱ θέλοντες δύνανται νὰ συνεορτάσωσι τοῦτον, ἐν συνδιασμῷ μετὰ τῆς Ἀναστασίμου καὶ τῆς Ζωοδόχου πηγῆς Ἀκολουθίας τῷ Σαββάτῳ τῆς Διακαινησίμου ἑβδομάδος.

Ὡσαύτως ἡ συνέχεια τῶν λόγων καὶ ἔπεων Ἰωσὴφ πρώην Τυρνόβου.

ΣΥΝΕΤΕΘΗ ΥΠΟ
ΓΕΡΑΣΙΜΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
τῇ ἀξιώσει τοῦ Γέροντος
ΑΘΑΝΑΣΙΟΥ ΑΓΙΑΝΝΑΝΙΤΟΥ

**Χάριν τῆς πρὸς τὸν ἀνακαλύψαντα ἅγιον Βασιλέα τὴν Ζωοδόχον Πηγὴν εὐλαβείας αὐτοῦ, οὗτινος καὶ ἡ Καλύβη ἐπ' ὀνόματι αὐτῆς ταύτης τῆς Ζωοδόχου Πηγῆς τιμᾶται.**

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται
ΥΠΟ
ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ

ΑΠΡΙΛΙΟΣ 1937

1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

'Απαγορεύεται αὐστηρῶς ἡ ἀνατύπωσις κατὰ τὸν νόμον.

ΣΗΜΕΙΩΣΙΣ: Ἡ μὲν πρώτη ἀκολουθία τοῦ Ἁγίου Λέοντος ψάλλεται τῇ 20ῇ Ἰανουαρίου τῇ τοῦ Ἁγίου Εὐθυμίου, ὁπότε τελεῖται ὑπὸ τῆς Ἐκκλησίας ἡ μνήμη αὐτοῦ.

Ἡ δὲ ἑπομένη ταύτης, συνημμένη οὖσα τῇ ἀναστασίμῳ καὶ τῇ τῆς Ζωοδόχου Πηγῆς, ψάλλεται τῷ Σαββάτῳ τῆς Διακαινησίμου ἐν τοῖς ἐπ' ὀνόματι τῆς Ζωοδόχου Πηγῆς σεμνυνομένοις ναοῖς, πρὸς ἀνάμνησιν τοῦ θαύματος τῆς εὑρέσεως τῆς Ζωηφόρου ταύτης, ὡς ἀληθῶς, Κρήνης.

Ο ΜΑΚΑΡΙΩΤΑΤΟΣ
**ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΑΘΗΝΩΝ**
κ. κ. ΧΡΥΣΟΣΤΟΜΟΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ
ΠΡΟΣ ΤΟΝ ΕΚΔΟΤΗΝ ΤΗΣ "ΑΓΙΟΡΕΙΤΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ,,

**Εἰς Βόλον**

Ο ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΑΘΗΝΩΝ

Ἐν Ἀθήναις τῇ 17 Μαρτίου 1937.

**Ἀξιότιμε κύριε Σχοινᾶ,**

Προχθὲς ἐλάβομεν καὶ τὸ 7ον τεῦχος τῆς ὑφ' ὑμῶν ἐκδιδομένης Ἁγιορειτικῆς Βιβλιοθήκης, ἣν καὶ δι' ἐπιστολῶν ὑμῶν ἐγκαίρως ἀνηγγείλατε ἡμῖν. Εὐχαριστοῦμεν δὲ διὰ τὴν εἰς ἡμᾶς ἀφιέρωσιν τοῦ τελευταίου τεύχους παρὰ τοῦ Ὁσιολογιωτάτου κ. Σπυρίδωνος Λαυριώτου, εἰς ὃν καὶ ἰδιαιτέρως γράφομεν.

Ἐν τῷ τελευταίῳ φύλλῳ τῆς «Ἐκκλησίας» ἐγένετο σύστασις τῆς ἀρίστης καὶ ὠφελιμωτάτης Ἁγιορειτικῆς Βιβλιοθήκης, θὰ ἐπαναληφθῇ δὲ ἡ σύστασις αὕτη καὶ κατὰ τὴν βιβλιογραφίαν τοῦ 7ου τεύχους. Εἰς ἐνίσχυσιν δὲ τῆς ἐκδόσεως τῆς Ἁγιορειτικῆς Βιβλιοθήκης πέμπομεν ὑμῖν διὰ ταχυδρομικῆς ἐπιταγῆς δραχμὰς πεντακοσίας. Εὐχόμενοι πλήρη ἐπιτυχίαν τῆς Ἁγιορειτικῆς Βιβλιοθήκης ἐπ' ἀγαθῷ τοῦ Κλήρου καὶ τοῦ λαοῦ διατελοῦμεν

Διάπυρος πρὸς Κύριον εὐχέτης
†Ὁ Ἀθηνῶν ΧΡΥΣΟΣΤΟΜΟΣ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΙΑΝΟΥΑΡΙΟΥ Κ΄

Μνήμη τοῦ ἐν ἁγίοις ἀοιδήμου καὶ θεοστέπτου Βασιλέως Λέοντος τοῦ Μεγάλου τοῦ α΄, τοῦ ἐπονομαζομένου Μακέλλη.

**(Συμψάλλεται ἡ τούτου ἀκολουθία τῇ τοῦ Ἁγ. Εὐθυμίου)**

### ΕΝ ΤΩι ΕΣΠΕΡΙΝΩι

**Ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ Ὁσίου ἐκ τοῦ Μηναίου δ΄ καὶ τὰ παρόντα τοῦ ἁγίου Λέοντος δ΄.**

**Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος!**

Ὢ τοῦ παραδόξου θαύματος! Ἡ πηγὴ τῆς ζωῆς, ἡ Ἁγνὴ καὶ ἄμωμος, ὡς κρήνην ὑπερχειλῆ, θείας χρηστότητος, τῷ Λέοντι τῷ κλεινῷ προμηθουμένη ἡμῶν ἀπεκάλυψε, τὴν ταύτης θείαν πηγήν, ὡς Σιλωὰμ κολυμβήθραν θεόβρυτον· ἐξ αὐτῆς γὰρ ἀναβλύζει, ὕδωρ τὸ ἀλλόμενον, καὶ ψυχῶν καὶ σωμάτων, ἀποπλύνει ἀρρωστήματα. Δὶς

Βαβαὶ τῆς σῆς προμηθείας Ἁγνή! Ὡς γὰρ ἐπηγγείλω, Ἄνακτα θεόστεπτον, ἐλαίῳ πνευματικῆς ἀγαλλιάσεως, ἀνέδειξας ἀληθῶς, ὥσπερ οἰκεῖον θεράποντα Ἄχραντε, τὸν Λέοντα τὸν πιστόν, ὀρθοδοξίας τῇ δόξῃ κοσμούμενον. Ὅθεν ἀληθείας ῥάβδου, εὐσεβῶς διῴκησεν, ὡς βασίλειον κλῆρον, τὸν λαὸν τὸν περιούσιον.

Ὡς ἁλουργίδα ὑπέρλαμπρον, εὐκλεῶς φορέσας, πίστιν τὴν ἀμόλυντον, διέπρεψας εὐσεβῶς, Λέων πανάριστε· ὡς θεῖος γὰρ τεθηνώς, τὴν Ἐκκλησίαν τοῦ Λόγου διέθρεψας, καὶ φύλαξ πανευπρεπής, τοῦ ἱεροῦ θησαυροῦ ἐχρημάτισας· ἐξ οὗ μάκαρ καὶ σκορπίσας, δαψιλῶς τοῖς χρῄζουσι, βασιλείας τῆς ἄνω, χαρμοσύνως ἐπιβέβηκας.

**Δόξα. Ἦχος β΄.**

Δικαιοσύνης περιποιησάμενος τὸν πλοῦτον, βασιλικῆς καθέδρας ἠξίωσας, Λέων παμμακάριστε· τῇ προτυπωθείσῃ γὰρ ἐπωνυμίᾳ, κατάλληλον ἁρμόσας ζωήν, τῆς βασιλίδος τῶν Οὐρα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νῶν, μύστης ἀναδέδειξαι· ὅθεν βασιλικῷ σου βρυχήματι, τῶν αἱρετικῶν διαλύσας τὰς φάλαγγας, στύλος καὶ ἑδραίωμα, τῆς Ἐκκλησίας ὤφθης· διὸ ἑορτάζει σου, ἀξιοπρεπῶς τὰ μνημόσυνα.

### Καὶ νῦν τῆς Θεοτόκου.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστός· ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος, τὸ φῶς Ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Κεφ. Γ´ 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ, προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Κεφ. Ε´ 16. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις Ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ, ΞΑ´. 10 Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης. Ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ. Καὶ ὡς γῆ αὔξουσα τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ ἀνατέλλει, οὕτως ἀνατελλεῖ Κύριος Κύριος δικαιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν. Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη αὐτῆς, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται. Καὶ ὄψονται ἔθνη τὴν δικαιοσύνην σου, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου, καὶ καλέσουσι τὸ ὄνομά σου τὸ καινόν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό· καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου. Καὶ οὐκ ἔτι κληθήσῃ καταλελειμμένη, καὶ ἡ γῆ σου οὐ κληθήσεται ἔτι ἔρημος· σοὶ γὰρ κληθήσεται θέλημα ἐμόν, καὶ τῇ γῇ σου, οἰκουμένη· ὅτι εὐδόκησε Κύριος ἐν σοί, καὶ ἡ γῆ σου συνοικησθήσεται. Καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ, οὕτω κατοικήσουσιν οἱ υἱοί σου μετὰ σοῦ καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί.

### ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ. Ἰδιόμελα.

Ἦχος α´.

Τῶν ἀνάκτων τὴν δόξαν, καὶ τοῦ Εὐαγγελίου τὸν τρόφιμον, Λέοντα τὸν ἔνδοξον, ᾀσματικῶς τιμήσωμεν· οὗτος γὰρ τῇ τῆς Θεοτόκου προνοίᾳ μυστικῶς καταρδευθείς, τὴν ζωηφόρον ταύτης πηγήν, ὡς πέτραν ἐν ἐρήμῳ πολύρρητον ἀληθῶς ἀνεῦ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρον· ἐξ ἧς ὁ νέος Ἰσραήλ, τὸ μέλι τὸ οὐράνιον, κατὰ Δαυῒδ ποριζόμενος κραυγάζει. Πότισον ἡμᾶς Δέσποτα, ἐκ τῆς ποιότητος τοῦ οἴκου σου, καὶ ῥᾶνον ἡμῖν τῆς εὐσπλαγχνίας σου τὸν γλυκασμόν, ταῖς τοῦ σοῦ θεράποντος πρεσβείαις ὡς φιλάνθρωπος.

Ἦχος β΄.

**Β**ασιλικὴν ἠμφιεσμένος πορφύραν, τῆς οὐρανίου βασιλείας ἐραστής, Λέων ἐχρημάτισας· ἐν γὰρ τῷ θείῳ καρποφορήσας θελήματι, υἱὸς ἐδείχθης ἐν φωτί, τοῦ ἀθανάτου βασιλέως ἕν ἡμῖν ἱλέωσαι, τὸν φύσει εὐδιάλλακτον.

Ἦχος γ΄.

**Ω**ς νεφέλη φωταυγής, ἡ τοῦ ἀνάρχου φωτὸς γεννήτρια, ἐπιστᾶσα Λέων ἐφώνει σοι, ἐν τῷ ἄλσει εἰσδραμών, τὸ τῆς εὐλογίας μου ὕδωρ, εὑρήσας [illegible] κείμενον· ἐξ οὗ ἀντλήσας περιφανῶς, ὡς θεόβρυτος ποταμός, τὴν πόλιν τοῦ Θεοῦ τοῖς σοῖς ὀρμήμασιν εὔφρανας· τῇ δι' ἐπαγγελίας γὰρ ἐξουσίᾳ, τῆς τρισηλίου ἀρχῆς τῇ εὐδοκίᾳ, πανσόφως ἐχρήσω ἔνδοξε. Καὶ νῦν ἡμᾶς οἰκείωσαι, τῷ πάντων βασιλεύοντι.

Δόξα. Ἦχος δ΄.

**Τ**ῇ τοῦ βίου σου χρηστότητι, ὁ τῆς δικαιοσύνης προσχὼν πρύτανις, εἰς μέγιστον θρόνον, τῆς βασιλείας σε ὕψωσεν· ἐν ᾧ ὡς λύχνος ἀναλάμψας, τὴν Ἐκκλησίαν ἐφαίδρυνας, τῇ μεγαλοπρεπείᾳ τῶν τρόπων σου. Τῶν γὰρ σκήπτρων τὸ κλέος, πρὸς αἶνον καὶ δόξαν, τοῦ ὑπερουσίου ἔθου Βασιλέως· διὸ ἀξίως σὲ ἠμείψατο, Λέων Ἄναξ ἔνθεε.

Καὶ νῦν. Θεοτοκίον.

**Ε**κ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Εἰς τὸν Στίχον.** Στιχηρὰ Προσόμοια.

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν**

**Ο**τε, ὁ χειμάρρους τῆς τρυφῆς, ἡ θεοχαρίτωτος Κόρη, ἡ τοῦ ἐλέους πηγή, βρύσιν τὴν ἀδάπανον, καὶ ζωηδώρητον, ἐν τῇ πόλει τοῦ Βύζαντος, εὐδόκησε κόσμῳ, ἐμφανῆ ποιήσασθαι, δι' ἀγαθότητα, τότε σε διάκονον Λέων, τῆς ἀνακαλύψεως ταύτης, ὡς πιστοῦ θεράποντες ἀνέδειξε.



**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

**Ο**τε, ἐπελάβου τῶν ἰχνῶν, τῆς ἀκουτισθείσης ὀμφῆς σοι, Λέων ὑπέρτιμε, τότε ὥσπερ ἔλαφος, διψῶσα ἔδραμες, πρὸς πηγὴν τὴν θεόβρυτον, τῆς Ἁγνῆς Παρθένου, ἐξ ἧς τὸ ἀθάνατον νᾶμα ἐπλούτησας· ὥσπερ κορεσθεὶς ὁδηγήσας, τὴν τῶν πηρωθέντων ὀμμάτων, θαυμασίως ἴασιν ἐκτήσατο.

**Στίχ. Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν.**

**Ο**τε, βασιλέα σε πιστόν, τῆς ἐκλελεγμένης μερίδος, Ἄναξ ὁ ἄναρχος, Λέων κατεστήσατο, ὡς ὑπηρέτην αὐτοῦ, εὐσεβείᾳ διέπρεψας, καὶ ἄξιος ὤφθης, τῆς ἐνθέου κλήσεως, ἐργάτης ἔνδοξε· ὅθεν βασιλείας τῆς ἄνω, τὰ ὑπέρκαλλῆ ἐκληρώσω, καὶ ἀχειροποίητα ἀνάκτορα.

Δόξα. Ἦχος πλ. β΄.

**Ω**ς εὐσεβείας ὑπουργός, τῶν θεοπαραδότων ὅρων, Λέων πανεύφημε, ἔπαλξις γέγονας· σὺ γὰρ ὡς ζηλωτὴς ἔργων θεοφιλῶν, πανευπρεπὲς ἄγαλμα, ἐν βασιλεῦσιν ὤφθης· ὅθεν εἰρηνικῶς βασιλεύσας, εἰρήνην αἰώνιον ἐν τῇ ἀϊδίῳ ἀπολαύσει, παρὰ Θεοῦ εἰκότως, εὗρες μακάριε, Αὐτὸν ἱκέτευε ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

**Δ**έσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὸ Ἀπολυτίκιον

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

**Τ**ῆς φωνῆς ἐπακούσας τῆς Θεομήτορος, τὴν πηγὴν ἀπεκάλυψας τὴν ζωήρρυτον, ἐξ ἧς ἐπλήσθης δαψιλῶς, θείας χρηστότητος· ὅθεν διέπρεψας ἐν γῇ, ὥσπερ Ἄναξ εὐσεβής, ὀρθοδοξίᾳ ἐκλάμπων, Λέων ἀνάκτων τὸ κλέος, τῆς Θεοτόκου φίλε γνήσιε.

Θεοτοκίον.

**Χ**αῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκί, τὸν ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

Τὰ λοιπὰ τοῦ Ἑσπερινοῦ καὶ ἀπόλυσις.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν α'. Στιχολογίαν. Κάθισμα.

**Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.**

Ὡς Ἄναξ εὐσεβής, καὶ θεράπων τοῦ Λόγου, διέλαμψας πιστῶς, βασιλεύσας ὁσίως· διὸ σε ἡ οὐράνιος, βασιλεία ἐδέξατο, Λέων ἔνδοξε, ἐν ᾗ ἀπαύστως δυσώπει, δοῦναι ἄφεσιν ἁμαρτιῶν ἡμῖν πᾶσι, τοῖς σὲ μακαρίζουσι.

**Θεοτοκίον.**

Ὡς Μήτηρ τοῦ Θεοῦ, καὶ πηγὴ εὐσπλαγχνίας, ἐγνώρισας Ἁγνή, τῷ πιστῷ σου οἰκέτῃ, τὴν κρήνην σου τὴν ἔνθεον, εἰς ἡμῶν περιποίησιν· μεθ' οὗ ἅπαντες, μεγαλοφώνως ὑμνοῦμεν καὶ δοξάζομεν, τὰς δυναστείας σου Κόρη, βροτῶν ἀνακαίνισις.

Μετὰ τὴν β'. Στιχολογίαν. Κάθισμα.

**Ἦχος γ'. Θείας πίστεως**

Θείῳ χρίσματι, ὁ πάντων Ἄναξ, σὲ ἡγίασαι, τοῦ βασιλεῦσαι, ἀγασθεὶς τὸν φιλόθεον τὸν τρόπον σου, ἔνθεν τὸν θρόνον ποικίλας τοῖς ἔργοις σου, ἄγων ἡγούμενος ὤφθης περίδοξος· Λέων ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Θεοτοκίον.**

Ὀμφῆς κρείττονος, ἠξιωμένος, ὡς ἀνάπλεως θείας ἀγάπης, προμηθείᾳ τῆς ἁγνῆς θεομήτορος, ἐπὶ τὸ ἄλσος σπουδαίως εἰσέδραμες, καὶ εὐλογίας τὸ ὕδωρ ἀνεύρηκας, ὅθεν ἔψαλλες, τῇ μόνῃ ἀχράντῳ ἔνδοξε· χαῖρε τῆς συμπαθείας μέγα πέλαγος.

Μετὰ τὸν πολυέλαιον. Κάθισμα.

Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Μιμητὴς γενόμενος, θεόφρον Λέων, τοῖς ἐνθέοις τρόποις σου, τοῦ Βασιλέως Ἰησοῦ, συμβασιλεύειν ἠξίωσας, εἰς τοὺς αἰῶνας, σὺν τούτῳ γηθόμενος.

**Θεοτοκίον.**

Ὡς παντὸς βασίλισσα, θεογεννῆτορ, ἐμφανῆ κατέστησας, τὴν κεκρυμμένην σου πηγήν, ἐν βασιλίδι τῶν πόλεων, διὰ πιστοῦ ὑπηρέτου σου Ἄχραντε.



Οἱ ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ'. **ἤχου καὶ τὸ Προκείμενον.**

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

**Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.**

**Τὸ πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλιον κατὰ Ματθαῖον.**

Εἶπεν ὁ Κύριος. Γρηγορεῖτε ὅτι οὐκ οἴδατε.

**(Ζήτει τῇ λ' Σεπτεμβρίου)**

**Ὁ Ν'. Δόξα. Ταῖς τοῦ θεοστέπτου.**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.**

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

**Ἦχος β'. Πρὸς τό, Ἀναστὰς ὁ Ἰησοῦς.**

Ἱκετεύειν τὸν τῶν ὅλων Βασιλέα, Λέων παμμάκαρ, μὴ παύσῃ ἀεί, ὑπὲρ τῶν εἰλικρινῶς ἀνυμνολογούντων σε.

ΕΙΤΑ ΟΙ ΚΑΝΟΝΕΣ

Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς.

Λέων εὐφημείσθω ὁ θεόφρων Ἄναξ. Γερασίμου.

Ὠδὴ α'. Ἦχος α'. **Σοῦ ἡ τροπαιοῦχος δεξιά.**

Λάμψεσιν ἀχράντοις ἀληθῶς, καταστραπτόμενος Λέων μακάριε, φωτισμόν μοι βράβευσον, φωτιστικαῖς σου πρεσβείαις πρὸς Κύριον, μέλψαι τὰ σεπτά σου, καὶ εὐκλεῆ προτερήματα.

Ἔχων τὴν διάνοιαν ἀεί, προσατενίζουσαν φόβῳ τῷ κρείττονι, βίον ἀνεπίληπτον, ἀπὸ παιδὸς ἠγκαλίσω θεόληπτε, ἐντολῶν τῶν θείων, τὴν ἐργασίαν ἑλόμενος.

Ὥσπερ ἀφθαρσίας ὑετός, τῆς Θεοτόκου ἡ θεία προμήθεια, Λέων σὲ ἀρδεύσασα, χειραγωγὸς ἀσφαλής σοι ἐγένετο, πρὸς εὕρεσιν μάκαρ, τῆς κρήνης τῆς πολυχεύμονος.

Νέμῳ ἰθυνόμενος σεπτῷ, χριστομιμήτου ἀγάπης ἐν Πνεύματι, ἐν ὁδῷ προῄρησο, τῷ τυφλωθέντι συμπάσχειν μακάριε. Ὅθεν τῆς Παρθένου, ὕδατι θείῳ δεδόξασαι.

**Θεοτοκίον.**

Ἔφης οὐρανόθεν ἀψευδῶς, τῷ σῷ θεράποντι Λέοντι Δέσποινα· εἰσελθὼν ἐρεύνησον, ἔνδον τοῦ δάσους ἐν ᾧ κατακέκρυπται, εὐεργεσιῶν μου, τὰ διαυγέστατα νάματα.

Καταβασία : **Χέρσον ἀβυσσοτόκον.**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

'Ωδὴ γ'. Ὁ μόνος εἰδώς.

Ὑψώσας τὸ ὄμμα τῆς ψυχῆς, καὶ ἅπασαν τὴν αἴσθησιν, τῇ ἀστραψάσῃ ὕψωθεν χάριτι, πέλειαν εἶδες Λέων ἀμίαντον· ὅθεν χαίρων ἤντλησας, ὡς ὕδωρ ἀλλόμενον, ἐκ πηγῆς τῆς Παρθένου τὰ νάματα.

Φωτὸς κατηξίωται αὐγῆς, ὁ πηρωθεὶς τὸ πρότερον, ὥσπερ νιψάμενος ἐκ τοῦ ὕδατος, τῆς ζωηφόρου πηγῆς ἐκ πίστεως· ὅθεν ἐμεγάλυνε, σὺν σοὶ Λέων ἔνδοξε, τῆς ἡμῶν σωτηρίας τὴν κλίμακα.

Ἡ χάρις τοῦ Πνεύματος σοφέ, ὡς μῦρον ἐκκενούμενον, τῇ κεφαλῇ σου Λέων θεομακάριστε, σὲ βασιλέα πιστὸν ἀνέδειξε, τῷ Χριστῷ κραυγάζοντα· ἅγιος εἶ Κύριε, ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

Θεοτοκίον.

Μητέρα Θεοῦ σὲ ἀληθῆ, Παρθένε πανακήρατε, Λέων ὁ μέγας ὡς ἐπιστάμενος, ναὸν περίδοξον σοὶ ἐδείματο, ἐν ᾧ τὸ ἁγίασμα, τῆς σῆς ἀγαθότητος, Σιλωὰμ κολυμβήθρα ἐγνώρισται.

Καταβασία. **Τὸ στερέωμα τῶν ἐπὶ σοί.**

Κάθισμα. **Ἦχος δ'. Ταχὺ προκατάλαβε.**

Βασίλειον ἔνδυμα, ἐνδεδυμένος φαιδρῶς, οἰκέτης πιστώτατος τοῦ βασιλέως Χριστοῦ, ἐδείχθης θεόσοφε· ὅθεν τῆς ἀσαλεύτου, βασιλείας ὁ κλῆρος, δέδοταί σοι ἀξίως ὡς ἀντάμειψις θεία· ἐν ᾗ τῶν εὐφημούντων σε Λέων μνημόνευε.

Θεοτοκίον ὅμοιον.

Βασίλισσα πέφυκας, τοῦ οὐρανοῦ καὶ τῆς γῆς, Παρθένε πανάμωμε, ὡς τετοκυῖα Θεόν, γενόμενον ἄνθρωπον· ὅθεν τῇ σῇ ἐλλάμψει, αὐγασθεὶς ὁ σὸς Λέων, ἤγειρέ σοι προθύμως, ἱλαστήριον μέγα, ἐν ᾧ ὕδατί σου οἱ προσιόντες ἀποκαθαίρονται.

'Ωδὴ δ'. Ὄρος σὲ τῇ χάριτι.

Ἔργων τῇ φαιδρότητι, ἠθῶν τε σεμνότητι, κεκοσμημένος ἀληθῶς, δικαιοσύνης εὐπρεποῦς, πιστῶς ἐβασίλευσας, τῆς σκηπτουχίας κεράσας τὸ ἔλαιον, τῶν εὐκλεῶν ἀρετῶν τῇ πιότητι.



Ἴασιν καὶ λύτρωσιν, εὗρων ὁ ἄσμακτος, τῇ μεσιτείᾳ σου σοφέ, ὡς κατετρύφησε πιστῶς, ναμάτων τῆς χάριτος, μεγαλοφώνως σὺν σοὶ ἀνεκήρυττε, τὰ μεγαλεῖα τῆς μόνης Θεόπαιδος.

Σύνεσιν ὡς στέφανον, φορέσας περίδοξον, καὶ τὴν εὐσέβειαν σοφέ, εἰς ἀλουργίδα φωταυγῆ, λαμπρῶς περιθέμενος, περικυκλούσας τὸν θρόνον σου ἔσχηκας, ὡς θεραπαίνας καλῶν τὴν κατάκτησιν.

Θεοτοκίον.

Θαύμασιν ἐρρίζωσας, ὡς ἄστροις Πανύμνητε, τὸν λογικόν σου οὐρανόν, ναὸν τὸν θεῖον καὶ σεπτόν, ὅν σοὶ καθιέρωσε, Λέων ὁ μέγας ἐν ἄναξι Δέσποινα, ἐκπληρωθείσης τῆς σῆς ὑποσχέσεως.

Καταβασία. **Ἐκάλυψεν οὐρανούς.**

'Ωδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ὠκειώθης τῇ τοῦ βίου καθαρότητι ἔνδοξε, τῷ τὰ σκῆπτρα σοι θεόφρον ἱερῶς ἐγχειρίσαντι, Λέων λειτουργήσας καθαρῶς, τῇ γεννησάσῃ τοῦτον, ὥσπερ εὐγνώμων τῆς χάριτος.

Ὀμβροφόρος ὡς νεφέλη ἀοράτως ἐφέστηκε, καὶ πηγὴν τὴν ζωηφόρον Λέων σοὶ ἐφανέρωσεν, ἡ πηγὴ τῶν θείων δωρεῶν, ἡ στάξασα ἐν κόσμῳ, τὸν ὄμβρον τὸν Ὑπερούσιον.

Θεραπεύσων ἠθέλησας συμπαθείᾳ κεντούμενος, τοῦ πηροῦ Λέων παμμάκαρ, τὴν τοῦ δίψους ξηρότητα, θείας ἀληθῶς ἐπισκοπῆς, τῆς Κεχαριτωμένης, περιφανῶς κατηξίωσας.

Θεοτοκίον.

Ἐφ' ὑδάτων ὑπερῴων Θεοτόκε ἀνέβλυσας, τὴν ζωήρρυτόν σου κρήνην ἐν τῇ πόλει τοῦ Βύζαντος, ἥνπερ ἐμφανῆ κόσμῳ παντί, τῇ σῇ χειραγωγίᾳ, Λέων ὁ θεῖος κατέστησεν.

Καταβασία. **Ὡς εἶδεν Ἡσαΐας.**

'Ωδὴ στ'. Ἐκύκλωσεν ἡμᾶς.

Ὀρέων αἰωνίων τὸ περίοπτον, ὄρος καὶ ἐμφανέστατον, ἡ τέξασα Θεὸν σωματικῶς, ὡς πέτραν γλυκασμὸν ζωῆς βλυστάνουσαν, Λέων σοφέ, πηγὴν τὴν θείαν σοι ἐφανέρωσε.

Φωνῆς ἀκηκοὼς τῆς θεομήτορος, ὥσπερ διψῶσα ἔλαφος, εἰσέδραμες τῷ ἄλσει ἐν χαρᾷ, καὶ ἰδὼν τὸν λόγον ἐκπληρούμενον, ῥεῖθρον καινόν, ἐν τῇ καρδίᾳ Λέων ἐπλούτησας.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ρήμάτων τῆς Παρθένου ὧν ὑπέσχετο, Λέων ἰδὼν τὴν ἔκβασιν, ἐγένου βασιλέων καλλονή, καὶ θεοπρεπὲς ἁγιαστήριον, πανευσεβῶς, τῇ δοξάσῃ σε ᾠκοδόμησας.

Θεοτοκίον.

Ὡς βρύσις εὐσπλαγχνίας ἀνεξάντλητος, Παρθενομῆτορ ἐμβρησάς, τὰς τῶν δωρημάτων σου ῥοάς, τῇ σεπτῇ πηγῇ σου ὑπὲρ ἔννοιαν, ἐξ ἧς ἡμῖν, τῶν ἰαμάτων ῥεῖθρα προέρχονται.

Καταβασία. **Ἐβόησέ σοι, ἰδών.**

Κοντάκιον. Ἦχος **πλ. δ'. Τῇ Ὑπερμάχῳ.**

Ὡς κολυμβήθραν Σιλωὰμ θεοχαρίτωτον, καὶ κρήνην θείαν ἐξ Ἐδὲμ ἀναπηγάζουσαν, τὴν πηγὴν τῆς Θεοτόκου ἐξεύρες. Ἀλλ' ὡς ἄναξ ἐστεμμένος θείῳ Πνεύματι, βασιλεῖ τῷ ἀθανάτῳ καθοδήγησον, τοὺς βοῶντάς σοι, χαίροις Λέων ὑπέρτιμε.

Ὁ Οἶκος.

Ἄνασσα ἡ τῶν ὅλων, ὡς θερμὸν σε οἰκέτην, Ἄνακτα θεοσεβῆ δεικνύει· τὴν γὰρ ταύτην ἐφευρὼν πηγήν, ἀξίως τῆς τιμῆς πεπολίτευσαι· διὸ τῇ σκηπτουχίᾳ σου ἰθυνόμενοί σοι βοῶμεν.

Χαῖρε, τὸ κλέος τῶν ἀνασσόντων· χαῖρε, τὸ σθένος τῶν ὀρθοδόξων.

Χαῖρε, ζωοδόχου πηγῆς ἀνακάλυψις· χαῖρε, τεθλιμμένων ψυχῶν ἀνακούφισις.

Χαῖρε, ὅτι ἐβασίλευσας θεαρέστως ἐπὶ γῆς· χαῖρε, ὅτι δόξης κρείττονος ἔτυχες ἐν οὐρανοῖς.

Χαῖρε, τοῦ ζωοδότου γνησιώτατος τύπος· χαῖρε, τῆς Θεοτόκου ἀκραιφνέστατος φίλος.

Χαῖρε, θεσμῶν τῆς πίστεως ἔρεισμα· Χαῖρε, δεινῶν αἱρέσεων σύντριμμα.

Χαῖρε, Χριστοῦ κοινωνὲ βασιλείας· χαῖρε, φωτὸς μέτοχε ἀφθαρσίας,

Χαῖρε, Λέων ὑπέρτιμε.

Συναξάριον.

Τῇ Κ' τοῦ αὐτοῦ μηνός, μνήμην ἐπιτελοῦμεν τοῦ ἐν Ἁγίοις εὐσεβεστάτου καὶ θεοστέπτου βασιλέως Λέοντος τοῦ Μεγάλου τοῦ α'. τοῦ Θρᾳκός, τοῦ καλουμένου Μακέλλη, τοῦ ἀνακαλύψαντος τὴν ζωοδόχον Πηγὴν ἐν Κωνσταντινουπόλει.



Στίχοι

Ἄνακτα πιστὸν τὸν Λέοντα τὸν μέγαν.

Ἔστεψε Χριστὸς οὐρανοκράτωρ Ἄναξ.

Εἰκάδι Λέων περίκλυτος θυμὸν θεουδῆ ἀπέπνει.

**Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

**Ὠδὴ ζ'. Σὲ νοητήν.**

Νόμῳ Θεοῦ, κυβερνῶν τὸν βίον σου, πηδαλιοῦχος δεξιός, ὤφθης βασιλείας τῆς σεπτῆς· ταύτης γὰρ τοὺς οἴακας, Χριστὸς σοι δεδώρηται, προεγνωκὼς σου τὰς χάριτας, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ἀγγελικῆς, συναυλίας ἔνδοξε, φωτοφανῶς ἀξιωθείς, τοῦ παμβασιλέως Ἰησοῦ, ἐν μεθέξει γέγονας, εἰς τὰ ὑπερκόσμια οἰκήσας ἀνάκτορα, ἔνθα ἀΐδιος αἴγλη, θεουργικῶς καταυγάζεται.

Νᾶμα ζωῆς, ὡς ὕδωρ ἀλλόμενον, ὡς ἀφθαρσίαν ἀληθῆ, τῆς ἀειπαρθένου καὶ Ἁγνῆς, θείαις ἐπινεύσεσιν, ὑπουργῶν ἀνεύρηκας, ἔνδον τοῦ δάσους πανεύφημε, τὴν ζωοδόχον κρήνην, πνευματικῶς διανέμουσαν.

Ἀρχῶν λαοῦ, προμηθείᾳ κρείττονι, κατασταθεὶς προφητικῶς, στήλην τε καὶ τύπον σεαυτόν, καλῶν ἔργων ἔδειξας, Λέων παναοίδιμε, τοῖς εὐσεβῶς ἀνακράζουσιν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

**Θεοτοκίον.**

Ξένα ἀεί, πέλουσι τὰ θαύματα, τῆς ζωηφόρου σου Πηγῆς· νόσους γὰρ ἰᾶται χαλεπάς, λύει ἁμαρτήματα καὶ ἐλαύνει πνεύματα, τῆς πονηρίας ἑκάστοτε, εὐλογημένη Παρθένε· ὅθεν πιστῶς σε δοξάζομεν.

Καταβασία. **Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.**

**Ὠδὴ η'. Ἐν καμίνῳ Παῖδες.**

Γῆν τὴν τῶν πραέων ἀσφαλῶς, κατακληρονομήσας κατάσχεσιν αἰωνίαν, ἐκληρώσω ἐκ Θεοῦ, κραυγάζων θεόστεπτε· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἐπιπνοίας θείας μετασχών, ἀρρήτῳ εὐδοκίᾳ, τῆς μόνης Ἀειπαρθένου, διήκουσας αὐτῇ, καὶ πόθῳ ἐκραύγαζες· εὐλογῶ σε εὐλογημένη Θεογενῆτορ, καὶ τῆς σῆς δυναστείας, τὸ κράτος μεγαλύνω εἰς πάντας τοὺς αἰῶνας.

Ῥάβδον βασιλείας εὐσεβοῦς, ἐγχειρισθεὶς θεόθεν, τὴν τοῦ Λόγου μερίδα διῴκησας, θεοφρόνως, καὶ ψάλλων ἐκραύγαζες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Ἄνωθεν ἡ χάρις σου Ἁγνή, ὡς δρόσος ἐπουρανία, ἀπαύστως κατερχομένη, ἐν τῷ ὕδατι τῆς σῆς Πηγῆς Παναμώμητε, παθημάτων ἄνθρακας ἀποσβεννύει, καὶ ῥῶσιν πρυτανεύει, τοῖς ὑπερυψοῦσι τὴν σὴν μεγαλωσύνην.

Καταβασία. **Ἀστέκτῳ πυρὶ ἑνωθέντες.**

**Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς.**

Στέφος ἀφθαρσίας εἴληφας, ὑπερφυεῖ ἐλλάμψει καλλωπιζόμενον, Λέων σοφέ, καὶ ὥσπερ Ἄναξ πιστότατος, Βασιλεῖ τῷ ἀφθάρτῳ παρέστηκας, λαμπρῶς ἐστολισμένος τὴν ἀληθῆ μεγαλειότητα.

Ἶρις νοητὴ ἀνέλαμψας, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, Λέων πανάριστε, ἔργων σεμνῶν, τῇ ποικιλίᾳ κοσμούμενος, ὡς ἐν χρόαις ἀΰλοις τοῦ Πνεύματος· διὸ τοὺς σὲ τιμῶντας, τῇ φωταυγείᾳ σου καταύγασον.

Μένει εἰς αἰῶνα ἅπαντα, τὸ εὐαγές σου Λέων ὄντως μνημόσυνον· σὺ γὰρ θερμῶς, ὑπὲρ τιμὴν τὴν βασίλειον, ἀρετὴν τὴν ἁγίαν ἠγάπησας, διὸ ἐν τῇ Τριάδι, ἄλλον οἰκεῖόν σε παρέστησεν.

Οἶκον θαυμαστόν σοι δέδωκεν, εἰς αἰωνίαν κατοίκησιν ὁ φιλάνθρωπος, ἐν τῇ Σιών, τῇ οὐρανίᾳ μακάριε, προσδεχθεὶς τὴν σεπτὴν ὑπουργίαν σου· ἐξ οὗ συμπαθῶς νεῦσον, τὴν ὑμνῳδίαν μου δεχόμενος.

**Θεοτοκίον.**

Ὕδωρ διαυγὲς καὶ ἄφθαρτον, ἐν τῇ ψυχῇ μου στάξον κρήνη πολύρρυτε, σὲ δυσωπεῖ, Λέων ὁ θεῖος θεράπων σου, Θεοτόκε Ἁγνὴ ἀειπάρθενε· φλογμῷ γὰρ παθημάτων, ὁ σὸς ἱκέτης ἀναλίσκομαι.

Καταβασία. **Θεοτόκε ἡ ἐλπίς.... Ἐν νόμῳ σκιᾷ.**



Ἐξαποστειλάριον. **Ὁ Οὐρανὸν τοῖς ἄστροις.**

Χριστὸν πιστῶς θεραπεύσας, Λέων ἐν βίῳ εὐσεβῆ, διάδημα καὶ πορφύραν ἐδέξω μεγαλοπρεπῶς, ὧν τῇ τιμῇ ὡς βαθμίδι, πρὸς θείαν δόξαν ἐχρήσω.

**Θεοτοκίον.**

Ὁ οὐρανὸς τῆς δόξης, ἡ Θεοτόκος Μαριάμ, ὡς κεκλεισμένην κρήνην, χάριτος θείας δαψιλοῦς, σοὶ ἀνεπέτασε Λέων, πηγὴν αὐτῆς τὴν ἁγίαν.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους στ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ Ὁσίου γ΄. καὶ τοῦ Ἁγίου Λέοντος γ΄.

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Τῇ βασιλείῳ σου κλήσει καλλωπιζόμενος, τῆς πάντων Βασιλίσσης, πιστὸς μύστης ἐδείχθης, ἧς τῇ ἐπινεύσει καθυπουργῶν, τὴν πηγὴν τὴν θεόβρυτον, ὡς ἰαμάτων ἀκένωτον θησαυρόν, Λέων ἅπασιν ἐγνώρισας.

Τῆς ἐξουσίας τὰ σκῆπτρα, ὡς κλῆρον ἅγιον, ὁ τῶν ἀνάκτων Ἄναξ, σοὶ δεδώρηται Λέων· ὅθεν Ἐκκλησίας προασπιστής, ἀρραγὴς ἐχρημάτισας, καὶ τὸν λαὸν τοῦ Κυρίου πανευσεβῶς, θείοις νόμοις ἐκυβέρνησας.

Τῆς ὑπὲρ νοῦν βασιλείας τὴν ὡραιότητα, κληρονομήσας Λέων, ὡς θεράπων τοῦ Λόγου, πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν, συμπαθείας τὸ πέλαγος, τῆς ἀληθοῦς σωτηρίας τὴν ἀπαρχήν, τὴν ἁγνὴν Παντοβασίλισσαν.

**Δόξα Ἦχος πλ. α΄.**

Προοιμιαζομένη μυστικῶς, τὴν ἐσομένην ὑπεροχήν σου ἡ τοῦ Λόγου Μήτηρ, οἰκεῖόν σε ἐπεσπάσατο διάκονον· τὴν γὰρ ἀφανῆ αὐτῆς πηγήν, ἐμφανῆ τῷ κόσμῳ ποιῆσαι, διὰ σοῦ ηὐδόκησεν· ὅθεν τῇ χειρὶ αὐτῆς, τὸ εὐκλεὲς ἀναδησάμενος διάδημα, ὡσεὶ ἐλαίῳ ἐξήνθησας τὸν ἀληθῆ προφητικῶς ἁγιασμόν· δι' οὗ καὶ ἡμᾶς ἁγίασον, Λέων παμμακάριστε.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τὰ τυπικὰ καὶ ἐκ τῶν Κανόνων ἡ γ΄. ᾠδὴ τοῦ Ὁσίου καὶ ἡ στ΄. τοῦ Ἁγίου Λέοντος.

Ἀπόστολος. **Τέκνον Τιμόθεε, δίωκε δικαιοσύνην.**

(Ζήτει τῷ Σαββάτῳ τῆς λδ.΄ ἑβδομάδος.)

Εὐαγγέλιον κατὰ Ἰωάννην.

**Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ἐγώ εἰμι ἡ ἄμπελος.**

(Ὅρα τῇ β΄. Σεπτεμβρίου)

Κοινωνικόν.

**Εἰς Μνημόσυνον αἰώνιον, ἔσται δίκαιος.**

Μεγαλυνάριον.

Ὕδωρ ἐξαντλήσας ζωοποιόν, ἐκ τῆς θείας κρήνης, τῆς Παρθένου Λέων σοφέ, ὄμβροις τοῦ σοῦ βίου, ὡς ἀμπελῶνα θεῖον, ἀρχήν σοι τὴν δοθεῖσαν πλουσίως ἤρδευσας.

Δίστιχον.

Ἄνακτα πάθων ἀνάδειξόν με Λέων,
Γεράσιμον μέλψαντα τὰς ἀρετάς σου.

# ΑΚΟΛΟΥΘΙΑ ΚΟΙΝΗ

## Ἡ Ἀναστάσιμος, ἡ τῆς Ζωοδόχου Πηγῆς καὶ ἡ τοῦ Ἁγίου Λέοντος, ψαλλομένη τῷ Σαββάτῳ τῆς Διακαινησίμου.

### ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ ΕΣΠΕΡΑΣ

### ΕΝ ΤΩι ΕΣΠΕΡΙΝΩι

Τὸ **Χριστὸς Ἀνέστη** ιβ΄ μετὰ τῶν στίχων αὐτοῦ, καὶ τὴν Συναπτήν.

Εἰς τὸ **Κύριε ἐκέκραξα.** Ἱστῶμεν στίχους ι΄ καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα τῆς ὀκτωήχου δ΄.

**Ἦχος πλ. δ΄.**

Ἑσπερινὸν ὕμνον καὶ λογικὴν λατρείαν, σοὶ Χριστὲ προσφέρομεν, ὅτι ηὐδόκησας τοῦ ἐλεῆσαι ἡμᾶς, διὰ τῆς Ἀναστάσεως.

Κύριε Κύριε, μὴ ἀπορρίψῃς ἡμᾶς, ἀπὸ τοῦ προσώπου σου, ἀλλὰ εὐδόκησον, τοῦ ἐλεῆσαι ἡμᾶς, διὰ τῆς Ἀναστάσεως.

Χαῖρε Σιὼν Ἁγία, Μήτηρ τῶν Ἐκκλησιῶν, Θεοῦ κατοικητήριον· σὺ γὰρ ἐδέξω πρώτη, ἄφεσιν ἁμαρτιῶν, διὰ τῆς ἀναστάσεως.

Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, πρὸ τῶν αἰώνων γεννηθείς, ἐπ᾽ ἐσχάτων δὲ τῶν χρόνων, ὁ αὐτός, ἐκ τῆς ἀπειρογάμου σαρκωθείς, βουλήσει, σταύρωσιν θανάτου ὑπέμεινε, καὶ τὸν πάλαι νεκρωθέντα ἄνθρωπον ἔσωσε, διὰ τῆς ἑαυτοῦ ἀναστάσεως.

Τῆς Ζωοδόχου Πηγῆς γ΄.

**Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος!**

Ὢ τοῦ παραδόξου θαύματος! ὡς χειμάρρουν τρυφῆς, κόσμῳ ἀναδείκνυσι, τὴν ταύτης θείαν πηγὴν ἡ Θεοτόκος Ἁγνή. Ἀντλήσατε οὖν πιστοί, μετ᾽ εὐφροσύνης, τὸ ὕδωρ τῆς χάριτος· ἀρδεύθητε δαψιλῶς, τῇ παρ᾽ αὐτοῦ ἐπομβρίᾳ κραυγάζοντες. Κεχαριτωμένη χαῖρε, ἡ ἀφθόνως βλύζουσα, τὸ ἀλλόμενον ὕδωρ, εὐσεβῶν εἰς περιποίησιν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Βαβαὶ τῶν σῶν θαυμασίων πηγή! σὺ γὰρ ἰατρεῖον, ὤφθης ἀδαπάνητον, καὶ πέλαγος ἀγαθῶν, καὶ εὐσπλαγχνίας κρουνός· σωμάτων γὰρ καὶ ψυχῶν, ἀνακαθαίρεις δεινὰ ἀρρωστήματα, ἀναβοῶσι κατ' ἄμφω τὰ κρείττονα. Κεχαριτωμένη χαῖρε, τοῦ ἐλέους δότειρα, ἡ πηγάζουσα κόσμῳ, ἀγαλλίασιν καὶ λύτρωσιν.

Τῆς σῆς πηγῆς ἡ ἐκλάμπουσα, χάρις Θεοτόκε, πᾶσαν γῆν ἐκάλυψε, καὶ ἕως τῶν οὐρανῶν, ἤρθη τῇ δόξῃ σου. Ὡς κρήνη γὰρ δαψιλής, ἐκ τῆς Ἐδὲμ καθορᾶται βλυστάνουσα, εἰς τέσσαρας δὲ ἀρχάς, μεριζομένη εὐφραίνει τοὺς ᾄδοντας. Κεχαριτωμένη χαῖρε, δωρεῶν τὸ πλήρωμα, ἡ πληροῦσα σοφίας, τοὺς προστρέχοντας τῇ κρήνῃ σου.

Καὶ τοῦ Ἁγίου Λέοντος γ'.

**Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.**

Ὢ τοῦ παραδόξου θαύματος! Ἡ πηγὴ τῆς ζωῆς ἡ Ἁγνὴ καὶ ἄμωμος, ὡς κρήνην ὑπερχειλῆ θείας χρηστότητος, τῷ Λέοντι τῷ κλεινῷ, προμηθουμένη ἡμῶν ἀπεκάλυψε, τὴν ταύτης θείαν πηγήν, ὡς Σιλωὰμ κολυμβήθραν θεόβρυτον, ἐξ αὐτῆς γὰρ ἀναβλύζει, ὕδωρ τὸ ἀλλόμενον, καὶ ψυχῶν καὶ σωμάτων, ἀποπλύναι ἀρρωστήματα.

Βαβαὶ τῆς σῆς προμηθείας Ἁγνή! Ὡς γὰρ ἐπηγγείλω, Ἄνακτα θεόστεπτον, ἐλαίῳ πνευματικῆς, ἀγαλλιάσεως, ἀνέδειξας ἀληθῶς, ὥσπερ οἰκεῖον θεράποντα Ἄχραντε, τὸν Λέοντα τὸν πιστόν, ὀρθοδοξίας τῇ δόξῃ κοσμούμενον· ὅθεν ἀληθείας ῥάβδῳ, εὐσεβῶς διῴκησεν, ὡς βασίλειον κλῆρον, τὸν λαὸν τὸν περιούσιον.

Ὡς ἀλουργίδα ὑπέρλαμπρον, εὐκλεῶς φορέσας, πίστιν τὴν ἀμόλυντον, διέπρεψας εὐσεβῶς, Λέων πανάριστε· ὡς θεῖος γὰρ τιθηνός, τὴν Ἐκκλησίαν τοῦ Λόγου διέθρεψας, καὶ φύλαξ πανευπρεπής, τοῦ ἱεροῦ θησαυροῦ ἐχρημάτισας· ἐξ οὗ μάκαρ καὶ σκορπίσας, δαψιλῶς τοῖς χρῄζουσι, βασιλείας τῆς ἄνω, χαρμοσύνως ἐπιβέβηκας.

**Δόξα. Ἦχος β'.**

Δικαιοσύνης περιποιησάμενος τὸν πλοῦτον, βασιλικῆς καθέδρας ἠξίωσαι, Λέων παμμακάριστε· τῇ προτυπωθείσῃ γὰρ ἐπωνυμίᾳ, κατάλληλον ἁρμόσας ζωήν, τῆς βασιλίδος τῶν οὐρα-



νῶν, μύστης ἀναδέδειξαι· ὅθεν βασιλικῷ σου βρυχήματι, τῶν αἱρετικῶν διαλύσας τὰς φάλαγγας, στῦλος καὶ ἑδραίωμα. τῆς Ἐκκλησίας ὤφθης· διὸ ἑορτάζει σου, ἀξιοπρεπῶς τὰ μνημόσυνα.

**Καὶ νῦν. Τῆς Θεοτόκου, τῆς Ζωοδόχου Πηγῆς.**

**Ἦχος πλ δ'.**

Τίς λαλήσει τὰς δυναστείας σου πηγή, ἥτις ἐξ ἀκενώτων θαυμάτων πλημμυροῦσα, πολλὰ καὶ ὑπὲρ φύσιν ἐνεργεῖς διὰ ἰάσεων· βαβαὶ τῶν μεγαλείων, ὧν τοῖς πᾶσιν ἐπιρρέεις! οὐ μόνον γὰρ νοσήματα χαλεπὰ ἀπήλασας, τῶν προσιόντων μετὰ πόθου, ἀλλὰ καὶ τὰ τῶν ψυχῶν πάθη ἐκπλύνεις, καθαρίζουσα πανάσπιλε· σὺν πᾶσι βραβεύουσα καὶ μέγα ἔλεος.

Εἴσοδος. Φῶς ἱλαρόν, καὶ τὸ Προκείμενον.

**Ἦχος πλ. δ'.**

Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου Κύριε.

**Στίχ. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.**

**Στίχ. Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.**

**Στίχ. Οὕτω ψαλῶ τῷ ὀνόματί σου.**

Ἐκτενής, τὸ Καταξίωσον Κύριε, καὶ τὰ λοιπά. Τὸ ἀναστάσιμον στιχηρὸν τοῦ ἤχου.

**Ἦχος πλ. δ'.**

Ἀνῆλθες ἐπὶ Σταυροῦ Ἰησοῦ, ὁ καταβὰς ἐξ οὐρανοῦ, ἦλθες ἐπὶ θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος· πρὸς τοὺς ἐν σκότει τὸ φῶς τὸ ἀληθινόν, πρὸς τοὺς πεσόντας ἡ πάντων ἀνάστασις, ὁ φωτισμὸς καὶ ὁ Σωτὴρ ἡμῶν δόξα σοι.

Εἶτα τὰ στιχηρὰ τοῦ ἁγίου Λέοντος.

**Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

**Ἦχος β'.**

Ὅτε, ὁ χειμάρρους τῆς τρυφῆς, ἡ θεοχαρίτωτος Κόρη, ἡ τοῦ ἐλέους πηγή, βρύσιν τὴν ἀδάπανον καὶ ζωοδώρητον, ἐν τῇ πόλει τοῦ Βύζαντος, ηὐδόκησε κόσμῳ, ἐμφανῆ ποιήσασθαι, δι' ἀγαθότητα, τότε σὲ διάκονον Λέων, τῆς ἀνακαλύψεως ταύτης ὡς πιστὸν θεράποντα ἀνέδειξε.

**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

Ὅτε ἐπελάβου τῶν ἰχνῶν τῆς ἀκουτισθείσης ὀμφῆς σοι, Λέων ὑπέρτιμε, τότε ὥσπερ ἔλαφος, διψῶσα ἔδραμες, πρὸς πη-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

γὴν τὴν θεόβρυτον, τῆς Ἁγνῆς Παρθένου, ἐξ ἧς τὸ ἀθάνατον νᾶμα ἐπλούτησας· ᾧ περ κορεσθεὶς ὁ διψήσας, τὴν τῶν πηρωθέντων ὀμμάτων, θαυμασίως ἴασιν ἐκτήσατο.

Στίχ. Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν.

Ὅτε, βασιλέα σὲ πιστόν, τῆς ἐκλελεγμένης μερίδος, Ἄναξ ὁ ἄναρχος, Λέων κατεστήσατο, ὡς ὑπηρέτην αὐτοῦ, εὐσεβείᾳ διέπρεψας, καὶ ἄξιος ὤφθης τῆς ἐνθέου κλήσεως, ἐργάτης ἄξιος· ὅθεν βασιλείας τῆς ἄνω, τὰ ὑπερκαλλῆ ἐκπληρώσω, καὶ ἀχειροποίητα ἀνάκτορα.

**Δόξα. Ἦχος πλ. α΄. Τῆς Ζωοδόχου Πηγῆς.**

Τὴν ζωοδόχον πηγήν, καὶ ἀέναον κρήνην, θαυμάτων παραδόξων, τὴν Θεοτόκον Μαρίαν, ἀνυμνήσωμεν λέγοντες. Χαῖρε τῶν προφητικῶν προρρήσεων ἡ ἐκπλήρωσις· τῶν Ἀποστολικῶν κηρυγμάτων ἡ βεβαίωσις, Ἀρχιερέων ἡ δόξα, ἱερέων ἡ καλλονή, μαρτύρων τὸ ἀγαλλίαμα, καὶ ὁσίων τὸ ἐγκαλλώπισμα, ἀσθενούντων ἡ ῥῶσις, ὀρφανῶν προστασία, καὶ πενήτων πλοῦτος ἀκένωτος· καὶ πάντων πιστῶν τὸ ῥεῖθρον τῆς ζωῆς τὸ ἀθάνατον, τὸ πᾶσι πηγάζον, ξένα καὶ παράδοξα.

**Καὶ νῦν. Ὁ αὐτός.**

Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα· εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς, συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν. Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ, θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Τὸ **Χριστὸς ἀνέστη** γ΄. Εἶτα τὸ ἀπολυτίκιον..

**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τὸν ὑπερούσιον, ὄμβρον κυήσασα, πηγὴ ζωήρρυτος Παρθένε πέφυκας, ἀναπηγάζουσα ἡμῖν, τὸ νέκταρ τὸ ἀθάνατον, ὕδωρ τὸ ἀλλόμενον, εἰς ζωὴν τὴν αἰώνιον, νάματα γλυκύρροα, ἐκ τῆς κρήνης σου πάντοτε, ἐξ ὧν ἐπεντρυφῶντες βοῶμεν, χαῖρε Πηγὴ ἡ ζωηφόρος.

Καὶ τοῦ ἁγίου Λέοντος.

**Ἦχος πλ. α΄ Τὸν Συνάναρχον Λόγον.**

Τῆς φωνῆς ἐπακούσας τῆς θεομήτορος, τὴν πηγὴν ἀπεκάλυψας τὴν ζωήρρυτον, ἐξ ἧς ἐπλήσθης δαψιλῶς θείας χρηστό-



τητος· ὅθεν διέπρεψας ἐν γῇ, ὥσπερ Ἄναξ εὐσεβής, ὀρθοδοξίᾳ ἐκλάμπων, Λέων ἀνάκτων τὸ κλέος, τῆς Θεοτόκου φίλε γνήσιε.

Ἕτερον. **Τῆς Θεοτόκου.**

**Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.**

Τῷ Ναῷ τῆς Παρθένου πάντες προσέλθωμεν, τὴν Πηγὴν τὴν ἁγίαν ὕμνοις τιμήσωμεν, τὴν βοήθειαν ἡμῶν καὶ ἀντίληψιν, ὅτι παρέχει δαψιλῶς, ἡ Ζωοδόχος δωρεὰν ἰάσεις τῶν ἀσθενούντων, ὡς Μήτηρ τῆς εὐσπλαγχνίας, ἐξαιτουμένη πᾶσι τὸ μέγα ἔλεος.

Ἐκτενὴς καὶ ἀπόλυσις.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τῷ Σαββάτῳ πρωΐ τὸ Μεσονυκτικὸν ὡς ἐν ταῖς λοιπαῖς ἡμέραις τῆς Διακαινησίμου ἑβδομάδος ἔψαλτο. Τὸ Χριστὸς ἀνέστη ὡς συνήθως καὶ οἱ Κανόνες. Ὁ ἀναστάσιμος (τῆς Λαμπρᾶς), τῆς Ζωοδόχου Πηγῆς ὁ α΄, καὶ τοῦ ἁγίου Λέοντος.

**Κανὼν τῆς Λαμπρᾶς. Ὁ Εἱρμός.**

» Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί· Πάσχα Κυρίου Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς Ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καὶ χαίρετε φάσκοντα, τρανῶς ἀκουσώμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω· ἑορταζέτω δὲ κόσμος ὁρατός τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

**Ὁ Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς·**

**«Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου.»**

**Ὠδὴ α΄. Ἀναστάσεως ἡμέρα.**

Νῦν πηγάσαις μοι Παρθένε, Θεοτόκε Πηγή, χάριν διδοῦσα λόγον ὡς ἀνυμνήσω σου Πηγήν, τὴν βλυστάνουσαν ζωήν, καὶ χάριν πιστοῖς. Σὺ γὰρ ἐνυπόστατον, ἡμῖν Λόγον ἐπήγασας.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἰατρεῖον ὑπὲρ φύσιν, ὁ ναὸς σου σεμνή, δείκνυται πᾶσι, Κόρη· ἐκ γὰρ θανάτου προφανοῦς, τοὺς προστρέχοντας πιστούς σαφῶς ἀνιστᾷ, καὶ πᾶσι τὴν ἄφθονον. ἀναβλύζει γλυκύτητα.

Καταῤῥέεις οὐρανόθεν ἀκενώτους Ἁγνή, χάριτας ὄντως μόνη· τὸν γὰρ τυφλώττοντα ποιεῖς, ἀναβλέπειν πρὸς τὸ φῶς, βορβόρῳ καινῷ, φωνήσασα ἄνωθεν, ὑπὲρ ἔννοιαν τῷ Λέοντι.

Ἡ κοινὴ φιλοτιμία τοῦ βροτείου σεμνή, χαῖρε Μαρία, χαῖρε· ὁ γὰρ τῶν ὅλων ποιητής, ἐπὶ σοὶ ὥσπερ σταγών, κατέβη σαφῶς, Πηγήν σε ἀθάνατον, ἀναδείξας θεόνυμφε.

**Ὁ κανὼν τοῦ ἁγίου Λέοντος οὗ ἡ ἀκροστιχὶς**

**«Λέων εὐφημείσθω ὁ θεόφρων Ἀναξ. Γερασίμου.»**

**Ὠδὴ α'. Ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος δεξιά.**

Λάμψεσιν ἀχράντοις ἀληθῶς, καταστραπτόμενος Λέων μακάριε, φωτισμόν μοι βράβευσον, φωτιστικαῖς σου πρεσβείαις πρὸς Κύριον, μέλψαι τὰ σεπτά σου, καὶ εὐκλεῆ προτερήματα.

Ἔχων τὴν διάνοιαν ἀεί, προσατε ἵζουσαν φόβῳ τῷ κρείττονι, βίον ἀνεπίληπτον, ἀπὸ παιδὸς ἠγκαλίσω θεόληπτε, ἐντολῶν τῶν θείων, τὴν ἐργασίαν ἑλόμενος.

Ὥσπερ ἀφθαρσίας ὑετός, τῆς Θεοτόκου ἡ θεία προμήθεια, Λέων σὲ ἀρδεύσασα, χειραγωγὸς ἀσφαλής σοι ἐγένετο, πρὸς εὕρεσιν μάκαρ, τῆς κρήνης τῆς πολυχεύμονος.

Νόμῳ ἰθυνόμενοι σεπτῷ, χριστομιμήτου ἀγάπης ἐν Πνεύματι, ἐν ὁδῷ προῄρησο, τῷ τυφλωθέντι συμπάσχειν μακάριε· ὅθεν τῆς Παρθένου, ὕδατι θείῳ δεδόξασαι.

**Θεοτοκίον.**

Ἔφης οὐρανόθεν ἀψευδῶς, τῷ σῷ θεράποντι Λέοντι Δέσποινα· εἰσελθὼν ἐρεύνησον, ἔνδον τοῦ δάσους ἐν ᾧ κατακέκρυπται, εὐεργεσιῶν μου, τὰ διαυγέστατα νάματα.

Καταβασία. **Ἀναστάσεως ἡμέρα.**

Τὸ Χριστὸς ἀνέστη γ', τὸ Ἀναστὰς ὁ Ἰησοῦς, καὶ ἡ αἴτησις.

**Τῆς Λαμπρᾶς. Ὠδὴ γ'. Ὁ Εἱρμὸς**

» Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουρ-
» γούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος
» Χριστοῦ, ἐν ᾧ στερεούμεθα.



Νῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια· ἑορταζέτω, γοῦν πᾶσα κτίσις, τὴν ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι, Χριστέ, συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθές, αὐτός με συνδόξασον, Σωτήρ, ἐν τῇ βασιλείᾳ σου.

**Τῆς Θεοτόκου, ὁ αὐτός.**

Φωτεινόν σε ἅγιον ναόν, τοῦ Δεσπότου τῶν ὅλων, Κόρη, ἐπίσταμαι, καὶ ἀφθαρσίας Πηγήν, τὸ ὕδωρ, ἐκρέουσαν Χριστόν, ἐξ οὗ ποτιζόμεθα.

Ὅσην χάριν Δέσποινα Πηγή, Αὐτοκράτορι δίδως οὔρων τὴν πρόοδον ἐπερχομένην δεινῶς, τοῦ λίθου ὑπόστασιν φρικτήν, τῷ ὕδατι λύσασαν.

Ῥέει χάρις ἄφθονος ἐκ σοῦ, Θεοτόκε Παρθένε χύδην πηγάζουσα, χωλοὶ σκιρτῶσιν ἐν σοί, λεπρῶν καθαρίζεται πληθύς, καὶ δαίμονες πνίγονται.

Ὅλοις νέμεις ἴασιν πιστοῖς, Βασιλεῦσι, δημόταις, πένησιν, ἄρχουσι, πτωχοῖς, πλουσίοις, κοινῶς, τὸ ὕδωρ προχέουσα Πηγή, ἀποίκιλον φάρμακον.

**Τοῦ ἁγίου Λέοντος. Ὁ μόνος εἰδώς.**

Ὑψώσας τὸ ὄμμα τῆς ψυχῆς, καὶ ἅπασαν τὴν αἴσθησιν, τῇ ἀστραψάσῃ ὑψόθεν χάριτι, πέλειαν, εἶδες Λέων ἀμίαντον· ὅθεν χαίρων ἤντλησας, ὡς ὕδωρ ἀλλόμενον, ἐκ πηγῆς τῆς Παρθένου τὰ νάματα.

Φωτὸς κατηξίωται αὐγῆς, ὁ πηρωθεὶς τὸ πρότερον, ὥσπερ νιψάμενος ἐκ τοῦ ὕδατος, τῆς ζωηφόρου πηγῆς ἐκ πίστεως· ὅθεν ἐμεγάλυνε, σὺν σοὶ Λέων ἔνδοξε, τῆς ἡμῶν σωτηρίας τὴν κλίμακα.

Ἡ χάρις τοῦ Πνεύματος σοφέ, ὡς μῦρον ἐκκενούμενον, τῇ κεφαλῇ σου Λέων θεομακάριστε, σὲ βασιλέα πιστὸν ἀνέδειξε, τῷ Χριστῷ κραυγάζοντα· ἅγιος εἶ Κύριε, ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

**Θεοτοκίον.**

Μητέρα Θεοῦ σὲ ἀληθῆ, Παρθένε παναγήρατε, Λέων ὁ μέγας ὡς ἐπιστάμενος, ναὸν περίδοξός σοι ἐδείματο, ἐν ᾧ τὸ ἀ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

γίασμα, τῆς σῆς ἀγαθότητος, Σιλωὰμ κολυμβήθρα ἐγνώρισται.

Καταβασία. **Δεῦτε πόμα πίωμεν καινόν.**

Τὸ Κοντάκιον τοῦ Πάσχα.

**Ἦχος πλ. δ΄.**

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος χαίρετε, καὶ τοῖς σοῖς ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Κάθισμα τοῦ Ἁγ. Λέοντος

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Βασίλειον ἔνδυμα, ἐνδεδυμένος φαιδρῶς, οἰκέτης πιστότατος, τοῦ βασιλέως Χριστοῦ, ἐδείχθης θεόσοφε· ὅθεν τῆς ἀσαλεύτου, βασιλείας ὁ κλῆρος, δέδοταί σοι ἀξίως, ὡς ἀντάμειψις θεία· ἐν ᾗ τῶν εὐφημούντων σε Λέων μνημόνευε.

**Καὶ τῆς Θεοτόκου, ἦχος πλ. δ΄ Τὴν σοφίαν καὶ Λόγον.**

Τὴν ἀέναον κρήνην καὶ ζωηράν, τὴν πηγάζουσαν ῥεῖθρα θεῖαν πηγήν, συμφώνως αἰνέσωμεν, οἱ τὴν χάριν αἰτούμενοι, καθ' ἑκάστην βρύει, καὶ γὰρ τὰ ἰάματα, ὡς ποταμὸν τὰ ῥεύματα δεικνῦσα ἐλάχιστα· ὅθεν κατὰ χρέος, προσιόντες ἐν πόθῳ, πιστῶς ἀρυσώμεθα, ἐκ Πηγῆς ἀνεξάντλητον, ῥῶσιν ὄντως ἀθάνατον, δροσίζουσαν πιστῶς τῶν εὐσεβῶν, τὰς καρδίας, καὶ χείλεσιν ἐκβοήσωμεν. Σὺ εἶ τῶν πιστῶν τὸ παραμύθιον.

**Τῆς Λαμπρᾶς. Ὠδὴ δ΄ Ὁ Εἱρμός.**

»Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ' »ἡμῶν καὶ δεικνύτω, φαεσφόρον ἄγγελον, διαπρυσίως λέ»γοντα. Σήμερον σωτηρία τῷ κόσμῳ· ὅτι ἀνέστη Χριστὸς ὡς Παν»τοδύναμος.

Ἄρσεν μὲν ὡς διανοῖξαν τὴν παρθενεύουσαν νηδύν, πέφηνε Χριστός, ὡς βροτὸς δέ, ἀμνὸς προσηγόρευται, ἄμωμος δέ, ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον Πάσχα, καὶ ὡς Θεὸς ἀληθής, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνός, ὁ εὐλογούμενος ἡμῖν, στέφανος Χριστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον, καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν, ἔλαμψεν ἥλιος.



Ὁ θεοπάτωρ μὲν Δαυΐδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν. Ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ Ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν ὁρῶντες εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστός, ὡς Παντοδύναμος.

**Τῆς Θεοτόκου ὁ αὐτός.**

Ὑπὲρ τὴν ψάμμον ἀληθῶς, καὶ τὰς σταγόνας ὑετῶν, πέφυκε Παρθένε τὰ πλήθη, τῆς Πηγῆς τῶν ἔργων σου, ἀκαταπαύστως ῥέοντα, ἅπασαν ἐπὶ χθόνα πλουσίως; πάντα νοσοῦντα δεινῶς, τάχος ἰώμενα.

Κατασχεθέντα γυναικός, ὑπὸ καρκίνου τὸν μαζόν, ὕδωρ ἐπιχεῖται Παρθένε, τῆς Πηγῆς σου Δέσποινα, καὶ παραυτίκα πέπαυται, πάθη θανατηφόρα τῷ ῥείθρῳ, καὶ ὁ καρκῖνος ὀρθά, βαίνειν ἐγνώρισεν.

Ἀκατανόητον ἐν σοί, καὶ ὑπὲρ φύσιν τὸ πραχθέν, ἔνεστι σαφῶς Θεοτόκε· τὸ γὰρ ὕδωρ γίνεται, τὸ τῆς Πηγῆς σου ἴαμα, νόσων θανατηφόρων ἐναντίων, ὅπερ ἡ φύσις σαφῶς, οἶδεν οὐδέποτε.

Ἀεὶ θανατοῖ με ὁ ἐχθρός, ταῖς ἐνηδόνοις προσβολαῖς, Δέσποινα Πηγὴ Θεοτόκε, μὴ παρίδῃς, πρόφθασον, ἡ ταχυνὴ βοήθεια, τούτου δὲ παγίδων με λύτρου, ἵνα ὑμνῶ σε ἀεὶ τὴν πολυύμνητον.

**Τοῦ ἁγίου Λέοντος. Ὅρος σὲ τῇ χάριτι.**

Ἔργων τῇ φαιδρότητι, ἠθῶν τε σεμνότητι, κεκοσμημένος ἀληθῶς, δικαιοσύνης εὐπρεποῦς, πιστῶς ἐβασίλευσας, τῆς σκηπτουχίας κεράσας τὸ ἔλαιον, τῶν εὐκλεῶν ἀρετῶν τῇ πιότητι.

Ἴασιν καὶ λύτρωσιν, ὁρῶν ὁ ἀόμματος, τῇ μεσιτείᾳ σου σοφέ, ὡς κατετρύφησε πιστῶς, ναμάτων τῆς χάριτος, μεγαλοφώνως σὺν σοὶ ἀνεκήρυττε τὰ μεγαλεῖα τῆς μόνης Θεόπαιδος.

Σύνεσιν ὡς στέφανον, φορέσας περίδοξον, καὶ τὴν εὐσέβειαν σοφέ, ὡς ἁλουργίδα φωταυγῆ, λαμπρῶς περιθέμενος, περικυκλοῦσας τὸν θρόνον σου ἔσχηκας, ὡς θεραπαίνας καλῶν τὴν κατάκτησιν.

**Θεοτοκίον.**

Θαύμασιν ἐφαίδρυνας, ὡς ἄστροις Πανύμνητε, τὸν λογικόν σου οὐρανόν, ναὸν τὸν θεῖον καὶ σεπτόν, ὃν σοι καθιέρω-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σε, Λέων ὁ μέγας ἐν Ἄναξ· Δέσποινα, ἐκπληρωθείσης τῆς σῆς ὑποσχέσεως.

Καταβασία. **Ἐπὶ τῆς θείας φυλακῆς.**

**Τῆς Λαμπρᾶς. Ὠδὴ ε'. Ὁ Εἱρμός.**

»Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης »ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν οἱ ταῖς τοῦ Ἅδου σειραῖς συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστέ, ἀγαλλομένῳ ποδί, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος ὡς Νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

**Τῆς Θεοτόκου. Ὁ αὐτός.**

Λαλούμενα Κόρη Παρθένε, τὰ τῆς Πηγῆς σου τῷ ὄντι, τεράστια καταπλήττει, τὴν βροτῶν διάνοιαν· ὑπὲρ γὰρ φύσιν πέφυκε, πάντας πιστοὺς ἁγιάζοντα.

Ἱστόρησε Πόκος τὸ Μάννα, καὶ Σιλωάμ, καὶ ἡ πέτρα πηγάζουσα Σολομῶντος, ἡ Στοὰ τὴν χάριν σου, τὰ Ἰορδάνεια νάματα, καὶ ἡ πηγὴ Σαμαρείτιδος.

Σταγόνες σου Κόρη Παρθένε, αἱ τῆς Πηγῆς καὶ νεκρὸν ἀνεζώωσαν· ὑπὲρ λόγον, τὸ πραχθὲν καὶ ἔννοιαν· τὰ σὰ γὰρ πάντα Πάναγνε, λόγον νικᾷ τὸν ἀνθρώπινον.

Τὰ πάθη μου, Κόρη ἰάσαις, τῆς αἱμορροίας πηγὴν ἡ ξηράνασα καὶ τὸ ῥῖγος, τῆς φλογὸς τὴν ἄναψιν, καὶ ἐκτικὴν διάθεσιν, οὔρων δεσμά, καὶ γαστρόρροιαν.

**Τοῦ Ἁγ. Λέοντος. Ὁ φωτίσας τῇ ἐλλάμψει.**

Ὠκειώθης τῇ τοῦ βίου καθαρότητι ἔνδοξε, τῷ τὰ σκῆπτρά σοι θεόφρον ἱερῶς ἐγχειρίσαντι, Λέων λειτουργήσας καθαρῶς, τῇ γεννησάσῃ τοῦτον, ὥσπερ εὐγνώμων τῆς χάριτος.

Ὀμβροφόρος, ὡς νεφέλη ἀοράτως ἐφέστηκε, καὶ πηγὴν τὴν ζωηφόρον Λέων σοι ἐφανέρωσεν, ἡ πηγὴ τῶν θείων δωρεῶν, ἡ στάξασα ἐν κόσμῳ, τὸν ὄμβρον τὸν ὑπερούσιον.



Θεραπεύσων ἐθελήσας συμπαθείᾳ κεντούμενος, τοῦ πηροῦ Λέων παμμάκαρ, τὴν τοῦ δίψους ξηρότητα, θείας ἀληθῶς ἐπισκοπῆς, τῆς κεχαριτωμένης, περιφανῶς κατηξίωσαι.

**Θεοτοκίον.**

Ἐξ ὑδάτων ὑπερῴων Θεοτόκε ἀνέβλυσας, τὴν ζωήρρυτόν σου κρήνην ἐν τῇ πόλει τοῦ Βύζαντος, ἥνπερ ἐμφανῆ κόσμῳ παντί, τῇ σῇ χειραγωγίᾳ, Λέων ὁ θεῖος κατέστησεν.

Καταβασία. **Ὀρθρίσωμεν Ὄρθρου βαθέως.**

**Τῆς Λαμπρᾶς. Ὠδὴ ς'. Ὁ Εἱρμός.**

»Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μο»χλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριή»μερος, ὡς ἐκ κήτους Ἰωνᾶς ἐξανέστης τοῦ τάφου.

Φυλάξας τὰ σήμαντρα σῶα Χριστέ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σωτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον ὡς Θεός, σεαυτὸν ἑκουσίως προσαγαγὼν τῷ Πατρί, συνανέστησας, παγγενῆ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.

**Τῆς Θεοτόκου ὁ αὐτός.**

Οἱ λόγοι, τοῦ Λόγου ὡς ὄντως Πηγήν, ἀνυμνοῦσέ σε Ἁγνή· τῆς σοφίας βαθὺν γάρ, ὡς ὑπέρλογον γεννᾷς, τὸν κρεμάσαντα, ἐν αἰθέρι τὰς ῥοάς, καὶ τὴν γῆν ἐπὶ ὕδωρ.

Ὑπῆλθες, τὴν τῶν κλιμάκων φοράν, ἀπειλοῦσαν συντριβήν, τοὺς ἐκεῖσε ζωγράφους, ὦ Παναγία Πηγή, διασώσασα, καὶ λαὸν ἀπὸ σεισμόν, πεπτωκότος τοῦ δόμου.

Τὰς μήτρας ἀγόνους στειρώσει τὸ πρίν, διαλύεις ἐμφανῶς, τῆς Πηγῆς σου τῷ ῥείθρῳ· καὶ γὰρ ὡς τέξασα σύ, παρθενεύουσα, τὸν Δεσπότην τοῦ παντός, καὶ τοὺς τόκους βραβεύεις.

Οὐ λόγος, οὐ νοῦς, οὐδὲ γλῶττα τὸν σόν, ἐξισχύουσιν Ἁγνή, τοκετὸν εὐφημῆσαι· ἀλλ' ἀσθενοῦσιν ἐν σοί, καὶ ἐλέγχεται, φιλοσόφων τὸ σεμνόν, καὶ ῥητόρων κομψότης.

**Τοῦ ἁγ. Λέοντος. Ἐκύκλωσεν ἡμᾶς.**

Ὀρέων αἰωνίων τὸ περίοπτον, ὄρος καὶ ἐμφανέστατον, ἡ τέξασα Θεὸν σωματικῶς, ὡς πέτραν γλυκασμὸν ζωῆς βλυστάνουσαν, Λέων σοφέ, πηγὴν τὴν θείαν σοι ἐφανέρωσε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Φωνῆς ἀκηκοὼς τῆς θεομήτορος, ὥσπερ διψῶσα ἔλαφος, εἰσέδραμες τῷ ἄλσει ἐν χαρᾷ, καὶ ἰδὼν τὸν λόγον ἐκπληρούμενον, ῥεῖθρον καινόν, ἐν τῇ καρδίᾳ Λέων ἐπλούτησας.

Ῥημάτων τῆς Παρθένου ὧν ὑπέσχετο, Λέων ἰδὼν τὴν ἔκβασιν, ἐγένου βασιλέων καλλονή, καὶ θεοπρεπὲς ἁγιαστήριον, πανευσεβῶς, τῇ δοξάσῃ σε ᾠκοδόμησας.

Θεοτοκίον.

Ὡς βρύσις εὐσπλαγχνίας ἀνεξάντλητος, Παρθενομῆτορ ὤμβρησας· τὰς τῶν δωρημάτων σου ῥοάς, τῇ σεπτῇ πηγῇ σου ὑπὲρ ἔννοιαν, ἐξ ἧς ἡμῖν, τῶν ἰαμάτων ῥεῖθρα προέρχονται.

Καταβασία. **Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς.**

Κοντάκιον. **Ἦχος** πλ. δ'. **Τῇ ὑπερμάχῳ.**

Ὡς κολυμβήθραν Σιλωὰμ θεοχαρίτωτον, καὶ κρήνην θείαν ἐξ Ἐδὲμ ἀναπηγάζουσαν, τὴν πηγὴν τῆς Θεοτόκου ξένως ἀνεῦρες. Ἀλλ' ὡς Ἄναξ ἐστεμμένος θείῳ Πνεύματι, βασιλεῖ τῷ αἰωνίῳ καθοδήγησον, τοὺς βοῶντάς σοι, χαίροις Λέων ὑπέρτιμε.

**Ὁ οἶκος.**

Ἄνασσα ἡ τῶν ὅλων, ὡς θερμόν σε οἰκέτην, Ἄνακτα θεοσεβῆ δεικνύει· τὴν γὰρ ταύτης ἐφευρὼν πηγήν, ἀξίως τῆς τιμῆς πεπολίτευσαι· διὸ τῇ σκηπτουχίᾳ σου ἰθυνόμενοί σοι βοῶμεν.

Χαῖρε, τὸ κλέος τῶν ἀνασσόντων· χαῖρε, τὸ σθένος τῶν ὀρθοδόξων.

Χαῖρε, Ζωοδόχου Πηγῆς ἀνακάλυψις· χαῖρε, τεθλιμμένων ψυχῶν ἀνακούφισις.

Χαῖρε, ὅτι ἐβασίλευσας θεαρέστως ἐπὶ γῆς· χαῖρε, ὅτι δόξης κρείττονος ἔτυχες ἐν οὐρανοῖς.

Χαῖρε, τοῦ ζωοδότου γνησιώτατος τύπος· χαῖρε, τῆς Θεοτόκου ἀκραιφνέστατος φίλος.

Χαῖρε, θεσμῶν τῆς πίστεως ἔρεισμα· χαῖρε, δεινῶν αἱρέσεων σύντριμμα.

Χαῖρε, Χριστοῦ κοινωνὲ βασιλείας· χαῖρε, φωτὸς μέτοχε ἀφθαρσίας.

Χαίροις, Λέων ὑπέρτιμε.



Συναξάριον

Πρῶτον τὸ συναξάριον τοῦ τυχόντος Ἁγίου τῆς ἡμέρας, εἶτα:

Τῇ αὐτῇ ἡμέρᾳ, μνείαν ποιούμεθα τοῦ θαύματος τῆς εὑρέσεως τοῦ ἁγιάσματος τῆς Θεοτόκου, ἤτοι τῆς Ζωοδόχου Πηγῆς, ὑπὸ τοῦ Ἁγίου καὶ θεοστέπτου βασιλέως Λέοντος τοῦ α' τοῦ μεγάλου, τοῦ Θρακός, τοῦ ἐπονομαζομένου Μακέλλη, οὗτινος καὶ τὴν μνήμην ἑορτάζομεν.

Στίχοι. Εἰς τὴν εὕρεσιν.

Ῥοὴ ἀγαθῶν ὡς ἐξ Ἐδὲμ ἰοῦσα.

Ἡ σὴ πηγὴ εὕρηται ἐν Βυζαντίῳ.

Εἰς τὸν Λέοντα.

Ἄνακτα πιστὸν τὸν Λέοντα τὸν μέγαν,

ἔστεψε Χριστὸς οὐρανοκράτωρ Ἄναξ.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός· ἐλέησον ἡμᾶς. Ἀμήν.

Μετὰ δὲ λέγομεν τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι γ' εἶτα τὸ Ἀναστὰς ὁ Ἰησοῦς γ'. Καὶ ἐξακολουθοῦμεν τοὺς κανόνας.

**Τῆς Λαμπρᾶς. Ὠδὴ ζ'. Ὁ Εἱρμός.**

»Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν· ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεός, καὶ »ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον, ὃν δὲ ὡς θνητόν, μετὰ δακρύων ἐζήτουν προσεκύνησαν, χαίρουσαι ζῶντα Θεόν, καὶ Πάσχα τὸ μυστικόν, σοῖς Χριστὲ μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, Ἅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς τῆς αἰωνίου ἀπαρχήν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος, νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ὑδρεύσασθε νοσοῦντας ἰάματα, ἡ Πάναγνος ῥέει γάρ, θείας ἐκ πηγῆς, τὸν γλυκασμὸν τὸν ἀληθῆ τὸν χειμάῤῥουν τῆς τρυφῆς ὄντως βλύζουσα· διὸ καὶ πίστει κρουνοὺς τοὺς ἀφθόνους, ἀρυσώμεθα σύμπαντες.

Ξενίζει τοὺς ἀκούοντας Δέσποινα, τὰ ξένα σου τέρατα, πάντας τοὺς πιστούς, τοὺς γὰρ ἀλάλους καὶ κωφούς, ὡς ἐνλάλους δεικνύει τὸ ὕδωρ σου, τοὺς πάσχοντας δὲ δεινῶς θεραπεύει, καὶ ἴασιν χαρίζεται.

Ἀνάγεις ἐκ καμίνου τῶν θλίψεων, δροσίζουσα νάμασι, ξένης ἐκ Πηγῆς, τοὺς προσιόντας σοι σεμνή· φαγεδαίνης λυτροῦται γὰρ ἄνθρωπος, καὶ λώβης, τὸν δὲ λεπρὸν θεραπεύεις, καὶ ἄνθρακας κατέσβεσας.

Νεάνιδες καὶ κόραι τὴν Δέσποιναν, καὶ σύμπαντες ἄνθρωποι, πίστει ἐκ ψυχῆς, ἀνευφημήσωμεν λαμπρῶς, διατρήσεις γὰρ ἥλων ὑέλωπας, καὶ ἕλκη τὰ πονηρά, καὶ ὀγκώσεις καὶ παράλυτον ἰάσατο.

Τοῦ Ἁγ. Λέοντος. Σὲ νοητήν.

Νόμῳ Θεοῦ, κυβερνῶν τὸν βίον σου, πηδαλιοῦχος δεξιός, ὤφθης βασιλείας τῆς σεπτῆς· ταύτης γὰρ τοὺς οἴακας, Χριστός σοι δεδώρηται, προεγνωκὼς σου τὰς χάριτας, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ἀγγελικῆς, συναυλίας ἔνδοξε, φωτοφανῶς ἀξιωθείς, τοῦ παμβασιλέως Ἰησοῦ, ἐν μεθέξει γέγονας, εἰς τὰ ὑπερκόσμια, οἰκήσας ἀνάκτορα, ἔνθα ἀΐδιος αἴγλη, θεουργικῶς καταυγάζεται.

Νάμα ζωῆς, ὡς ὕδωρ ἀλλόμενον, εἰς ἀφθαρσίαν ἀληθῆ, τῆς Ἀειπαρθένου καὶ ἁγνῆς, θείαις ἐπινεύσεσιν ὑπουργῶν ἀνεύρηκας, ἔνδον τοῦ δάσους πανεύφημε, τὴν ζωοδώρητον κρήνην, πνευματικῶς διανέμουσαν.

Ἄρχων λαοῦ, προμηθείᾳ κρείττονι, κατασταθεὶς προφητικῶς, στήλην τε καὶ τύπον σεαυτόν, καλῶν ἔργων ἔδειξας, Λέων παναοίδιμε, τοῖς εὐσεβῶς ἀνακράζουσιν. Ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.



Θεοτοκίον.

Ξένα ἀεί, πέλουσι τὰ θαύματα, τῆς ζωηφόρου σου πηγῆς· νόσους γὰρ ἰᾶται χαλεπάς, λύει ἁμαρτήματα, καὶ ἐλαύνει πνεύματα, τῆς πονηρίας ἑκάστοτε, εὐλογημένη Παρθένε· ὅθεν πιστῶς σὲ δοξάζομεν.

Καταβασία. **Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος.**

Τῆς Λαμπρᾶς. Ὠδὴ η'. Ὁ Εἱρμός.

»Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλίς, καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτόν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε· ἰδοὺ γὰρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ Δυσμῶν, καὶ Βοῤῥᾶ καὶ θαλάσσης, καὶ ἐῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ Παντοκράτορ, καὶ Λόγε καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Θεοτόκου ὁ αὐτός.

Θεῖον ἡ Πηγὴ καὶ σεβάσμιον ὕδωρ, προῤῥέει σου Παρθένε, ὑδρωπικῶν γὰρ τὸ ῥεῦμα, ἀναχαιτίζει σφοδρῶς, ἐπικλήσει τῇ θείᾳ τῆς χάριτος· διὸ σὲ τιμῶμεν, Πηγὴ εἰς τοὺς αἰῶνας.

Πάντες τὸ σεπτὸν καὶ ζωῤῥυτον ὕδωρ, ὑμνήσωμεν προφρόνως· τῆς γὰρ δυσπνοίας τὸ ῥεῦμα, κατὰ χώραν ἱστᾷ, καὶ ἐλεύθερον ποιεῖ πρὸς διέξοδον· βαβαὶ σῶν θαυμασίων, Ἁγνὴ Θεοκυῆτορ.

Ποῖον εὐφημήσει Πανύμνητε στόμα, τοῦ τόκου σου τὸ ξένον; ἀλλὰ καὶ νοῦς ὁ ὁποῖος τῶν θαυμάτων πηγὴν περιβλέψαιτο, καὶ λόγοις κροτήσειεν; Οὐκ ἔστι τῇ φύσει, ἰσχὺς τὰ σὰ θαυμάζειν.

Ὅλον ἐπὶ σοὶ τοῦ θανάτου τὸ κράτος, ἠφάνισται ἀθρόον, ὦ Βασιλὶς καὶ Κυρία. Βασιλέα καὶ γάρ, τὴν ἀθάνατον ζωὴν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σὺ ἐπήγασας, τὸ ὕδωρ, τὸ Μάννα, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Τοῦ ἁγ. Λέοντος. Ἐν καμίνῳ Παῖδες**

Γῆν τὴν τῶν πραέων ἀσφαλῶς, κατακληρονομήσας, κατέσχεσιν αἰωνίαν, ἐκπληρώσω ἐκ Θεοῦ, κραυγάζων θεόσεπτε· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐπιπνοίας θείας μετασχών, ἀρρήτῳ εὐδοκίᾳ τῆς μόνης Ἀειπαρθένου, διηκίνησας αὐτῇ, καὶ πόθῳ ἐκραύγαζες· εὐλογῶ σε εὐλογημένη θεογεννῆτορ, καὶ τῆς σῆς δυναστείας, τὸ κράτος μεγαλύνω εἰς πάντας τοὺς αἰῶνας.

Ῥάβδον βασιλείας εὐσεβοῦς, ἐγχειρισθεὶς θεόθεν, τὴν τοῦ Λόγου μερίδα, διῴκησας θεοφρόνως, καὶ ψάλλων ἐκραύγαζες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Ἄνωθεν ἡ χάρις σου Ἁγνή, ὡς δρόσος ἐπουρανία, ἀπαύστως κατερχομένη, ἐν τῷ ὕδατι τῆς σῆς, πηγῆς Παναμώμητε, παθημάτων ἄνθρακας ἀποσβεννύει, καὶ ῥῶσιν πρυτανεύει, τοῖς ὑπερυψοῦσι τὴν σὴν μεγαλωσύνην.

Καταβασία. **Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα.**

**Ὠδὴ θ'.**

Ὁ Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ, ἁγνὴ παρθένε χαῖρε καὶ πάλιν ἐρῶ χαῖρε, ὁ σὸς Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

**Τῆς Λαμπρᾶς. Ὁ Εἱρμός.**

»Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου,
»ἐπὶ σὲ ἀνέτειλε, χόρευε νῦν καὶ ἀγάλλου Σιών, σὺ δὲ
»Ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὁ Ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ ἁγνὴ Παρθένε χαῖρε καὶ πάλιν ἐρῶ χαῖρε· ὁ σὸς Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Φωτίζου, φωτίζου.....

Μεγάλυνον ψυχή μου τὸν ἐθελουσίως, παθόντα καὶ ταφέντα, καὶ ἐξαναστάντα τριήμερον ἐκ τάφου.

Ὢ θείας! Ὢ φίλης! Ὢ γλυκυτάτης σου φωνῆς! Μεθ' ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος



Χριστέ· ἣν οἱ Πιστοί, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Χριστὸς τὸ καινὸν Πάσχα, τὸ ζωόθυτον θῦμα, ἀμνὸς Θεοῦ ὁ αἴρων, τὴν ἁμαρτίαν κόσμου.

Ὢ θείας! ὢ φίλης!.....

Σήμερον πᾶσα κτίσις, ἀγάλλεται καὶ χαίρει, ὅτι Χριστὸς Ἀνέστη, καὶ ᾅδης ἐσκυλεύθη.

Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον, Χριστέ· ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις· δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.

Σήμερον ὁ Δεσπότης, ἐσκύλευσε τὸν Ἅδην, ἐγείρας τοὺς δεσμίους, οὓς ἀπ' αἰῶνος εἶχε, δεινῶς κεκρατημένους.

Ὢ Πάσχα τὸ μέγα...

**Τῆς Θεοτόκου. Ὁ αὐτός.**

Αἱ γενεαὶ πᾶσαι, ὕμνους τῇ Πηγῇ σου, προσφέρομεν Παρθένε.

Ὑδάτων ἁπάντων, Κόρη ὑπέρκειται Ἁγνή, τῆς Πηγῆς σου τὸ Ὕδωρ, ἐμφανῶς δωρούμενος, ἀπαλλαγὴν νοσημάτων δεινῶν, καὶ ταῖς ψυχαῖς, ἅπασαν τὴν ῥῶσιν, ὡς ὑπὲρ φύσιν χεόμενον.

Ἐκ περάτων ἦλθε, χριστιανῶν τὸ πλῆθος, Ναῷ τῆς Ζωοδόχου.

Λυτῆρα τῶν νόσων, τὸν νέον ἰδοὺ Σιλωάμ, τῆς Πηγῆς σου, Παρθένε, καθορῶμεν ἅπαντες· ὄμματα γὰρ προσλαμβάνει πυρός, ἅπαντες δὲ ῥῶσιν ἀεννάως, πρὸς τῇ ζωῇ πορίζόμεθα.

Πάντες οἱ νοσοῦντες, δράματα τῇ Παρθένῳ, Ἰαματοπαρόχῳ.

Οἱ ῥῶσιν ζητοῦντες, προσδράμετε ἐν τῇ Πηγῇ· ἡ γὰρ Κόρη Παρθένος, ἐνοικεῖ τῷ ὕδατι. Σκίρτα πιστῶν, καὶ εὐφραίνου πληθύς· οὕτω ὡς χρή, ἕξεις τῷ τεμένει, τὴν ἀμοιβὴν τῶν αἰτήσεων.

Ὕμνους χαρμοσύνους, νόες σὺν εὐσεβέσιν, ἠχήσωμεν Παρθένῳ.

Εὐφραίνεις Παρθένε, τὸν Ἄνακτα ὑπερφυῶς, ἀναβλύζουσα χάριν, ἐκ Πηγῆς ἀέναον, τούτῳ διδοῦσα, κατ' ἐχθρῶν τὴν ἰσχύν, νίκας ἀεὶ ῥῶσιν καὶ εἰρήνην, καὶ αἰτημάτων ἐκπλήρωσιν.

**Τοῦ Ἁγ. Λέοντος. Τύπον τῆς ἁγνῆς**

Μεγάλυνον ψυχή μου, τὸν ἐν βασιλεῦσι θεόλυπτον φανέντα, Λέοντα τὸν Μέγαν.

Στέφος ἀφθαρσίας εἴληφας, ὑπερφυεῖ ἐλλάμψει καλλωπιζόμενον, Λέων σοφέ, καὶ ὥσπερ Ἄναξ πιστότατος, Βασιλεῖ τῷ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀφθάρτῳ παρέστηκας, λαμπρῶς ἐστολισμένος, τὴν ἀληθῆ μεγαλειότητα.

**Μεγάλυνον ψυχή μου, τὸν τῆς Θεοτόκου, θεράποντα καὶ μύστην, Λέοντα τὸν μέγαν.**

Ἶρις νοητὴ ἀνέλαμψας, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ Λέων πανάριστε, ἔργων σεμνῶν, τῇ ποικιλίᾳ κοσμούμενος, ὡς ἐν χρόαις ἀΰλοις τοῦ Πνεύματος· διὸ τοὺς σὲ τιμῶντας, τῇ φωταυγείᾳ σου καταύγασον.

**Μεγάλυνον ψυχή μου, τὸν τῆς βασιλείας τοῦ Λόγου κληρονόμον, Λέοντα τὸν μέγαν.**

Μένει εἰς αἰῶνα ἅπαντα, τὸ ἐναγές σου Λέων ὄντως μνημόσυνον· σὺ γὰρ θερμῶς, ὑπὲρ τιμὴν τὴν βασίλειον, ἀρετὴν τὴν ἁγίαν ἠγάπησας· διὸ ἐν τῇ Τριάδι, ὅλον οἰκεῖόν σε παρέστησεν.

**Μεγάλυνον ψυχή μου, τὴν ἐν μιᾷ οὐσίᾳ Ὑπέρθεον Τριάδα, τὴν πάντων Βασιλίδα.**

Οἶκον θαυμαστὸν σοὶ δέδωκεν, εἰς αἰωνίαν κατοίκησιν, ὁ φιλάνθρωπος, ἐν τῇ Σιών, τῇ οὐρανίᾳ, μακάριε, προδεχθεὶς τὴν σεπτὴν ὑπουργίαν σου· ἐξ οὗ συμπαθῶς νεῦσον, τὴν ὑμνῳδίαν μου δεχόμενος.

### Θεοτοκίον

**Μεγάλυνον ψυχή μου τῆς Ἁγνῆς Παρθένου, καὶ μόνης Θεοτόκου τὰ ξένα μεγαλεῖα.**

Ὕδωρ διαυγὲς καὶ ἄφθαρτον, ἐν τῇ ψυχῇ μου στάξον κρήνη πολύρρυτε, σὲ δυσωπεῖ, Λέων ὁ θεῖος θεράπων σου, Θεοτόκου Ἁγνὴ ἀειπάρθενε· φλογμῷ γὰρ παθημάτων, ὁ σὸς ἱκέτης ἀναλίσκομαι.

Καταβασία. **Ὁ Ἄγγελος ἐβόα..... Φωτίζου φωτίζου.**

Τὸ Χριστὸς ἀνέστη γ΄. Ἀναστὰς ὁ Ἰησοῦς κ.λ.π.

Ἐξαποστειλάριον τῆς ἑορτῆς.

Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδάμ, ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον. Πάσχα τῆς ἀφθαρσίας τοῦ κόσμου σωτήριον.

Τοῦ Ἁγ. Λέοντος. **Ὁ οὐρανὸν τοῖς ἄστροις**

Χριστὸν πιστῶς θεραπεύσας, Λέων ἐν βίῳ εὐσεβῆ, διάδημα, καὶ πορφύραν, ἐδέξω μεγαλοπρεπῶς, ὧν τῇ τιμῇ ὡς βαθμίδι, πρὸς θείαν δόξαν ἐχρήσω.



### Τῆς Θεοτόκου ὅμοιον

Πηγὴ ὑπάρχεις ἀληθῶς, ὕδατος ζῶντος Δέσποινα· ἐκπλύνεις σὺ νοσήματα, ψυχῶν σωμάτων χαλεπά, ἐν τῇ προσψαύσει μόνη σου, ὕδωρ τῆς σωτηρίας, Χριστὸν ἡ προχέουσα.

### ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Εἰς τὸ πᾶσα πνοὴ ἱστῶμεν στίχους η΄. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τῆς ὀκτωήχου δ΄., τῆς Θεοτόκου β΄ καὶ τοῦ ἁγίου β΄.

Τὰ Ἀναστάσιμα. **Ἦχος πλ. δ΄.**

Κύριε, εἰ καὶ Κριτηρίῳ παρέστης, ὑπὸ Πιλάτου κρινόμενος, ἀλλ' οὐκ ἀπελήφθης τοῦ θρόνου, τῷ Πατρὶ συγκαθεζόμενος· καὶ ἀναστὰς ἐκ νεκρῶν, τὸν κόσμον ἠλευθέρωσας, ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου, ὡς οἰκτίρμων καὶ φιλάνθρωπος.

Κύριε, εἰ καὶ ὡς θνητὸν ἐν μνημείῳ, Ἰουδαῖοί σε κατέθεντο, ἀλλ' ὡς Βασιλέα ὑπνοῦντα, στρατιῶταί σε ἐφύλαττον, καὶ ὡς ζωῆς θησαυρόν, σφραγῖδι ἐσφραγίσαντο, ἀλλὰ ἀνέστης, καὶ παρέσχες, ἀφθαρσίαν ταῖς ψυχαῖς ἡμῶν.

Κύριε, ὅπλον κατὰ τοῦ Διαβόλου, τὸν Σταυρόν σου ἡμῖν δέδωκας, φρίττει γὰρ καὶ τρέμει, μὴ φέρων καθορᾶν αὐτοῦ τὴν δύναμιν, ὅτι νεκροὺς ἀνιστᾷ, καὶ θάνατον κατήργησε, διὰ τοῦτο προσκυνοῦμεν, τὴν ταφήν σου καὶ τὴν ἔγερσιν.

Ὁ Ἄγγελός σου Κύριε, ὁ τὴν Ἀνάστασιν κηρύξας, τοὺς μὲν φύλακας ἐφόβησε, τὰ δὲ γύναια ἐφώνησε λέγων· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; ἀνέστη Θεὸς ὤν, καὶ τῇ οἰκουμένῃ ζωὴν ἐδωρήσατο.

Τῆς Θεοτόκου **ἦχος α΄. Τῶν Οὐρανίων Ταγμάτων**

Χαῖρε, Πανάχραντε Κόρη, καὶ Παναμώμητε· χαῖρε ζωῆς αἰτία τοῖς πιστῶς προσιοῦσι, σοὶ τῇ Ζωηφόρῳ θεία Πηγῇ· χαῖρε ἅγιον σκήνωμα, τοῦ Βασιλέως τῶν ὅλων καὶ λυτρωτοῦ, τῶν ψυχῶν ἡμῶν Θεόνυμφε.

Πηγὴ χαρίτων ὑπάρχεις, Ἁγίου Πνεύματος, τῶν ἰαμάτων ῥεῖθρα, χορηγοῦσα τοῖς πίστει, σοὶ τῇ Παναγίᾳ καὶ θείᾳ σκηνῇ, προσπεφευγόσι καὶ λέγουσι· χαῖρε ἀντίληψις πάντων τῶν ἐν δεινοῖς, χαῖρε κόσμου ἱλαστήριον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Καὶ τοῦ Ἁγίου Λέοντος. **Ὅμοια.**

Τῇ βασιλείῳ σου κλήσει, καλλωπιζόμενος, τῆς πάντων βασιλίσσης, πιστὸς μύστης ἐδείχθης, ἧς τῇ ἐπινεύσει καθυπουργῶν, τὴν πηγὴν τὴν θεόβρυτον, ὡς ἰαμάτων ἀκένωτον θησαυρόν, Λέων ἅπασιν ἐγνώρισας.

Τῆς ὑπὲρ νοῦν βασιλείας τὴν ὡραιότητα, κληρονομήσας Λέων, ὡς θεράπων τοῦ Λόγου, πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν, συμπαθείας τὸ πέλαγος, τῆς ἀληθοῦς σωτηρίας τὴν ἀπαρχήν, τὴν ἁγνὴν Παντοβασίλισσαν.

Καὶ τὰ Στιχηρὰ τοῦ Πάσχα. **Ἦχος πλ. α΄.**

Στίχ. Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται· Πάσχα καινὸν Ἅγιον, Πάσχα μυστικόν Πάσχα πανσεβάσμιον· Πάσχα, Χριστὸς ὁ Λυτρωτής. Πάσχα ἄμωμον, Πάσχα μέγα, Πάσχα τῶν πιστῶν, Πάσχα τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν, Πάσχα, πάντας ἁγιάζον πιστούς.

Στίχ. Ὡς ἐκλείπει καπνός, ἐκλειπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Δεῦτε ἀπὸ θέας γυναῖκες εὐαγγελίστριαι· καὶ τῇ Σιὼν εἴπατε· δέχου παρ' ἡμῶν χαρᾶς Εὐαγγέλια τῆς Ἀναστάσεως Χριστοῦ· τέρπου χόρευε, καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστὸν θεασαμένη ἐκ τοῦ μνήματος, ὡς Νυμφίον προερχόμενον.

Στίχ. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ· καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Αἱ μυροφόροι γυναῖκες, ὄρθρου βαθέως, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον· καὶ αὐτὸς προσφθεγξάμενος αὐταῖς, οὕτως ἔλεγε: Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; Τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε, τοῖς αὐτοῦ Μαθηταῖς.

Στίχ. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Πάσχα τὸ τερπνόν· Πάσχα Κυρίου Πάσχα· Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε· Πάσχα ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα. Ὢ Πάσχα λύτρον λύπης! Καὶ γὰρ ἐκ τάφου σήμερον, ὥσπερ ἐκ παστοῦ ἐκλάμψας Χριστός, τὰ γύναια χαρᾶς ἔπλησε, λέγων, κηρύξατε Ἀποστόλους.



**Δόξα. Ἦχος πλ. α΄.**

Προοιμιαζομένη μυστικῶς, τὴν ἐσομένην ὑπεροχήν σου ἡ τοῦ Λόγου Μήτηρ, οἰκεῖόν σε ἀπεσπάσατο διάκονον· τὴν γὰρ ἀφανῆ αὐτῆς πηγήν, ἐμφανῆ τῷ κόσμῳ ποιῆσαι, διὰ σοῦ εὐδόκησεν· ὅθεν τῇ χειρὶ αὐτῆς τὸ εὐκλεὲς ἀναδησάμενος διάδημα, ὡσεὶ ἐλαία ἐξήνθησας τὸν ἀληθῆ Προφητικῶς ἁγιασμόν· δι' οὗ καὶ ἡμᾶς ἁγίασον, Λέων παμμακάριστε.

**Καὶ νῦν, ἦχος ὁ αὐτός.**

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς, συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει· καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Ἐπαναλαμβάνουσι δὲ οἱ χοροὶ τὸ Χριστὸς ἀνέστη δίς.

Εἶτα τὸ ἀπολυτίκιον τοῦ Ἁγίου Λέοντος. **Τῆς φωνῆς ἐπακούσας.**

Καὶ τῆς Θεοτόκου. **Τῷ Ναῷ τῆς Παρθένου.**

Καὶ γίνεται ἡ συνήθης ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Τὰ ἀντίφωνα τοῦ Πάσχα

### Ἀντίφωνον Α΄.

Στίχ. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλλατωσάν σοι.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

**Δόξα καὶ νῦν.**

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ἀντίφωνον Β΄.**

Στίχ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν.

Στίχ. Ἐπιφᾶναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.

Στίχ. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ.

Στίχ. Ἐξομολογησάσθωσάν σοι, λαοὶ ὁ Θεός.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ.

**Δόξα καὶ νῦν.**

Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ.

**Ἀντίφωνον Γ΄.**

Στίχ. Ἀναστήτω ὁ Θεός.

Χριστὸς Ἀνέστη.

Στίχ. Ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν.

Χριστὸς Ἀνέστη.

Στίχ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

(Καὶ τὸ ἀπολυτίκιον τῆς Ζωοδόχου Πηγῆς).

Τὸν Ὑπερούσιον ὄμβρον κυήσασα· ἤ,τῷ Ναῷ τῆς Παρθένου.

Στίχ. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.

(Τοῦ Ἁγ. Λέοντος τὸ ἀπολυτίκιον). Τῆς φωνῆς ἐπακούσας.

**Εἰσοδικόν.**

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. Σῶσον ἡμᾶς,..

Εἶτα τὸ Χριστὸς ἀνέστη β΄. τὰ Ἀπολυκίκια τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου Λέοντος, ἡ Ὑπακοή· **Προλαβοῦσαι τὸν ὄρθρον.** Κοντάκιον τῆς Θεοτόκου. **Ἐξ ἀκενώτου σου Πηγῆς.** Τοῦ Ἁγ. Λέοντος. **Ὡς Κολυμβήθραν Σιλωὰμ θεοχαρίτωτον·** καὶ τῆς ἑορτῆς. **Εἰ καὶ ἐν τάφῳ.**

Ἀντὶ δὲ τοῦ Τρισαγίου. **Ὅσοι εἰς Χριστόν.** Ἀπόστολον πρῶτον τῆς ἡμέρας. **Ἐν ταῖς ἡμέραις ἐκείναις κρατοῦντος τοῦ Ἰαθέντος·** καὶ τοῦ Ἁγίου Λέοντος. **Τέκνον Τιμόθεε, δίωκε δικαιοσύνην.** (Ζήτει τῷ Σαββάτῳ τῆς λδ΄. ἑβδομάδος.) Ὁμοίως τὸ Εὐαγγέλιον τοῦ ἁγίου. **Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς.** (Ζήτει β΄. Σεπτεμβρίου) Κοινωνικὰ τῆς ἑορτῆς καὶ τοῦ Ἁγίου **εἰς Μνημόσυνον αἰώνιον.**

---

# ΥΠΟΜΝΗΜΑ

## Εἰς τὸν Ἅγιον Βασιλέα Λέοντα καὶ εἰς τὴν εὕρεσιν τῆς Ζωοδόχου Πηγῆς.

Οὗτος ὁ ἐν Ἁγίοις ἀοίδιμος Βασιλεὺς Λέων ὁ μέγας, ὁ καὶ Μακέλλης ἐπονομαζόμενος, ἦτο μὲν ἀπὸ γένος ἀρχοντικόν, πλὴν μὲ τὸ νὰ ἔμεινεν ὀρφανὸς ἔτι μικρὸς καὶ δὲν εἶχε τινὰ νὰ τὸν ἐπιμεληθῇ εἰς ἄλλον τιμιώτερον ἐπιτήδευμα, ἔγινε μακελάρης· ἀλλὰ ὄντας ἄνθρωπος Χριστιανικώτατος, καὶ μὲ πολλὰς ἀρετὰς κεκοσμημένος καὶ φυσικὰ συμπαθέστατος καὶ εὔσπλαχνος πρὸς τοὺς πτωχοὺς καὶ κατὰ πολλὰ εὐλαβὴς καὶ φιλακόλουθος, δὲν ἔλειπε μὲν ἀπὸ τὰς ἱερὰς Ἀκολουθίας καθ' ἑκάστην, δὲν ἀμελοῦσε δὲ νὰ ἀκούῃ καὶ τὰς ἐξηγήσεις τῶν θείων Γραφῶν (καίπερ ἀγράμματος ὤν, διὰ τὴν εἰρημένην αἰτίαν τοῦ ὀρφανισμοῦ του) ἀλλὰ δὲν ἔμεινε παρακάτω ἀπὸ τοὺς μαθηματικούς. Ἠγάπα τὴν συναναστροφὴν τῶν μαθηματικῶν καὶ ἐναρέτων ἀνθρώπων, καὶ δίψαν μεγάλην εἶχε νὰ ἀκούῃ τὰς ἐξηγήσεις τῶν ἱερῶν Γραφῶν· καὶ ἀκούων, μεγάλως ἠγωνίζετο νὰ τελειώσῃ μὲ ἔργον τὰς ἐν αὐταῖς ἁγίας ἐντολὰς τοῦ Χριστοῦ. Ὅθεν καὶ ἐταπεινοῦτο ὑπὲρ πάντας, καὶ ὅ,τι ἀποκτοῦσεν, ἀφθόνως τὸ ἔδιδεν εἰς τὰς χεῖρας τῶν πτωχῶν. Τοὺς φυλακωμένους ἐπιμελεῖτο, τοὺς ἀσθενεῖς ἐπεσκέπτετο, τοὺς γυμνοὺς ἔνδυνε, καὶ τοὺς πεινασμένους ἔτρεφε, τυφλοὺς ἐχειραγώγει μὲ ἄκραν ταπείνωσιν, καὶ πᾶσαν ἄλλην θεοπαράδοτον ἐντολὴν προθύμως ἐτελείωνε.

Διὰ τοῦτο καὶ ποτε περνῶντας ἀπὸ τὸ μέρος ὅπου εἶνε σήμερον ἡ ἐν Κωνσταντινουπόλει Ζωοδόχος Πηγή, εὗρεν ἕνα ἄνθρωπον τυφλόν, πλανώμενον ἔνθεν κακεῖθεν, τὸν ὁποῖον πιάσας ἐκ τῆς χειρὸς τὸν ἐχειραγώγει εἰς τὴν στράταν. Ἀλλ' ἐπειδὴ ὁ ἐλεεινὸς ἐκεῖνος τυφλός, ἀπὸ τὸν ἀγῶνα ὅπου ἔκαμε πλανώμενος, ἐδίψησε καὶ ἤρξατο νὰ λιποθυμῇ (ἦν δὲ ὁ τόπος τῷ τότε καιρῷ ἔρημος, καὶ σύδενδρος καὶ ἄνυδρος), ὁ Λέων σπλαγχνισθείς, ἄφησε τὸν τυφλὸν ἐκεῖ εἰς τὴν στράταν, καὶ εἰσελθὼν εἰς τὸν δρυμῶνα ἠρεύνα ἐπιμελῶς μήπως καὶ εὕρῃ νερόν, νὰ παραμυθήσῃ τὸν πάσχοντα

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀπὸ τὴν δίψαν. Περιτριγυρίσας δὲ τὸ δάσος ἐκεῖνο, καὶ μὴ εὑρὼν οὐδαμοῦ, ἐγύρισε λυπούμενος, καὶ συλλογιζόμενος τὶ τρόπον νὰ κάμῃ νὰ θεραπεύσῃ τὴν δίψαν τοῦ τυφλοῦ. Ταῦτα λοιπὸν πάσχων ὡς ἀγωνιζόμενος καὶ εἰς μεγάλην ἀθυμίαν ὑπὸ εὐσπλαχνίας εὑρισκόμενος ὁ Λέων, ἤκουσε φωνὴν λέγουσαν πρὸς αὐτόν, μὴ λυπᾶσαι, Λέων, ὅτι αὐτοῦ κοντά σου εἶνε τὸ νερόν, καὶ ἐρεύνησον νὰ τὸ εὕρῃς. Ὅθεν ἐγύρισε μὲ χαρὰν καὶ τὸν τόπον ἐκεῖνον περιελθὼν δὶς καὶ τρίς, καὶ μὴ εὑρὼν τὸ ποθούμενον ὕδωρ, αὖθις ἦλθεν εἰς περισσοτέραν λύπην, νομίζων τὴν ἀκουσθεῖσαν φωνὴν ἐκ τοῦ πονηροῦ. Διὸ καὶ ἐγύρισε δρομαῖος πρὸς τὸν τυφλόν, μήπως καὶ τὸν προφθάσῃ μὲ ἄλλον τρόπον. Περιπατῶν δέ, πάλιν ἤκουσεν ὡσὰν γυναικὸς φωνὴν ὅπου τοῦ ἔλεγεν. Ὦ ἠγαπημένε μου Λέων, ἐπειδὴ διὰ τὴν ἀγάπην τοῦ Υἱοῦ καὶ Θεοῦ μου, τοῦ ποιητοῦ καὶ τοῦ Δημιουργοῦ πάσης κτίσεως ἀφήσας τὴν στράταν σου καὶ κάμνοντας τὴν ἁγίαν ἐντολήν, χειραγωγεῖς τὸν τυφλὸν καὶ μὲ μεγάλον κόπον ἀγωνίζεσαι νὰ θεραπεύσῃς τὴν δίψαν του, διὰ τοῦτο Αὐτός, ἰδοὺ κατὰ τὸν πόθον σου, σὲ δίδει τὸ νερὸν ὅπου ζετεῖς, Πήγαινε λοιπὸν εἰς τὸ δένδρον ἐκεῖνο ὅπου καθέζεται ἡ περιστερὰ καὶ θέλεις εὕρει εἰς τὴν ρίζαν του τὸ νερόν, ἀπὸ τὸ ὁποῖον πέρνοντας, πότισον τὸν τυφλόν, καὶ τοὺς ὀφθαλμούς του πλῦνον, καὶ θέλει ἀναβλέψει. Καὶ ἔστω σοι εἰς σημεῖον πῶς θέλεις βασιλεύσει μὲ τὴν δύναμιν τοῦ Υἱοῦ μου, καὶ ὅτι θέλω εἶμαι μαζί σου πάσας τὰ ἡμέρας τῆς ζωῆς σου.

Ταῦτα ἀκούσας ὁ θαυμαστὸς Λέων, ἐξεπλάγη καὶ τὸ σημεῖον τοῦ Σταυροῦ ποιήσας ἐγύριζε καὶ ἐστοχάζετο νὰ ἴδῃ τὶς τὸν ἐσυντύχαινε, καὶ ἂν ἦτο εἰς κανένα δένδρον περιστερά. Καὶ ἄνθρωπον μὲν οὐδένα εἶδεν; εἶδεν ὅμως εἰς ἕνα δένδρον μίαν περιστερὰν καθημένην· ὅθεν καὶ προσδραμὼν ἐκεῖ, εὗρεν ὀλίγον νερὸν ὅπου ἔτρεχε· καὶ μετὰ πίστεως λαβὼν ἐξ αὐτοῦ, ἐγύρισε πρὸς τὸν τυφλὸν χαίρων. Καὶ ἀφοῦ ἐπότισεν αὐτὸν κατὰ τὴν ἀκουσθεῖσαν φωνὴν καὶ ἔχρισε καὶ τοὺς ὀφθαλμοὺς του, εὐθὺς ἀνέβλεψεν ὁ τυφλός. Τοῦτο δὲ ἰδὼν παραδόξως τὸ τεράστιον ἐξέστη, καὶ πιστεύσας εἰς τὴν ὑπόσχεσιν τῆς Παρθένου καὶ Θεοτόκου,



εὐχαρίστως. Αὐτήν, ὁμοῦ μὲ τὸν ἀναβλέψαντα τυφλὸν εἶπε. Κυρία τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ Μήτηρ τοῦ Κυρίου καὶ Θεοῦ μου Ἰησοῦ Χριστοῦ τοῦ Παντοδυνάμου, εὐχαριστῶ Σοι ὁποῦ δὲν παρεῖδες τὴν λύπην μου, ἀλλὰ καὶ τὸν πόθον μου ἐπλήρωσας, καὶ σημεῖον παράδοξον ἐποίησας διὰ τῶν ῥερυπωμένων μου χειρῶν. Διὰ τοῦτο καὶ δὲν ἀπιστῶ εἰς τὴν ἐπαγγελίαν σου, ἀλλὰ πιστεύων, ὑπόσχομαι, ὅταν ἔλθῃ εἰς ἔκβασιν ἡ ἁγία σου πρόρρησις ἀποδίδοντάς Σοι τὴν δυνατὴν εὐχαριστίαν, νὰ ἐγείρω Ναὸν ἐπ' ὀνόματί σου τῷ ἁγίῳ εἰς τὸν τόπον τοῦτον, ὅπου εὑρέθη τὸ παρὰ σοῦ ἁγιασθέν, καὶ ἰαματικὸν ἀποδεχθὲν ὕδωρ, εἰς αἰώνιον μνημόσυνον τῶν ἀρρήτων σου θαυμάτων καὶ εἰς τὴν δόξαν καὶ τιμήν. Ὅτι δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν. Ἔπειτα λαβὼν τὸν ἀναβλέψαντα, καὶ εἰσελθόντα εἰς τὴν Κωνσταντινούπουλιν, ἐδιηγοῦντο τὸ θαῦμα τῆς Κυρίας Θεοτόκου, κινοῦντες πάντας τοὺς ἀκούοντας εἰς δόξαν καὶ αἶνον τῆς Παναμώμου θεογεννήτριας.

Οὕτω δὲ πολιτευόμενος ὁ καλὸς Λέων ἐτάχθη εἰς τάξιν στρατιωτικὴν (συλλογῆς δηλ. γενομένης τότε στρατιωτῶν), γενόμενος δὲ στρατιώτης, δὲν ἐμεταχειρίσθη τὴν στρατιωτικὴν ἐλευθερίαν εἰς ἀταξίαν, καθὼς τὸ ἔχουν οἱ περισσότεροι συνήθειαν, οὔτε εἰς καταδυναστείαν καὶ ἁρπαγάς, ἀλλ' ὄντας ἄνθρωπος ἀνδρεῖος καὶ τὴν ὄψιν ὡραιότατος, οὔτε τὴν δύναμιν ἐμεταχειρίζετο εἰς ἐκπλήρωσιν τοῦ ἀλόγου θυμοῦ, οὔτε τὴν ὡραιότητα εἰς ἀτόπους ἐπιθυμίας. Ἀλλ' ἦν, τῇ μὲν δυνάμει βοηθῶν τοὺς ἀσθενεστέρους καὶ κατὰ τῶν πολεμίων ἱστῶν τρόπαια ἀξιοδιήγητα, τὴν δὲ ὡραιότητα φυλάττων ἀμόλυντον, ὡς δῶρον θεόσδοτον, ἐπάσχε νὰ τὴν περισσεύῃ καὶ μὲ τὰς ἀρετας. Διὰ τοῦτο ἠγαπᾶτο παρὰ πάντων καὶ γνωστὸς ἐγένετο εἴς τε τοὺς στρατηγούς, καὶ εἰς αὐτὸν τὸν βασιλέα, ὁ ὁποῖος προβιβάζων αὐτὸν εἰς ἀξιώματα διὰ τὴν ἀρετὴν του, τῇ αἰτήσει τοῦ στρατοῦ, τὸν κάμνει στρατηγὸν παντὸς τοῦ Ρωμαϊκοῦ στρατεύματος. Εἰς ταύτην δὲ τὴν μεγάλην ἀξίαν ἐλθών, δὲν ἐμεταχειρίσθη τὴν ἐξουσίαν κακῶς, οὔτε ἄφησε τὴν πρώτην του πολιτείαν, Ἀλλ' εἰς μὲν τὰ θεῖα περίσσευε

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὴν εὐλάβειάν του, κοσμῶν καὶ καλλωπίζων Ναοὺς καὶ ἀφιερώνων εἰς αὐτοὺς ἱερὰ σκεύη καὶ ἄμφια πολύτιμα, καὶ καθ' ἑκάστην ἀπερχόμενος εἰς τὰς ἱερὰς Ἀκολουθίας, ἔδιδε τὴν πρέπουσαν εὐχαριστίαν τῷ Θεῷ καὶ δοτῆρι παντὸς ἀγαθοῦ. Πτωχοὺς ἠλέει, τοὺς ἀσθενεῖς ἐπεσκέπτετο, καὶ τὰς φυλακὰς περιερχόμενος ἐπιμελεῖτο τοὺς φυλακισμένους, καὶ ἄλλα τοιαῦτα θεάρεστα ἔργα μὲ προθυμίαν ἔκαμνε· πρὸ πάντων δὲ ταπεινὸς ὢν εἰς ἄκρον, ὡς εἴρηται, δὲν κατεφρόνει τινά, ἀλλ' εἰς πάντας ἔδειχνε θαυμασίαν κατάδεξιν. Πάντας συμπαθῶς βλέπων, πάντας περιποιούμενος καὶ πρὸς πάντας γλυκομιλῶν. Διὰ τοῦτο καὶ ὡς πατέρα τὸν εἶχον ὅλοι. Τελευτήσαντος δὲ τοῦ πρὸ αὐτοῦ Βασιλέως, διὰ τὴν πρὸς αὐτὸν ἀγάπην παντὸς τοῦ λαοῦ, τὸν στέφουν Βασιλέα καὶ Αὐτοκράτορα Ρωμαίων.

Λοιπὸν τῆς ἐπαγγελίας τῆς Θεοτόκου λαβούσης πέρας, δὲν ὤκνευσεν ὁ καλὸς βασιλεὺς νὰ κάμῃ καὶ αὐτὸς πρὸς αὐτὴν τὴν πρέπουσαν εὐχαριστίαν, ἐκτελῶν τὴν ὑπόσχεσίν του. Ἀλλ' εὐθὺς ὅπου ἀνέβη εἰς τὴν ἀρχὴν τῆς Βασιλείας, πρῶτον ἔργον ἀγαθὸν ἔκαμε τὸν Ναὸν τῆς Ζωοδόχου Χρυσοπηγῆς, καθαρίσας τὸν τόπον, ὅπου εὗρε τὸ νερὸν ἐκεῖνο τὸ ἰαματικόν, ὅταν ὡδήγει τὸν τυφλόν, καὶ Ναὸν οἰκοδομήσας κάλλιστον περὶ τὸ ὕδωρ. Περιλαβὼν δηλαδὴ τὴν πηγὴν τοῦ ὕδατος ἐν μέσῳ τοῦ Ναοῦ, εἰς τὴν ὁποίαν ἔκαμε κολυμβήθραν ὑποκάτωθεν τοῦ κουμπέ, καὶ καταντικρύ, ἤτοι ἐπάνωθεν τοῦ κολύμβου εἰς τὸν κουμπέ, εἶχε τὴν Πλατυτέραν τῶν οὐρανῶν, τὴν Κυρίαν Θεοτόκον ἱστορισμένην, εἰς τὴν ὁποίαν ἐφαίνετο ἔργον θαυμάσιον καὶ διηγήσεως ἄξιον. Διότι ὅποιος ἤθελε κυττάξει εἰς τὸν κόλυμβον, ἔβλεπεν ὡσὰν νὰ ἦτο μέσα εἰς αὐτὸν ἡ Θεοτόκος ἱστορισμένη. Ὁ δὲ ἀτενίζων ἄνω, ἔβλεπεν αὐτὴν ἐπάνω ἀκτινοβολοῦσαν ὑπὸ τῆς ἀκτῖνος τῶν ὑδάτων. Ἀλλ' ὅμως ἐπ' ἀληθείας ποιήσας αὐτὸν ὅσον ἠδύνατο περικαλλῆ, ἐκόσμησε μὲ σεπτὰς εἰκόνας καὶ Ἱερὰ σκεύη καὶ ἄμφια πολύτιμα. Καὶ ἄλλα δὲ ἀκίνητα εἰσοδήματα ἀφιέρωσεν εἰς κυβέρνησιν τῶν ἐν τῷ Ναῷ ὑπηρετῶν, καὶ ἱερέων καὶ κληρικῶν. Ἐζήτησε δὲ καὶ ἄνδρας εὐλαβεῖς καὶ ἀρετῇ κεκοσμημένους, καὶ ἔβαλεν εἰς αὐτὸν Ἱερεῖς, Ἱεροδιακόνους, Ἀναγνώστας,



Ψάλτας καὶ Νεωκόρους, οἵτινες πολιτευόμενοι κατὰ τὰς ἐντολὰς τοῦ Χριστοῦ καὶ τὸν λαὸν διδάσκοντες, καὶ ἔργον ἔχοντες τὴν σωτηρίαν τῶν ἀνθρώπων, ἔπασχον καὶ ἠγωνίζοντο πρὸς αὔξησιν τῶν καλῶν. Ὅθεν καὶ ὁ καλὸς βασιλεὺς ἔχαιρε βλέπων, καὶ δὲν ἔπαυε ν' ἀφιερώνῃ καθ' ἑκάστην ὅσα χρήσιμα εἰς τὴν ἐπίδοσιν τοῦ Εὐαγγελίου, καὶ μάλιστα ἱερὰ βιβλία, τὰ ὁποῖα μεταχειριζόμενοι οἱ τοῦ Χριστοῦ ἐκεῖνοι ἄνθρωποι, ηὔξανον καὶ ἐκαρποφόρουν εἰς τοὺς Χριστιανοὺς τὸν λόγον τοῦ Θεοῦ. Λοιπὸν διά τε τὴν πίστιν τοῦ βασιλέως καὶ τὴν καλὴν ἐπιμέλειαν καὶ διὰ τὸν καλὸν ἀγῶνα τῶν ἐν τῷ ἱερῷ ναῷ ἱερῶν ἀνδρῶν, ἐπεσκίασεν ἡ χάρις τοῦ Παναγίου Πνεύματος διὰ τῆς Θεοτόκου, εἴς τε τὸν ναὸν καὶ εἰς τὴν πηγήν, καὶ ἤρξαντο νὰ γίνωνται θαύματα παράδοξα. Καὶ ἔβλεπεν ἐκεῖ κανεὶς πρᾶγμα ξένον· ἀσθενεῖς ὑγιαίνοντας, τυφλοὺς ἀναβλέποντας, χωλοὺς περιπατοῦντας, δαιμόνια ἐκβαλλόμενα, καὶ κάθε ἄλλο πάθος ἀνίατον εὐκόλως θεραπευόμενον, μὲ τὴν ἐνοικοῦσαν εἰς τὰ ὕδατα χάριν τῆς Θεοτόκου.

Ἔτρεχον δὲ ἐκεῖ καθ' ἡμέραν ἀπὸ τὰ βασιλικὰ γένη ἄνθρωποι, καὶ εὐγενεῖς ἄρχοντες, Ἀρχιερεῖς, ἱερεῖς καὶ κάθε πιστός, καὶ τινὰς δὲν ἐγύριζε λυπημένος διὰ τὴν πίστιν του. Καὶ ἦν ἐκεῖ χαρὰ καὶ πανήγυρις καθημερινὴ διὰ τὸ πλῆθος τῶν προστρεχόντων ἀνθρώπων. Πολλοὶ δὲ καὶ τῶν ἀπίστων, τὰ ἄπειρα βλέποντες θαύματα, προσέτρεχον εἰς τὴν τοῦ Χριστοῦ πίστιν, καὶ βαπτιζόμενοι ἐτάττοντο εἰς τὴν τάξιν τῶν πιστῶν, πληθύνοντες τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ. Οἱ δὲ ἀπερχόμενοι ἐκεῖ, οἱ μὲν θεραπείας, οἱ δὲ εὐχαριστίας, καὶ ἕτεροι δοξολογίας χάριν, εὐχαρίστουν, καὶ ἐδοξολόγουν τὴν Ὑπέραγνον Θεοτόκον, ὄχι καθὼς κάμνουν τὴν σήμερον μὲ χοροὺς καὶ παιγνίδια, μὲ τραγούδια καὶ μέθαις· ἀλλὰ μὲ ἀγρυπνίας ὁλονυκτίους, μὲ ὕμνους καὶ δοξολογίας ἀκαταπαύστους, μὲ πνευματικὴν κατάνυξιν, καὶ συντόμως εἰπεῖν, μὲ ὅσα εὐχαριστεῖται ὁ Θεός. Διὰ τοῦτο ὡς εἴπομεν καὶ μεγάλα θαύματα ἐγίνοντο, ὄχι μόνον εἰς τὸν καιρὸν τοῦ Βασιλέως Λέοντος, τοῦ κτήτορος τοῦ ναοῦ αὐτῆς τῆς Ζωηφόρου Πηγῆς, ἀλλὰ καὶ μετὰ ταῦτα ἐτελοῦντο ἔτι περισσότερα.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Οὕτω λοιπὸν πολιτευσάμενος καὶ εὐσεβῶς διαπρέψας ὁ ἀοίδιμος Λέων, καὶ φανεὶς δόκιμος τοῦ Βασιλέως τῶν οὐρανῶν, καὶ τῆς Παντοβασιλίσσης Θεοτόκου, μετέστη ἐν φωνῇ ἀγαλλιάσεως πρὸς τὰ ὑπερκόσμια ἀνάκτορα τῆς ἀκαταλύτου Βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο καὶ ἡμᾶς ἐπιτυχεῖν τῇ βασιλικῇ αὐτοῦ πρεσβείᾳ καὶ ἀκαμάτῳ πρὸς Θεὸν ἱκεσίᾳ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐγράφη διὰ χειρὸς Ἀθανασίου μοναχοῦ τοῦ Πελοποννησίου, ἐκ τῆς Καλύβης τῆς Ζωοδόχου Πηγῆς.

# Ἀποφθέγματα καὶ λόγοι

## ΙΩΣΗΦ ΠΡΩΗΝ ΤΥΡΝΟΒΟΥ

**(Λαυρεωτικὸς Κῶδιξ λ 197)**

**(Συνέχεια ἐκ τοῦ ὑπ' ἀριθ. 6 τεύχους).**

### Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου

Εἴδομεν ἀξιώματος ὄγκον, καὶ τιμῆς ὑπερβολήν, ἡ πεπατημένη, ἡ κάτω συρομένη, ἡ αἰχμάλωτος, ἡ ἀπαλλοτριουμένη, ἡ πόρνη, ἡ ἐναγὴς ἀνθρωπίνη φύσις, εἰς ὅσον ἀνέβη ἀξίωμα! εἰς ὅσον ὕψος ἠνήχθη, ὥστε Θεῷ παρεστάναι! ὁ μὲν γὰρ Υἱός, ἅτε ὁμότιμος ὤν, ἐκ δεξιῶν κάθηται· αὕτη δὲ ἕστηκεν· εἰ γὰρ καὶ βασίλισσά ἐστιν, ἀλλὰ κτιστῆς οὐσίας ἐστί, πῶς οὖν ὁ Παῦλος φησί: συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ; ἀλλὰ πρόσεχε τῇ ἀκριβείᾳ· οὐχ ἁπλῶς εἶπε· συνήγειρε καὶ συνεκάθισεν· ἀλλ' ἐν Χριστῷ· τουτέστι διὰ Χριστοῦ· ἐπειδὴ γὰρ ἡ κεφαλὴ ἡμῶν ἄνω, φησίν, ἐστίν, ἡμεῖς δὲ σῶμα, τῆς κεφαλῆς ἄνω καθημένης καὶ ἡμεῖς τῆς τιμῆς μετέχομεν, εἰ καὶ ἑστήκαμεν.

### Ἐπιστολὴ πρὸς Αὐθέντην

Τὰ μεγάλα καὶ λαμπρὰ καὶ χριστομίμητα καὶ ἡγεμονικὰ κατορθώματα τῆς σῆς μεγαλοπρεπείας ἐπὶ πολλὰ μέρη τῆς οἰκουμένης εἰσὶν ἐπευφημιζόμενα, καὶ πᾶσιν ἀνθρώποις ἐξάκουστα γεγονότα, ἔγνωμεν καὶ ἡμεῖς σκαλεύειν τὴν φλόγα τῆς σῆς ἀγαθωσύνης ἐλέους καὶ καλοκαγαθίας· μεγάλα, ὑψηλὰ καὶ ἔνδοξα· οὐ γὰρ κατὰ τὸ μέτρον τοῦ εὐεργετουμένου ἐπιδεικνύεις τὴν κηδεμονίαν, οὐδὲ κατὰ τὴν ἀξίαν μου, ἀλλὰ κατὰ τὴν σὴν μεγαλοπρέπειαν, καὶ τὸ μέγεθος· τὸ γὰρ ὄνομα αὐτῆς, καὶ ὁ ὄγκος καὶ μέγεθος τῆς Ὑμετέρας χριστοτροπίας, καὶ αὐτῆς τῆς οἰκουμένης κατέλαβεν ἐσχατιάς.

Μάθωμεν ἀπὸ τῶν θείων Γραφῶν πόσων ἀγαθῶν καὶ πόσων στεφάνων καὶ ἀναρρήσεων ἡμῖν ἡ θλίψις προσγίνεται.

### Ἐπιστολὴ πρὸς μέγα φιλοῦντά σε

Ἀφ' οὗ τῷ κάλλει τῶν ἀρετῶν σου ἑαλώκαμεν, καὶ τὸ βέλος ἐδεξάμεθα, τῶν πολλῶν σου προτερημάτων, καὶ τὸ τραῦμα ἐλάβομεν τῆς πνευματικῆς σου ἀγάπης, οὐ δυνάμεθα σιγὴν τὴν τοῦ ἐπαγγέλματος φέρειν, ἀδελφὲ τιμιώτατε. Ὦ ἁμαρτία δειλίας μήτηρ· ἀτιμίας ἔλεγχος· σιωπῆς ὑπόθεσις· ἀλλ' εἰ ἐγὼ σωθήσομαι, πολὺ μέρος τῆς οἰκουμένης σωθήσεται διὰ τοῦ ἐμοῦ ὑποδείγματος. (Ὅρα συλλογισμόν).

Τρία ἐστὶ ταῦτα· Παρθενία· γάμος· πορνεία· ὁ γάμος μέσος· ἡ πορνεία κάτω· ἡ παρθενία ἄνω· Παρθενία στέφανον ἔχει· ὁ γάμος ἔπαινον σύμμετρον· πορνεία κόλασιν καὶ τιμωρίαν. Μὴ θέλε ὑπὲρ τὸ μέτρον ἀναβῆναι, ἵνα μὴ ὑπὲρ τὸ μέτρον καταβῇς.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Ἐπιστολὴ πρὸς διδάξαντα

Πάντως, ἀγαπητέ, τὰ τῆς αἰσθητῆς τραπέζης τὰ περιττά τε καὶ λείψανα τῶν βρωμάτων μετὰ μίαν καὶ ἄλλην ἡμέραν ἐὰν μείνωσι, διαφθείρεται καὶ ἀπόλλυται· ἀλλὰ τὰ τῆς πνευματικῆς τὸ ἀνάπαλιν· ἅπερ ἐστὶν ἀντὶ βρωμάτων τὰ θεῖα νοήματα, αἱ πνευματικαὶ συντεχνίαι καὶ χάριτες· ἐὰν γὰρ ἐνιαυτοὺς παραμείνῃ τὸ ἄνθος τὸ ἑαυτῶν καὶ τὴν εὐωδίαν ἀποδίδωσι· τοῦτο καὶ ἡμεῖς ἤδη πάσχομεν ἀφ᾽ οὗ ἐγεύθημεν τῶν ἀγαθῶν σου ῥημάτων καὶ διδασκαλιῶν, καὶ πρὸς μνήμην παντοτεινὴν ὁδηγούμεθα· καὶ τὰ νοήματα τῆς πνευματικῆς εὐωδίας περιφέροντες ἐν τῇ διανοίᾳ, εἰς ἀφθαρσίαν χειραγωγούμεθα· ἤνοιξας τὸ στόμα σου καὶ σοφίαν ἐλάλησε, καὶ πολλὴν ἐρεῦξαν ἀρετὴν πάνυ ἡμᾶς εὔφρανας· ὥστε καὶ ἐν σοὶ πεπλήρωται τὸ «ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν».

## Ἐπιστολὴ ὑπευθύνου πρὸς τὸν δυνάμενον σῴζειν

Ἐπὶ τὸν λιμένα τοῦ ἐλέους τῆς τηθινοῦ Ἐκκλησίας καταφεύγω· βοηθείας πορισμοῦ καὶ ἐπισκέψεως ἕνεκα· μὴ δὲ μοι λέγεις ὅτι οὐκ ἔξεστί σοι τοῦτο δοθῆναι· οὐ δίκαιον· ἔλεος γὰρ ζητῶ· καὶ οὐκ εὐθύνας· ὅπου δὲ ἔλεος, οὐκ ἔστιν ἐξέτασις· ὅπου ἔλεος, δικαστήριον οὐ κάθηται· ὅπου ἔλεος, εὐθῦναι οὐκ ἀπαιτοῦνται· ὅπου ἔλεος ἀνεξέταστος ἡ σωτηρία· ὅπου ἔλεος, συγχωρεῖται ἡ ἀπολογία· ἐλεηθῆναι μόνον ζητῶ παρὰ σοῦ, τίνος ἕνεκεν ἀπαιτεῖς με εὐθύνας, ἅπαξ, κατὰ πρώτην προσβολήν, ἔλεος ἀντίληψιν καὶ βοήθειαν ζητῶ ἀπεριέργαστον. σωτηρίας μή μοι τὴν τιμὴν ἀπαιτήσῃς· οὐδεὶς εἰς ἐλεημοσύνην πιπράσκει.

— Ἡ ἁμαρτία τὴν παιδείαν ἐφέλκεται· ἡ δὲ παιδεία τὸν θηριώδη βίον ἐλέγχει· ὁ δὲ ἔλεγχος τὴν τοῦ βίου μεταβολὴν πραγματεύεται.

— Τέθνηκας Νικόλαε, καὶ ὀλολυγμὸν ἀφόρητον καὶ καπνὸν πεπυκνωμένον ἀφῆκας τὸν Μιχαήλ. Οὐδεμία οἰκονομία συγχωρεῖ κοινωνεῖν τοῖς ἀκοινωνήτοις. Τῆς μὲν θαλάσσης ἀγριουμένης ὑπὸ τοῦ κλύδωνος καὶ τῆς καταιγίδος, τὴν ἀγριότητα αὐτῆς γαλήνη ἐκδέχεται· ἐφ᾽ ἡμῖν δὲ ὁ κλύδων τῆς ἀσεβείας σου καὶ τῆς ἀπανθρωπίας καὶ τῆς ὠμότητος καθ᾽ ὥραν οἴμοι ἐπαύξει· καὶ τὸ ῥαγδαῖον τῆς πονηρίας σου, τέλος οὐκ ἔχει μισόχριστε· καὶ μήπου ὁ κατοικῶν ἐν οὐρανοῖς ἥκων ἥξει μετὰ ὀργῆς μὲν κατὰ σοῦ, καὶ σὲ ὡς Θεὸς ἐκδικήσεως ἐκγελάσηται, ἡμᾶς δὲ ἐλεήσῃ, καὶ παύσῃ τὰ μέγιστα καὶ ἄρρητα κακά σου.

## Ἐπίγραμμα εἰς ποτήριον

«Ἔχεις με Χριστοῦ αἷμα σαρκός μου φέρον»

(Ἡ συνέχεια εἰς τὸ ἑπόμενον τεῦχος)



# Βιβλία

Εὑρισκόμενα παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Σχοινᾷ ἐν Βόλῳ, Κοραῆ 47 καὶ ἀποστελλόμενα **ἐλεύθερα ταχυδρομικῶν τελῶν**.

**Θέατρον Πολιτικὸν** ὑπὸ Ν Μαυροκορδάτου, σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον Δραχ. 90.—

πανόδετον » 115.—

δερμάτινον » 140.—

(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

**Ἐγκόλπιον Χριστιανοῦ** ὑπὸ Ηλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα » 18.—

**Συμβουλευτικὸν ἐγχειρίδιον** ὑπὸ Νικοδήμου Ἁγιορείτου ἄδετον » 50.—

πανόδετον » 70.—

πανόδετον » 60.—

**Ἱστορία τῆς ἐν Πάρῳ Ι. Μονῆς Λογγοβάρδας** ὑπὸ Ἐμμ. Σαγκριώτου Γυμνασιάρχου » 35.—

**Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 20.—

**Χριστοήθεια** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 12.—

Athos Library
Αγιορειτική Βιβλιοθήκη

| | |
|---|---|
| **Ἀκολουθία Ἁγίου Γερασίμου** τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου καταγομένου καὶ ἐν τῇ Ἱ. Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος | » 10.— |
| **Ἱστορικὴ μελέτη τῆς Ι. Μονῆς Ἁγίου Παντελεήμονος** ὑπὸ Δανιὴλ μοναχοῦ | » 15.— |
| **Ἀντιρρητικόν.** Βιβλίον ἀσχολούμενον μὲ τὰ ἡμερολογιακά, ὑπὸ Δωροθέου Καρακαλλινοῦ μοναχοῦ | » 5.— |
| **Ἐκκλησιαστικοὶ Νόμοι.** Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ, χρησιμώτατον δι' ὅλους τοὺς Ἐκκλησ. ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια | » 45.— |
| **Ἑρμηνεία** τῶν 14 ἐπιστολῶν καὶ τῶν 7 Καθολικῶν τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον | » 250.— |
| δεδεμένα εἰς 3 τόμους μὲ δέρμα | » 500.— |
| **Κυριακοδρόμιον Εὐαγγελίων, Ἀποστόλων μετὰ ἑορτοδρομίου** τοῦ αὐτοῦ· τόμοι 3 | » 175.— |
| Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα | » 325.— |
| **Ἡ Ἐκκλησία καὶ ἡ ἀναγκαιότης τοῦ τακτικοῦ ἐκκλησιασμοῦ,** Ν. Π. Γιαννίου, ἔργον πρωτότυπον | » 30.— |
| **Ἡ Εὐτυχία ἐν τῇ ἀρετῇ.** ὑπὸ Στεφάνου Παπαδημητρίου | » 25.— |
| **Ἡ πορεία τοῦ Χριστιανοῦ ἀποδημητοῦ,** Ι. Βουνιένου | » 28.— |
| **Ἡ πορεία τῆς Χριστιανῆς ἀποδημητρίας** | » 22.— |
| **Ἡ ὀρφανὴ ἀπὸ τὸ Λόουντ·** Πφάϊφφερ - Παπαχατζῆ δρᾶμα ἠθικὸν σελ. 200 περ. | » 17.50 |
| δεδεμένον | » 27.50 |

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρησκευτικὰ βιβλία

„ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,,
ΕΤΟΣ Α.' ΑΡΙΘ. 9

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ
# ΒΕΝΙΑΜΙΝ
## ΔΙΑΚΟΝΟΥ ΤΟΥ ΠΕΡΣΟΥ

Προσετέθη καὶ ἰαμβικὸς Κανὼν εἰς τὸ τέλος εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κ. λ. π.

Ἀντιγραφεῖσα ἐξ ἀρχαίου κώδικος τῆς ἐν τῷ Ἁγίῳ Ὄρει Ἄθῳ Ἱερᾶς Μονῆς τῆς Μεγίστης Λαύρας ὑπὸ τοῦ μοναχοῦ

ΣΠΥΡΙΔΩΝΟΣ ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται

ΥΠΟ

ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ

ΜΑΪΟΣ 1937

1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀπαγορεύεται αὐστηρῶς ἡ ἀνατύπωσις κατὰ τὸν νόμον.

ΤΩι
ΠΑΝΑΓΙΩΤΑΤΩι ΑΡΧΙΕΠΙΣΚΟΠΩι ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΝΕΑΣ ΡΩΜΗΣ
ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΩι ΠΑΤΡΙΑΡΧΗι
Κῳ Κῳ ΒΕΝΙΑΜΙΝ
ΑΠΕΙΡΟΥ ΣΕΒΑΣΜΟΥ ΚΑΙ ΤΙΜΗΣ ΕΝΕΚΕΝ
ΑΝΑΤΙΘΗΣΙΝ
Ο ΕΚΔΟΤΗΣ

Οἱ Ἁγιορεῖται,

Τῷ Παναγιωτάτῳ Οἰκουμενικῷ Πατριάχῃ.

ΠΑΝΑΓΙΩΤΑΤΕ ΔΕΣΠΟΤΑ,

Τοῖς μὴ δυναμένοις ἐπαξίως ἐκτίειν τὰ τῶν χαρίτων ὀφλήματα, ἔνεστι τὸ τῆς ἀχαριστίας ὄνειδος διαφυγεῖν, εἰ ὁμολογοῦσι τὴν χάριν προφορικῷ καὶ ἐνδιαθέτῳ λόγῳ. Καὶ ἡμεῖς, τοιγαροῦν, οἱ Ἁγιορεῖται εὐεργετηθέντες παρὰ τῆς Μητρὸς ἡμῶν Μεγάλης Ἐκκλησίας τὰ μέγιστα κατὰ καιρούς, οὐ διελείπομεν ὁμολογοῦντες τὰς χάριτας καὶ τὰς εὐεργεσίας κηρύττοντες, εἰ καὶ ἀνταποδοῦναι οὐχ οἷοί τε ἐσμέν, οὐ γὰρ δυνάμεθα ἀποδοῦναι τῇ Μητρὶ ἡμῶν τὴν ἀξιόχρεων εὐχαριστίαν. Ἀλλ' οὐδὲν ἧττον καὶ ὁ Μέγας Ἀρχιερεύς, ὁ ἐπὶ τῆς γῆς Ἀρχιερέα Σε ἐπαξίως καταστήσας, οὐκ ἀρκούσας ἀπαιτεῖται τὰς χάριτας, ἀλλὰ μόνῳ ὁμολογοῦντα τὰς εὐεργεσίας, Παναγιώτατε Πάτερ καὶ Δέσποτα, ὡς δηλοῦσι τὰ δύο χηριακὰ λεπτά. Καὶ ἡμεῖς τοίνυν, ὡς σημεῖον καὶ σύμβολον ἔχοντες τοῦ ἐννοηματικοῦ λόγου τὸν προφορικόν, καὶ ἔνδον τὴν ἀγάπην τοῦ φιλοστόργου ἡμῶν Πατρὸς περιφέροντες, καὶ διερμηνεύοντες τὴν βαθεῖαν ἡμῶν εὐγνωμοσύνην ἐπὶ τῷ πατρικῷ ἐνδιαφέροντι τῷ ἐκδηλουμένῳ ὑπὲρ τοῦ Ἱεροῦ ἡμῶν τόπου, καὶ τῇ πρὸς τὰς Ἱερὰς ἡμῶν Μονὰς στοργῇ, ἀφιεροῦμεν ταύτην τὴν Ἀκολουθίαν τοῦ Ἁγίου Ἱερομάρτυρος καὶ Ἱεροδιακόνου Βενιαμὶν τῇ Ὑμετέρᾳ θεοφρουρήτῳ Παναγιότητι καὶ εὐχόμεθα, ἵνα ὁ Κύριος ταῖς πρεσβείαις αὐτοῦ διατηροίῃ Αὐτὴν ἐπὶ ἐτῶν πολλῶν περιόδους ἄνοσον καὶ ὑγιᾶ ἐπὶ τοῦ Οἰκουμενικοῦ θρόνου τῆς Ἁγίας Μητρὸς ἡμῶν Ἐκκλησίας πρὸς δόξαν Αὐτῆς καὶ τοῦ γένους ἡμῶν εὔκλειαν.

Βαθυσεβάστως
ΣΠΥΡΙΔΩΝ ΛΑΥΡΙΩΤΗΣ
ΙΑΤΡΟΣ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΜΗΝΙ ΟΚΤΩΒΡΙΟΥ ΙΓ΄

Μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Βενιαμὶν Διακόνου τοῦ Πέρσου.

---

### ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.

Ἦχος δ΄ Ἔδωκας σημείωσιν.

Μάρτυς ἀψευδέστατος, τῆς ἀληθείας γενόμενος, Βενιαμὶν ὦ πανένδοξε, τὴν πλάνην ἀπήλασας καὶ σεπτῶν μαρτύρων, δῆμον τῷ Δεσπότῃ σὺ προσενήνοχας Χριστῷ, διδασκαλίαις ταῖς θεοπνεύστοις σου, διὸ καὶ πολλαπλάσιον σοὶ τῶν καμάτων χαρίζεται, τὸν μισθὸν ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Μάρτυς ἐχρημάτισας, τῆς ἀληθείας ἀήττητος, Βενιαμὶν ὦ πανόλβιε, τῶν πόνων τὴν πόρωσιν, ὑποστὰς ἀνδρείως, καὶ τὰς ἀλγηδόνας, καὶ τῆς πυρᾶς τὸ καυστικόν, καὶ τῶν βασάνων τὴν ἀγριότητα, ἐντεῦθεν ἀμειβόμενος, τῆς καρτερίας σου ἔνδοξε, βασιλείαν ἀσάλευτον, ὁ Σωτὴρ ἐδωρήσατο.

Ἡλίου λαμπρότερον, λελαμπρυσμένη ἡ μνήμη σου, τοῖς πιστοῖς ἐξανέτειλε, τὴν κτίσιν φωτίζουσα θείαις φρυκτωρίαις, Βενιαμὶν τρισμάκαρ, καὶ νοσημάτων τὴν ἀχλύν, καὶ παθημάτων σκότος διώκουσα· διό σε μακαρίζομεν, καὶ ἐτησίως γεραίρομεν, ὡς φωστῆρα παγκόσμιον, πρεσβευτὴν τῶν ψυχῶν ἡμῶν.

Ὅλον ἀνατέθεικας, τῷ ὑπὲρ σοῦ ὑπομείναντι, τὸ σωτήριον πάθημα, σεαυτὸν πανεύφημε, διὰ μαρτυρίου, αἵματι προθύμως, εὐαρεστῆσαι καὶ αὐτῷ, προσκοληθῆναι Βενιαμὶν ἐσπούδασας· ἐντεῦθεν καὶ δεδόξασαι, καὶ τῶν θαυμάτων ἐπλούτησας, τὴν ἐνέργειαν πάνσοφε, παρ᾽ αὐτοῦ στεφανούμενος.



### Δόξα. Ἦχος α΄

Βενιαμὶν πανaοίδιμε, σὺ τῷ φόβῳ τῷ Κυρίῳ στοιχειωθείς, τὰς ἐντολὰς ἐτήρησας, τηρήσας δὲ ταύτας, τῶν παθῶν ἐκαθάρθης, καθαρθεὶς δέ, πρὸς τὸν τῆς καθαρτικῆς διακονίας βαθμὸν ἀνῆλθες καὶ καθαίρειν τοὺς ἄλλους κατηξιώθης, καθαίρων δὲ τούτους θείῳ φωτὶ τὴν διάνοιαν κατελάμφθης· οὗ γὰρ φόβος ἐντολῶν τήρησις· οὗ δὲ τήρησις κάθαρσις, οὗ δὲ κάθαρσις ἔλλαμψις κατὰ τὸν εἰπόντα· ἐλλαμφθεὶς δὲ καὶ τοῖς ἐζοφωμένοις μάγοις τῆς ἐλλάμψεως, διὰ τῆς σῆς διδασκαλίας μετέδωκας· ταύτης μεταδούς, καὶ τοῦ μαρτυρίου κατηξιώθης· Εὖγε τῆς χρυσῆς σειρᾶς, καὶ παρὰ τοῖς πολλοῖς ἀπλόκου, ἣν ἔπλεξας ἱερόαθλε· Ἀλλὰ μετάδος καὶ ἡμῖν τῶν ἀρετῶν σου τρισμάκαρ, καὶ πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Καὶ νῦν. Θεοτοκίον

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν ἁγίων καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς ὡς μόνος οἰκτίρμων.

### Εἰς τὸν στίχον.

Ἦχος α΄ Πανεύφημοι μάρτυρες

Πανεύφημε Μάρτυς τὸν Χριστόν, ἐκ ψυχῆς ἠγάπησας, καὶ δι᾽ αὐτὸν τὴν εὐπάθειαν, σαρκὸς ἐμίσησας, πλοῦτόν τε καὶ δόξαν, καὶ τρυφὴν τὴν ῥέουσαν, καὶ χαίρων τὸ σὸν αἷμα ἐξέχεας· διὸ τὴν μνήμην σου, τὴν ἐτήσιον γεραίρομεν, τὸν Σωτῆρα Χριστὸν μεγαλύνοντες.

Στιχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Πανεύφημε Μάρτυς τὸν Θεόν, ἵλεων ἀπέργασε, ἡμῖν ταῖς θείαις πρεσβείαις σου, τοῖς ἑορτάζουσι, τὴν πανίερόν σου, καὶ ἁγίαν ἄθλησιν, καὶ τὴν πρὸς τὸν Χριστὸν σὴν ἀνάλυσιν, δι᾽ ἧς ἀπείληφας, τὰ βραβεῖα τῶν ἀγώνων σου, σὺν Ἀγγέλοις ἀεὶ ἀγαλλόμενος.

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Πανεύφημε Μάρτυς τοῦ Χριστοῦ, ὡς ἀστὴρ ἐξέλαμψας, φωτοφανής, τὴν γῆν ἅπασαν φωτίζων λάμψεσι, ταῖς τῶν χαρισμάτων, προφθάνεις γὰρ πάντοτε, τοῖς πᾶσιν ἐκπληρῶν τὰ αἰτήματα, ταῖς πρὸς τὸν Κύριον, ἱκεσίαις σου, πολύαθλε διὸ πάντες τιμῶμεν τὴν μνήμην σου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Δόξα καὶ νῦν Θεοτοκίον.

Πηγὴ χαριτόβρυτος σὺ εἶ, Θεοτόκε Ἄχραντε, ἰάσεις πᾶσι παρέχουσα, τοῖς προσιοῦσί σοι καὶ ῥυομένος, τῶν ἁγιασμάτων σου, καθαίρεις γὰρ ψυχάς τε καὶ σώματα, τῶν ἀνυμνούντων σε, διὸ Ἄσπιλε ἀμόλυντε, σῶζε πάντας τοὺς ἐν σοὶ ἐλπίζοντας.

Νῦν ἀπολύεις τὸ τρισάγιον.

Ἀπολυτίκιον ὅρα ἐν τῷ μεγάλῳ ἑσπερινῷ.

---

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

---

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια ς΄.

### Ἦχος δ.΄ Ὡς γενναῖον ἐν Μάρτυσιν.

Φιλεόρτων συστήματα, πανδημεὶ νῦν συνδράμετε, καὶ κοινὴν πανήγυριν συγκροτήσατε· ἰδοὺ γὰρ πάντας ἐκάλεσεν, ἡμᾶς εἰς ἑστίασιν, καὶ χαρὰν πνευματικήν, διακόνων τὸ καύχημα, καὶ ἐκμίμημα, Ἀποστόλων τῶν θείων καὶ μαρτύρων, τὸ ἀγλάϊσμα καὶ κλέος, Βενιαμὶν ὁ πολύαθλος. Δίς

Καὶ πληγαῖς μαστιγούμενος, καὶ εἱρκτῇ συγκλειόμενος, καὶ πολλαῖς κακώσεσι δαπανώμενος, οὐκ ἐξηρνήσω τὸ ὄνομα, Χριστοῦ τὸ γλυκύτατον, ἱερὲ Βενιαμίν, οὗ τῷ πόθῳ ἐτύγχανες τιτρωσκόμενος, τὸ γὰρ τραῦμα τὸν τρώσαντα μηνύει, καὶ τὸ βέλος ὅθεν ἥκει, ὁ βεβλημένος παρίστησιν. Δίς

Ἴδε θεῖος διάκονος, ἴδε Μάρτυς περίδοξος, ἴδε πῶς ἐν αἵματι ἐπορφύρωσε, τὰ ἱερὰ αὐτοῦ ἄμφια, καὶ ταῦτα ἐνδέδυται, ὥσπερ ἄλλος βασιλεύς, Βασιλεῖ τῶν δυνάμεων παριστάμενος· καὶ Σταυρὸν ταῖς χερσὶ διαβαστάζων βασιλεύει εἰς αἰῶνας, Βενιαμὶν ὁ τρισόλβιος.

Ὡς ἀστὴρ φαεινότατος, ἐκ Περσῶν γῆς ἀνέτειλας, καὶ τοῦ μαρτυρίου σου ταῖς λαμπρότησι, τὰς διανοίας κατηύγασας, ἡμῶν τῶν τελούντων σου, τὴν φωσφόρον καὶ σεπτὴν ἑορτὴν παναοίδιμε, τὴν σκοτόμαιναν, πειρασμῶν διαλύων σαῖς πρεσβείαις, τῶν ἡμῖν ἐπερχομένων Βενιαμὶν ἀξιάγαστε.



### Δόξα. Ἦχος πλ. β.΄

Σήμερον ἐπέφανεν ἡ πάνσεπτος μνήμη Βενιαμὶν τοῦ Ἱερομάρτυρος, καθάπερ μῆλον ἐν μετοπόρῳ, καὶ πᾶσαν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν εὐωδίασε. Δεῦτε οὖν φιλέορτοι θερμῶς συνελθόντες, ᾄσμασιν ἐπαξίως αὐτὸν προσείπωμεν λέγοντες· Χαίροις Βενιαμὶν παναοίδιμε ὁ τὴν καθαρτικὴν τῆς διακονίας τάξιν καλῶς συντηρήσας, καὶ διὰ τοῦτο βαθμὸν καλὸν εἰς τὸ μέλλον σεαυτῷ περιποιησάμενος. Χαίροις ὁ πολλοὺς τῶν ἐν Περσίᾳ μάγων εἰς Χριστὸν ἐπιστρέψας· τὸν πάλαι τούτους ὁδηγήσαντα ἀστέρα ἐκμιμησάμενος. Χαίροις ὁ πολλὰς βασάνους ὑπομείνας ἀνδρείως ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ· αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς τῶν ἐκ πόθου τελούντων τὴν μνήμην σου.

### Καὶ νῦν Θεοτοκίον

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, Σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος· Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

### Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Κεφ. ΜΓ. 9 Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ καὶ ἀκουσάτωσαν. Γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ ἅγιος Ἰσραήλ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. Γ.΄ 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Κεφ. Ε.΄ 14 Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργήν, εἰς ρομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



### Εἰς τὴν λιτήν. Ἦχος α.΄

Τὸν γενναῖον ἀθλητὴν Βενιαμίν, τὸν ὑπὲρ τῆς εὐσεβείας καλῶς ἀγωνισάμενον, δεῦτε λαοὶ ὑμνήσωμεν λέγοντες· Χαίροις ὁ στερρὸς τῆς πίστεως πρόμαχος κατὰ τοὺς Προφήτας καὶ Ἀποστόλους· χαίροις ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ μιμησάμενος ἔργῳ τὸν Παῦλον· χαίροις ὁ τῶν καμνόντων ἀχείμαστος λιμήν, χαίροις τὸ ἡμέτερον καύχημα, καὶ τῆς οἰκουμένης ἀγαλλίαμα.

### Ὁ αὐτὸς

Ἀθλοφόρε τοῦ Χριστοῦ Βενιαμὶν πρὸς τὰς βασάνους καρτερῶν, καὶ τυράννους διελέγχων ἀνεκραύγαζες· οὐδείς με χωρίσει τῆς ἀγάπης τοῦ Χριστοῦ, αὐτὸς γάρ μου Θεὸς καὶ δοξάσω αὐτόν. Διὸ παρρησίαν κεκτημένος πρὸς αὐτόν, καὶ χορεύων μετ' ἀγγέλων ἐν οὐρανοῖς, πρέσβευε σωθῆναι τὰς ψυχὰς τῶν ἐκτελούντων τὴν μνήμην σου.

### Ἦχος β.΄

Προκόπτων ἐν Θεῷ, ἀρετῶν ἐφάμιλλος τῶν μαρτύρων ἀνεδείχθης, νεανικὴν ἀνδρείαν ἐνδειξάμενος, ἀθεάτου πνεύματος δραξάμενος, τυραννικὴν ὀφρὺν κατεπάτησας Βενιαμὶν πολύαθλε. Βωμοὶ γὰρ τῶν εἰδώλων ἠφανίσθησαν, καὶ χρησμοὶ δαιμόνων ἐφυγαδεύθησαν, ἀνίατα νοσήματα θεραπεύοντας, καὶ Χριστὸς εἰς αἰῶνας βασιλεύει, ὁ παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

### Ἦχος δ.΄

Κογχύλη αἵματος τοῦ μαρτυρίου σου, κοσμηθεῖσα ἡ Ἐκκλησία τοῦ Θεοῦ, ἡλιακὰς ἀκτῖνας ἐκπέμπει Βενιαμὶν πολύαθλε· τῷ γὰρ Σταυρῷ καθοπλίσας ἑαυτόν, καὶ τὸ θανεῖν ὑπὲρ Χριστοῦ προθύμως ἑλόμενος γενναίως πρὸς παράταξιν τοῦ ἀλλοτρίου ἀντικατέστης, καὶ καταισχύνας τὰς ἐπινοίας τῶν παρανόμων, νικητὴς στρατιώτης ὤφθεις τοῦ Χριστοῦ. Διὸ δυσωποῦμέν σε, ὡς παρρησίαν ἔχων μαρτύρων ἐγκαλώπισμα, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ὁ αὐτὸς

Εὐφραίνεται ὁ οὐρανὸς σήμερον φαιδρῶς καὶ ἡ γῆ ἀγάλλεται πιστῶς, ἐπὶ τῇ μνήμῃ τοῦ ἱερομάρτυρος Βενιαμίν, ἡ γὰρ παροῦσα ἡμέρα, οὐ θῦμα τῶν ἀλόγων, ἀλλὰ θυσίαν αἰνέσεως

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐξ ἀνθέων πνευματικῶν καταστέφεται· ἠγλαϊσμένος γὰρ σὺν ἡμῖν παρεστηκὼς τὴν ἀναίμακτον λατρείαν τῷ στεφοδότῃ Χριστῷ προσκομίζων, δέησιν αἰτεῖ εἰλικρινῶς εἰς τὰς αὐλὰς τοῦ Παραδείσου, καταντῆσαι, τοὺς ἐν πίστει τελοῦντας τὴν μνήμην αὐτοῦ.

**Ἦχος πλ. α.΄**

Ἱερομάρτυς Βενιαμὶν πανεύφημε τῆς ἀγάπης τοῦ Χριστοῦ· οὐ πῦρ, οὐ μάστιγες, οὐ ξίφος χωρίσαι ἴσχυσαν, ἀλλ᾽ ἀνδρείως ἐναθλήσας ἐν μέσῳ τῶν τυράννων, τὰ εἰδώλων σεβάσματα κατέστρεψας θεόφρον· καὶ νῦν στεφηφόρος, ἀθλητά, χορεύειν ἐν οὐρανοῖς ἐκτενῶς πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος δ.΄**

Τοῦ κρύψαντος τὸ τάλαντον, τὴν κατάκρισιν εἰδὼς Βενιαμὶν ἀξιύμνητε, οὐκ ἐσίγησας τὸν τοῦ Θεοῦ λόγον, οὐκ ἠνέσχου μὴ μεταδοῦναι τοῖς ἐσκοτισμένοις τὸ φῶς, οὗ μετέλαβες. Ἀλλὰ πᾶσιν ἐκήρυττες τὸ Εὐαγγέλιον τῆς Βασιλείας τῶν οὐρανῶν, ὅθεν ὡς πλεονάσαντι τὸ χάρισμα, ἀπόκειταί σοι ἀκοῦσαι· εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

**Δόξα. Ἦχος πλ. δ.΄**

Πῶς ἐξείπω τῆς καρδίας τὸ μεγαλόψυχον, ἢ πῶς παραστήσω διὰ λόγων τὴν ἐν τοῖς ἄθλοις ὑπερφυᾶ καρτερίαν σου, Βενιαμὶν γενναιότατε; τηλικαῦτα γὰρ εἴδη βασάνων ὑπέστης μετὰ χαρᾶς, ἃ καὶ νοούμενα μόνον, κάμπτει καρδίαν καὶ τὴν ἀδαμάντινον. Ὅθεν ἐν οὐρανοῖς ἀπολαμβάνων τοὺς μισθούς, ἀναλόγως τοῖς ἀγῶσί σου καὶ ὡς συμπαθὼν τῷ παθόντι Χριστῷ συνδοξαζόμενος πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἐκ πόθου εὐφημούντων σου τὴν ἄθλησιν.

**Καὶ νῦν. Κύριε εἰ καὶ κριτηρίῳ παρέστης.**

Κύριε, σὺ τῆς σὲ τεκούσης πρεσβείαις, περιφρούρησον τὴν Πόλιν σου, ἥνπερ αἵματί σου τιμίῳ, οἰκτίρμον ἐξηγόρασας, καὶ ἑπομένως ἐχθρῶν, ἀπήμαντον συντήρησον· ὅπως ὑμνοῦντες δοξολογῶμεν, τὴν θείαν σου συγκατάβασιν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Στιχηρὰ Προσόμοια.

**Ἦχος πλ. α.΄ Χαίροις ἀσκητικῶν.**

Χαίροις Βενιαμὶν ἱερέ, τῶν ἀθλοφόρων τοῦ Χριστοῦ τὸ ἀγλάϊσμα, τὸ κλέος τῶν διακόνων Εὐαγγελίου σεπτοῦ, κήρυξ



ὁ λαμπρός τε καὶ διάσημος· φωστὴρ ὁ ταῖς λάμψεσι, διαλύων σκοτόμαιναν, τῆς ἀγνωσίας, καὶ φωτὸς θείας γνώσεως, ἐν τοῖς λόγοις σου· μεταδοὺς τοῖς τυφλώττουσιν. Ἄνθρωπε ἐπουράνιε, ἐπίγειε ἄγγελε, ὁ ταῖς βασάνοις ἀνδρείως, ἐγκαρτερήσας ὡς ἄσαρκος· Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

**Στίχ. Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει.**

Χαίροις Βενιαμὶν ἱερέ, ὁ ἐπαυξήσας τὰ δοθέντα σοι τάλαντα· ὡς δοῦλος πιστὸς Κυρίου, καὶ σεσωσμένους πολλούς, τῷ Χριστῷ προσαύξας πανασίδιμε· πηγὴ ἡ γλυκύρροος, δαψιλῶς ἡ δροσίσασα, τοὺς ἐκτακέντας, ἀσεβείας τῷ καύσωνι, ὁ πιστότατος οἰκονόμος καὶ φρόνιμος· πᾶσι τὸ σιτομέτριον, ἀφθόνως δωρούμενος, τοῦ ἀμπελῶνος ἐργάτης, λαοῦ Χριστοῦ ὁ γενόμενος· αὐτὸν καταπέμψαι ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

**Στιχ. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.**

Χαίροις Βενιαμὶν ἱερέ, ναοῦ τοῦ ἄνω, λειτουργὲ καὶ διάκονε, ποδήρη ἐνδεδυμένος ὁλολαμπῆ καὶ φαιδρόν, τὴν τῶν μακαρίων δόξαν ἄφραστον· λαμπρῷ δὲ κοσμούμενος, ὡραρίῳ πανεύφημε, τῷ τῶν ἀΰλων Σεραφεὶμ ἐκμιμήματι ὁ τὴν ἄμεσον, ὑπὲρ κόσμου ποιούμενος, αἴτησιν καὶ γενόμενος, ναοῦ εἰς τὰ ἄδυτα, καὶ μυστηρίων μετέχων, τῆς ὑψηλῆς Θεοῦ γνώσεως· αὐτὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

**Δόξα. Ἦχος δ.΄**

Δεῦτε φιλομαρτύρων συστήματα, θίασον πνευματικὸν συγκροτήσαντες τὸν ἱερομάρτυρα τοῦ Χριστοῦ Βενιαμὶν εὐφημήσωμεν. Σήμερον γὰρ καὶ ἄγγελοι πανηγυρίζουσιν ἐπὶ τῇ μνήμῃ αὐτοῦ· οὗτος γὰρ ὁ τρισόλβιος, τὸ σκεῦος τῆς ἐκλογῆς Παῦλον τὸν Ἀπόστολον μιμησάμενος, οὐκ ἠνέσχετο μὴ μεταδοῦναι τοῖς ἀμυήτοις τοῦ Εὐαγγελίου τῆς γνώσεως· ἄλλος νεώτερος Βενιαμὶν κατὰ τὸ ψαλμικὸν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ χρηματίσας· ὅθεν ὡς ἐκεῖνος, μισθὸν ἐκομίσατο τῆς ἱερουργίας τοῦ Εὐαγγελίου, τὸ τελειωθῆναι δι᾽ αἵματος· καὶ νῦν μετὰ Παύλου καὶ πάντων τῶν ἱερομαρτύρων, χορεύων περὶ Θεὸν χορείαν τὴν ἀκατάλυτον, ἄφεσιν πταισμάτων αἰτεῖται ἡμῖν, τοῖς ἐκ πόθου τελοῦσι τὴν ἱερὰν αὐτοῦ ἄθλησιν.

**Καὶ νῦν. Ἐκ παντοίων κινδύνων.**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ἀπολυτίκιον. Ἦχος α.΄ Τῆς ἐρήμου πολίτης.**

Τῆς Περσίας τὸν γόνον, καὶ πιστῶν μέγα καύχημα, εὖχος τὸ λαμπρὸν διακόνων, καὶ μαρτύρων ἀγλάϊσμα· τιμήσωμεν σεπτὸν Βενιαμίν, ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς· ἀρετὰς αὐτοῦ ζηλοῦντες τὰς ἱεράς, καὶ ὁμοφώνως κράζοντες· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐν τοῖς ἄθλοις στερρόν σε ἀναδείξαντι.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α.΄ στιχολογίαν. Κάθισμα.

**Ἦχος α.΄ Τὸν τάφον σου.**

Ὡς ἥλιος λαμπρός, ὡς φαιδρὸς ἑωσφόρος, σεπτὲ Βενιαμίν, ἡ σὴ μνήμη ἐπέστη, ἡμῖν τοῖς ἀγαπῶσί σε, καὶ εἰς αἴνεσιν ἤγειρε, τοῦ νευρώσαντος, σὲ ἐν τοῖς ἄθλοις παμμάκαρ, καὶ δοξάσαντος ἔν τε τῇ γῇ καὶ ἐν πόλῳ, Χριστοῦ τοῦ Παντάνακτος.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον**

Παρθένος ἀληθῶς, πρὸ τοῦ τόκου Παρθένε, Παρθένος ἀληθῶς ἐν τῷ τόκῳ Παρθένε, Παρθένος ἀειπάρθενος, μετὰ τόκον διέμεινας· ὅθεν δέομαι, ὡς ἡγεμὼν τῶν Παρθένων, παρθενεύειν με, νοΐ ψυχῇ σώματί τε, Παρθένε ἐνίσχυσον.

Μετὰ τὴν β.΄ στιχολογίαν. Κάθισμα

**Ἦχος δ.΄ Κατεπλάγη Ἰωσήφ.**

Κατεπλάγη ἀληθῶς, ἡ τῶν ἀγγέλων στρατιά, τὴν ἀνδρείαν τῆς ψυχῆς, σοῦ ἱερὲ Βενιαμίν, πῶς μετὰ σώματος σοφέ, πρὸς ἀσωμάτους δεινοὺς ἐπάλαισας ἐχθρούς καὶ ἐνίκησας, καὶ τύραννον ὠμὸν οὐ κατέπτηξας, καὶ τὰς βασάνους ἤνεγκας γενναίως· ἄλλου τινὸς ὥσπερ πάσχοντος· ὅθεν στεφάνοις ἀμαραντίνοις, κεφαλήν σου κατέστεψε.

**Δόξα τὸ αὐτό· Καὶ νῦν. Θεοτοκίον**

Ἀπειρόγαμε ἁγνή, πῶς συλλαμβάνεις ἐν γαστρί; τῶν ἁπάντων τὴν πνοήν, περιλαμβάνοντα χερσί· φράσον ἡμῖν τὸν λόγον τοῦ μυστηρίου σου· παναληθές ἐστι τοῦτο, ὦ ἄνθρωπε, καὶ



παῦσε ἐρευνῶν τὸ δυσθεώρητον, ὕψος καὶ βάθος, μῆκος καὶ πλάτος, τῆς ἀπορρήτου λοχείας μου· νικᾷ γὰρ τοῦτο, ἔννοιαν πᾶσαν τῶν βροτῶν καὶ Ἀγγέλων.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

**Ἦχος γ.΄ Ἡ Παρθένος σήμερον.**

Ἡ λαμπρά σου ἄθλησις, Βενιαμὶν ἀθλοφόρε, ὥσπερ κῆπος εὔοσμος, πολυανθὴς καὶ ὡραῖος, ἤνοικται, τῇ Ἐκκλησίᾳ Χριστοῦ παμμάκαρ· ὅθεν σου τῆς εὐωδίας ἐποσφρανθέντες, συνεδράμομεν προθύμως, πανηγυρίσαι τὴν θείαν μνήμην σου.

**Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.**

Ἐπληγώθην πταίσμασιν, ἰάτρευσόν με Παρθένε, ἀπωλείᾳ ἤγγισα, διάσωσόν με ἐν τάχει, τέθνηκα, ζωήν μοι δίδου, κόρη Μαρία· πέπτωκα, ἀνάστησόν με Χριστὸν τεκοῦσα, ἰατῆρα καὶ Σωτῆρα, τὴν ζωὴν πάντων, καὶ τὴν ἀνάστασιν.

Οἱ ἀναβαθμοί. Τὸ α.΄ ἀντίφωνον τοῦ δ.΄ ἤχου,

**Προκείμενον. Ἦχος δ.΄**

Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει.

**Στιχ. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.**

Τὸ πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλιον **ἐκ τοῦ κατὰ Ἰωάννην.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει.

Τέλος. Καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ Πατήρ.

**Ὁ Ν΄. Δόξα, ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν ταῖς τῆς Θεοτόκου.**

Στιχ. Ἐλέησόν με ὁ Θεός, καὶ τὸ ἰδιόμελον.

**Ἦχος πλ. β.΄**

Σήμερον ὁ τοῦ Χριστοῦ διάκονος καὶ ἀθλητὴς Βενιαμίν, τὴν γῆν καταλιπών, εἰς οὐρανὸν τὴν πορείαν διὰ μαρτυρίου πεποίηται· καὶ πρὸς τὸν Θεὸν διαβαίνει, τὰ γέρα τῶν ἀγώνων κομισόμενος, σήμερον ὁ υἱὸς ὀδύνης διὰ τῶν πολυωδύνων βασάνων γενόμενος, ἤδη υἱὸς ἡδονῆς διὰ τῆς μακαριότητος δείκνυται, καὶ τιμᾶται παρὰ τοῦ Πατρός· ὁ τῷ Υἱῷ διακονήσας καὶ κοινωνεῖ τῆς δόξης τοῦ Υἱοῦ, ὁ καὶ τῶν παθημάτων αὐτοῦ κοινωνήσας· ἔδει γὰρ κατὰ τὴν θείαν ἐπαγγελίαν, ὅπου ἐστὶν ὁ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Χριστός, ἐκεῖ εἶναι καὶ τὸν τούτου διάκονον. Ὅθεν καὶ ἡμεῖς συνελθόντες τὴν μνήμην αὐτοῦ ἑορτάσωμεν λέγοντες· Βενιαμὶν ἱερόαθλε, πρέσβευε ἀπαύστως Χριστῷ, κοινωνοὺς τῆς σῆς δόξης γενέσθαι, καὶ ἡμᾶς τοὺς σὲ γεραίροντας.

Εἶτα οἱ Κανόνες τῆς Θεοτόκου εἰς ς.' καὶ ὁ τοῦ ἁγίου εἰς η.' οὗ ἡ ἀκροστιχίς. Βενιαμὶν κήρυκι ᾆσμα προσφέρω· ἐν δὲ τῇ θ.' μόνον τὰ σύμφωνα· Νικοδήμου.

**Ὠδὴ α.' Ἦχος δ.' Ἀνοίξω τὸ στόμα μου.**

Βεβήλοις ἐν χείλεσιν, ἀνευφημεῖν σε ἀρχόμενος, αἰτοῦμαι κάθαρισον ταῦτα τῷ ἄνθρακι τῆς πρεσβείας σου, Βενιαμὶν τρισμάκαρ, καὶ χάριν ἐν λόγῳ μοι δίδου πανεύφημε.

Ἐφλέχθης τῷ ἔρωτι, τῆς τοῦ Χριστοῦ ἀγαπήσεως, καὶ πάντα παρέδωκας, ὑπὲρ αὐτοῦ τὰ τερπνά, δόξαν ῥέουσαν, τρυφὴν ζωὴν καὶ σῶμα, διὸ τὴν αἰώνιον δόξαν ἀντέλαβες.

Νενίκηκας ἔνδοξε, ἐν τῷ σεπτῷ μαρτυρίῳ σου, σαρκὸς πόθον κόσμον τε, καὶ κοσμοκράτορα, τοὺς τρεῖς γίγαντας παθῶν τοὺς ἀρχηγέτας, διὸ καὶ διάδημα τρίπλοκον εἴληφας.

Ἰδοὺ νῦν ἀνέτειλεν, ὥσπερ λαμπρότατος ἥλιος, ἡ πάνσεπτος ἄθλησις Βενιαμὶν τοῦ σοφοῦ, καταυγάζουσα ἡμῶν τὰς διανοίας, καὶ πλάνης σκοτόμαιναν διασκεδάζουσα.

**Θεοτοκίον**

Ὡς κάρμηλος πέφυκεν, ἡ κεφαλή σου θεόνυμφε, καὶ αὐτῆς τὸ πλόκιον πορφύρα πέφυκε· καὶ ἐμπέπλησται, αὕτη τῆς θείας δρόσου· Σολομὼν ὁ πάνσοφος ὡς ᾀσματίζει σοι.

Καταβασία: **Ἀνοίξω τὸ στόμα μου.**

**Ὠδὴ γ.' Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.**

Ἀγγέλους ἐξέπληξας θεόφρον, βασάνους ἀνδρείως ὑποστάς, ὡς ἄσαρκος καὶ ἄϋλος, Βενιαμὶν πανεύφημε, οἳ καὶ τὰ ἀριστεῖά σοι, μετὰ χαρᾶς ἐπεκρότησαν.

Μεγάλως ἐδόξασε Χριστός σε, ἐν πόλῳ ὡς ἔργοις πρὶν αὐτόν, ἐπὶ τῆς γῆς δοξάσαντα, Βενιαμὶν πανεύφημε, τοὺς γὰρ αὐτὸν δοξάζοντας, ἀντιδοξάζειν ὑπέσχετο.

Ἰδοὺ ὁ διάκονος Κυρίου, ἰδοὺ ὁ γενναῖος ἀθλητής, ἰδοὺ ὁ ἰσαπόστολος, Βενιαμὶν ἐπέφανε, δεῦτε πάντες φιλέορτοι, καλῶν αὐτοῦ ἀπολαύσωμεν.



Νεώσας ἀρότρῳ τῶν σῶν λόγων, τὰς χέρσους ἀρούρας τῶν ψυχῶν, τῶν μάγων ἐγκατέσπειρας, αὐταῖς σπόρον τῆς πίστεως, ὃς καὶ ἐκαρποφόρησεν, ἓν ἑκατὸν καὶ ἓν ἑξήκοντα.

**Θεοτοκίον**

Οἱ σοὶ ὀφθαλμοὶ Παρθενομῆτορ, ἐδείχθησαν ὡς περιστεραί, αἱ λελουμέναι γάλακτι καὶ λίμναι ὡς λαμπρόταται, δι' ὧνπερ ἐκαρδίωσας, Κόρη τῆς δόξης τὸν Κύριον.

Καταβασία: **Τοὺς σοὺς ὑμνολόγους.**

Κάθισμα. **Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.**

Τετρωμένος ἀγάπῃ τοῦ Ἰησοῦ, γενναιότατε μάρτυς Βενιαμίν, χαίρων ἐκαρτέρησας, μαστιγώσεις τοῦ σώματος, καὶ φυλακὴν ὡς ἄλλο Παλάτιον ᾤκησας, καὶ ὡς τιμὰς ἡγήσω, τὰ ἄτιμα ἅπαντα, τὰς σκληρὰς βασάνους, ὡς τρυφὰς ἐλογήσω, ἐπώδυνον θάνατον, ὡς ζωὴν πανευφρόσυνον· διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων, δοῦναι ἡμῖν ἄφεσιν, τοῖς ἐκτελοῦσιν ἐν πίστει, τὴν πάνσεπτον μνήμην σου.

**Δόξα τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον**

Τοῦ θανάτου τὴν ὥραν ἀναπολῶν, τὴν ἡμέραν τῆς κρίσεως ἐννοῶν· πῦρ τὸ ἀτελεύτητον, ἐνθυμούμενος πέφρικα, ὢ πῶς ὑποίσω τότε, βιαίαν διάζευξιν· ὢ πῶς ἐνέγκω τότε, Θεοῦ τὴν διάστασιν! πῶς βαστάσαι ἔχω, τὴν μετὰ τῶν δαιμόνων, αἰώνιον ἕνωσιν! Θεοτόκε Πανύμνητε, τούτων με ἀπάλλαξον, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, πρὶν ἢ ὁ θάνατος ἔλθῃ, ἡ κρίσις ἡ κόλασις.

**Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.**

Κῆρυξ γέγονας παμμάκαρ, τῆς Χριστοῦ ἐνσαρκώσεως, μάγοις, καταγγέλλων τοῦτον Θεὸν εἶναι καὶ ἄνθρωπον· ὅθεν ὡς τὸ στόμα ὑπῆρξας τοῦ Κυρίου σου, ὅτι τίμιον τὸ γένος τούτων ἀνέδειξας.

Ῥήματα τῆς ἱερᾶς σου, γλώττης μάκαρ γεγόνασι, φῶς, ζωὴ καὶ ἅλας, τοὺς ἐσκοτισμένους φωτίζοντα, καὶ τοὺς θανόντας ζωοῦντα, καὶ τοὺς ὄζοντας, ἀθεότητι, ἀσήπτους μάρτυς φυλάττοντος.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Υ ετίζουσα νεφέλη, τῇ Περσίᾳ δεδώρησαι· ἐκ Θεοῦ τρισμάκαρ, τοὺς λιποθυμοῦντας σκιάζουσα· καὶ τοὺς τακέντας φλογμῷ τῆς ἀθεότητος, καταρδεύουσα, θεογνωσίας τοῖς νάμασι.

Ὦτα θεῖά σου Παρθένε, τῆς φωνῆς ἦν ἀκούοντα, πάντοτε προθύμως τοῦ ἀδελφιδοῦ σου ὡς γέγραπται, ὅτι φωνὴ ἦν ἡδεία τούτου Πάναγνε καταθέλγουσα, ψυχὴν ὁμοῦ καὶ καρδίαν σου.

Καταβασία : **Τὴν ἀνεξιχνίαστον**

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Καλάμους ὑπήνεγκας, τοὺς ἐμπαρέντας ὄνυξι, τοῖς σοῖς ἀθλοφόρε τοῦ Κυρίου, καὶ προξενοῦντας πικρὰς ὀδύνας σοι, δι᾿ ὧν μιμητὴς τοῦ δεξιᾶ, κάλαμον βαστάσαντος, Ἰησοῦ ἐχρημάτισας.

Ἱερεύσας ἔνδοξε, σαυτὸν τῷ Παντοκράτορι, ὡς κάλλιστον ὄντως ἱερεῖον, καὶ ὡς θυσίαν δεκτὴν καὶ ἄμωμον, διὰ τῆς ἀθλήσεως τῆς σῆς, καὶ ὁ πρὶν διάκονος, ἱερεὺς καινὸς γέγονας.

Ἀθάνατον εὔκλειαν, ὠνήσω παναοίδιμε, διὰ τοῦ προσκαίρου σου θανάτου· μικρῶν μεγάλα ἀνταλλαξάμενος· εὖγε πραγματείας τῆς σοφῆς! ἡ μεγίστη πέφυκεν, ἅπασῶν τοῖς νοῦν ἔχουσιν.

Ὡραίως ὑπέρκεισαι, καὶ θαυμαστῆς ἐν κάλλεσι, νύμφη ἀσματίζουσα κράζει· δι᾿ ἧς φοιτήσας, ὁ ἐραστὴς τῶν καλῶν, εὐγένισε Δέσποινα βροτῶν, φύσιν καὶ διέσωσεν ἐκ χειρὸς τοῦ ἀλάστορος.

Καταβασία : **Ἐξέστη τὰ σύμπαντα**

**Ὠδὴ ϛ΄. Τὴν θείαν ταύτην.**

Σοφὸς ὑπάρχων διάκονος, ἐν μέσῳ Ἐκκλησίας ἐκήρυττες, αὐτῇ σοφῇ ὀρθῇ· ὅθεν σοφία τῶν λόγων σου, πρὸς τὴν ὀρθὴν σοφίαν τοὺς μάγους ἥλκυσας.

Μακαριστὸς ἀναδέδειξε, διάκονε Κυρίου Βενιαμίν, ὡς τὸν μακάριον Θεὸν τυράννων ἐνώπιον, κηρύξας μακαρίους, τὸν ἐργαζόμενον.

Ἃ ὀφθαλμὸς οὐ δεδύνηται, ἰδεῖν καὶ οὖς ἀκοῦσαι πανεύφημε, καὶ νοῦς ἀνθρώπινος, κατανοῆσαι ὡς γέγραπται, ἐν οὐρανοῖς παμάκαρ ἐκληρονόμησας.



**Θεοτοκίον**

Σοφίαν λόγον κηρύττομεν, Υἱὸν τὸν τοῦ Πατρὸς προαιώνιον, ἐπισκηνώσαντα, οὐσιωδῶς ἐν τῇ μήτρᾳ σου, καὶ τῇ ἀρίστῃ πλάσει ἡμᾶς θεώσαντα.

Καταβασία : **Τὴν θείαν ταύτην.**

Κοντάκιον. **Ἦχος δ΄. Ὁ ὑψωθείς.**

Βενιαμὶν τῆς εὐσεβείας τὸν πύργον, καὶ μιμητὴν τῶν ἱερῶν Ἀποστόλων· καὶ διακόνων καύχημα καὶ δόξαν ἀθλητῶν· ἅπαντες τιμήσωμεν, πρὸς αὐτὸν ἐκβοῶντες· ῥῦσαι ταῖς πρεσβείαις σου, ἀπὸ βλάβης παντοίας, τοὺς ἐκτελοῦντας πόθῳ τὴν σεπτήν, καὶ φωτοφόρον πανεύφημε μνήμην σου.

**Ὁ Οἶκος**

Ὁ τῶν χαρίτων βραβευτής, καὶ τῶν δωρεῶν χορηγὸς Κύριος, τὸ καθαρὸν τῆς σῆς ψυχῆς, καὶ τὸ σεμνόν σου πολίτευμα θεασάμενος Βενιαμὶν παναοίδιμε· πολλοῖς σε χαρίσμασιν ἐν τῷ τῇδε βίῳ ζῶντα κατηγλάϊσε· καὶ μετὰ θάνατον δόξης ἀϊδίου στεφάνους τὴν κεφαλήν σου κατέστεψε· διὰ τοῦτο καὶ ἡμεῖς καὶ ὑπὸ Θεοῦ χαριτωθέντα καὶ δοξασθέντα συνελθόντες σὲ εὐφημοῦμεν καὶ τὴν σεπτὴν καὶ φωτοφόρον ἐκτελοῦμεν πανεύφημε μνήμην σου.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Πῦρ τὸ ἄϋλον τῆς θείας ἀγαπήσεως εἰσδεδεγμένος σοφέ, τοὺς λατρευτὰς τοῦ πυρός, πανσόφως διήλεγξας τοῖς θείοις λόγοις σου, καὶ ἐδίδαξας τριάδα ὁμοούσιον, προσκυνεῖν εἰς τοὺς αἰῶνας.

Ῥώμην ἄμαχον, φραξάμενος πανεύφημε τοῦ Παντοκράτορος, παρεμβολὰς δυσμενῶν δαιμόνων ἀνθρώπων τε στερρῶς συνέκοψας, τοῖς καλάμοις σου, χρησάμενος ὡς ξίφεσιν, ὀξυτάτοις ἀθλοφόρε.

Ὁ τοῖς ὕδασι, τῶν ἡδονῶν ὡς γέγραπται, ἐμβασιλεύων τὸ πρίν, Λευϊαθὰν ὁ δεινός, ῥοαῖς τῶν αἱμάτων σου, νῦν ἐναπίπνικται, καὶ ἐξέλιπεν, εἰς τέλος τῇ ἀθλήσει, σου στρατιῶτα τοῦ Κυρίου.

2

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Θεοτοκίον

Ως ὑπάρχουσα ναὸς τοῦ θείου Πνεύματος, φωτοειδέστατος, τὰς δωρεὰς χορηγεῖς, τοῖς πίστει προστρέχουσιν εἰς σὲ πανάμωμε· τὴν διάνοιαν, διὸ κἀμοῦ καταύγασον, τοῦ ὑμνεῖν σε εἰς αἰῶνας.

Καταβασία: Οὐκ ἐλάτρευσαν

Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Σύμμορφος ὀφθεὶς παθῶν Κυρίου τὸ πρῴην Βενιαμὶν θεοειδέστατε, ξύλῳ θανατούμενος, τύπον Σταυροῦ ἔχοντι· νῦν δὲ αὐτοῦ καὶ σύμμορφος, τῆς δόξης γέγονας, πολύαθλε αὐτῷ ἡνωμένος, ἑνώσει ἀμέσῳ εἰς πάντας τοὺς αἰῶνας.

Φῶς τὸ τριλαμπὲς τῆς ἀχωρίστου, τριάδος ὁρῶν τρανῶς μακαριώτατε, ὅλος φῶς ἐνδείκνυσαι, ὅλος ἀγλαόμορφος, ὅλος ἡλιοστάλακτος, καὶ ἄλλος ἥλιος, καταύγασον· διὸ ταῖς ἀκτῖσι σου ταῖς φεγγοβόλοις, ἡμᾶς τοὺς σὲ ποθοῦντας.

Ἔστης τῆς ἐφέσεώς σου μάρτυς, αὐτὸ πεφθακὼς τῶν ἐφετῶν τὸ ἔσχατον, εἰς ὃ πᾶσα ἔφεσις ἵσταται ὡς λέλεκται, καὶ ὑπὲρ ὃ οὐ φέρεται, νοῦς ἅπας ἔνδοξε, κἂν εὕρηται ὀξύτατος πάντων, οὐδὲ γὰρ καὶ ἔχεις, ἀνώτερόν τι φθάσαι.

Ῥάβδῳ τῇ παχείᾳ καὶ ὀζώδει, δι᾽ ἧς μακαρίου τέλους ἔτυχες, ταύτῃ τὴν τοῦ δράκοντος, κεφαλὴν συνέτριψας, καὶ τοῦτον ἐθανάτωσας τῇ καρτερίᾳ σου, ὃς πλήξας σε, αὐτὸς ἐπληγγώθη, καὶ ἐθανατώθη εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Αἴγλη τῆς σεπτῆς καὶ τρισηλίου, λαμπρότατον σκήνωμα ὑπάρχουσα, θείαν καὶ σωτήριον, πᾶσιν ἀνατέταλκας, τὴν φωταυγίαν ἄχραντε τοῖς πίστει κράζουσι, τὸ χαῖρέ σοι, δι᾽ ἧς κατηυγάσθη, καὶ ἀνεκαινίσθη τὸ γένος τῶν ἀνθρώπων.

Καταβασία: **Παῖδας εὐαγεῖς.**

**Ὠδὴ θ'. Ἅπας γηγενής.**

Ὥσπερ ἀγαθός, δρομεὺς ἐκτετέλεκας τὸν δρόμον Ἅγιε, τὸν τοῦ μαρτυρίου σου, καὶ τὸν ἀγῶνα καλῶς ἠγώνισαι, τῆς σῆς στεῤῥᾶς ἀθλήσεως, διὸ ἀπόκειται σοί, τρισμάκαρ, ὁ δίκαιος στέφανος, ὃν Χριστὸς ὁ Θεὸς ἀποδώσει σοι.



Νόων οἱ χοροί, πληθὺς μακαρίων τε ἁγίων τάγματα, ᾔνεσαν ἐκρότησαν, χαρᾶς ἀφάτου πάντες ἐπλήσθησαν, τὴν τῆς ψυχῆς σου ἄνοδον πανηγυρίζοντες, ὑπαντῶντες, καὶ κατασπαζόμενοι, καὶ πομπήν σοι ποιοῦντες πανίερον.

Κύκλῳ τοῦ Θεοῦ, Θεοῦ ὡς διάκονος ἵστασαι, Ἅγιε, σὺν τοῖς Σεραφεὶμ βοῶν, τῇ Ὑπερθέῳ Τριάδι ἔνδοξε, τὸν ὕμνον τὸν τρισάγιον, ἀΰλοις χείλεσιν, ὑπὲρ κόσμου, εἰρήνην αἰτούμενος, ἣν καὶ ζῶν ἐν τῇ γῇ πρῴην ᾔτησαι.

Δέξου εὐμενῶς, ὅπερ σοὶ προσέφερεν ὁ σὸς συνώνυμος, εὐτελὲς ἐφύμνιον, ὡς τὸν τῆς χήρας Κοδράντην Κύριος· ὡς ἀρωματοσύνθετον μῦρον εὐπρόσδεκτον· καὶ πταισμάτων, δίδου αὐτῷ ἄφεσιν, καὶ ψυχῆς σωτηρίαν πρεσβείαις σου.

Μνήσθητι ἡμῶν, τῶν μνημονευόντων σου μάρτυς πολύαθλε, Βενιαμὶν ἔνδοξε, καὶ σοῦ τιμώντων τὸ γλυκὺ ὄνομα· καὶ αἰωνίου λύτρωσαι ἡμᾶς κολάσεως, καὶ τῆς θείας, δόξης καταξίωσον, δραστικαῖς πρὸς Θεὸν μεσιτείαις σου.

Θεοτοκίον

Λάμψον μοι χαρᾶς, τὸ φέγγος δι᾽ ἄφατον τῆς εὐσπλαγχνίας σου ἔλεος καὶ δίωξον τὰ νέφη πάντα τῆς κατηφείας μου, καὶ ἀληθῆ ἀπόδος μοι τὴν ἀγαλλίασιν, ἵνα πίστει, τὴν θείαν λοχείαν σου, ἀνυμνῶ, καὶ ἀεὶ μεγαλύνω σε.

Ἐξαποστειλάριον. **Γυναῖκες ἀκουτίσθητε.**

Βενιαμὶν φιλέορτοι, ἐν ᾄσμασι τιμήσωμεν, τῆς εὐσεβείας τὸν πύργον, καὶ καθαιρέτην τῆς πλάνης· οὗτος γὰρ καταβέβληκε, τὸ τοῦ τυράννου φρύαγμα, καὶ δαίμονας ἐνίκησε, τῇ μέχρι τέλους ἐνστάσει, καὶ νίκης εἴληφε στέφος.

Λυχνία, κλῖμαξ, τράπεζα, Παρθένε ἐχρημάτισας· τὰς οὖν ποιότητας τούτων, παράσχου μοι Θεοτόκε· ἐκτρέφουσα πεινῶντά με, ὑψοῦσα καταπίπτοντα, φωτίζουσα τυφλώττοντα, ἵν᾽ ἐν παντί μου τῷ βίῳ, ὡς εὐεργέτην ὑμνῶ σε.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων**

Φιλομαρτύρων τὰ πλήθη δεῦτε συνδράμετε, Βενιαμὶν τοῦ θείου, ἑορτῇ τῇ πανσέπτῳ, καὶ τούτου τὴν εἰκόνα τὴν ἱεράν, εὐ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λαβῶς προσκυνήσωμεν, τῷ πρωτοτύπῳ προσάγοντες δι' αὐτῆς τὴν τιμὴν καὶ τὴν προσκύνησιν.

Τῆς διακόνοις συνώφθης, ὥσπερ διάκονος, τοῖς κήρυξιν, ὡς κήρυξ, καὶ σὺν μάρτυσι μάκαρ, ὡς μάρτυς ἠριθμήθης Βενιαμίν, γλυκὺ πρᾶγμα καὶ ὄνομα, καὶ τῶν Ἀγγέλων τοῖς δήμοις ἐν οὐρανοῖς, συνευφραίνει ἀξιάγαστε.

Τῆς ἀρχιφώτου Τριάδος, καταλαμπόμενος· ταῖς φωτουργαῖς ἀκτῖσι καὶ φῶς ὅλος ὑπάρχων· πρέσβευε ἀπαύστως Βενιαμίν, ὑπὲρ τῶν συνωνύμων σου, καὶ καυχομένων ὀνόματι ἐπὶ σῷ, καὶ ποθούντων ἐκ καρδίας σε.

Τοὺς ἐκτελοῦντας ἐκ πόθου, τὴν θείαν μνήμην σου, Βενιαμὶν γενναῖε τοῦ Χριστοῦ στρατιῶτα, φύλαττε ἐκ βλάβης παντοδαπῆς, δυσμενῶν ὁρωμένων τε, καὶ ἀοράτων θεόφρον καὶ οὐρανῶν, βασιλείας καταξίωσον.

**Δόξα. Ἦχος πλ. δ'.**

Βενιαμὶν ἱερόαθλε, τίς σε κατ' ἀξίαν ἐπαινέσεται; νικᾷ γὰρ δύναμιν λόγων, τὰ ὑπὲρ φύσιν σοῦ ἀνδραγαθήματα· καὶ ῥητόρων αἱ τέχναι, τῶν σῶν ἀριστειῶν πολὺ ἀπολείπονται. Σὺ γὰρ ἐν τῇ ἀθλήσει σου τὸν Χριστὸν Θεὸν ὡμολόγησας, τὰς σκληροτάτας βασάνους, ὡς ἄσαρκος ἐκαρτέρησας· τυράννους ἐξέπληξας, δαίμονας ᾔσχυνας, Ἀγγέλους ηὔφρανας τὴν πλάνην κατήργησας, καὶ τὴν ὀρθόδοξον πίστιν ἐκράτυνας. Καὶ νῦν ἐν οὐρανοῖς Θεὸς Θεῷ ὁ κατὰ χάριν τῷ κατὰ φύσιν ἑνούμενος καὶ παρρησίας τυγχάνων, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἐκ πόθου τελούντων τὴν πάνσεπτον μνήμην σου.

**Καὶ νῦν. Δέσποινα πρόσδεξαι**

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου, αἱ ᾠδαί γ'. καὶ ϛ'.

**Ἀπόστολος.** Προκείμενον ἦχος δ'.

Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει.

Στιχ. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.



**Πρὸς Φιλιππησίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.**

Ἀδελφοὶ ἡμεῖς ἐσμεν ἡ περιτομὴ οἱ πνεύματι Θεῷ λατρεύοντες καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες.

Τέλος. Εἴπως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν.

**ΤΕΛΟΣ**

**Τῷ ἐν τριάδι Θεῷ δόξα.**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΒΙΟΣ

**Τοῦ Ἁγίου ἱερομάρτυρος Βενιαμὶν διακόνου τοῦ ἐν Περσίᾳ ἀθλήσαντος.**

**Εὐλόγησον Πάτερ**

Οὗτος ὁ ἀοίδιμος Βενιαμὶν ἦτο κατὰ τοὺς χρόνους τοῦ βασιλέως μὲν τῆς Περσίας Ἰσδιγέρδου, τοῦ υἱοῦ Γορωράνη, τοῦ καὶ αὐτοῦ βασιλέως ὄντος Περσῶν, τοῦ Ρωμαίων δὲ βασιλέως Θεοδοσίου τοῦ μικροῦ ἐν ἔτει υιβ΄ (412). Φαίνεται δὲ ὅτι ἐκατήγετο ἀπὸ τὴν Περσίαν, καὶ ταύτην εἶχε πατρίδα του. Οὗτος λοιπὸν ἐπειδὴ ἦτο διάκονος τῆς ἐν Περσίᾳ ἐκκλησίας, πολλοὺς Ἕλληνας ὁμοῦ καὶ Πέρσας ἐπέστρεψεν εἰς τὴν θεογνωσίαν διὰ μέσου τοῦ λόγου τῆς διδασκαλίας του. Ὅθεν ἐκ τῆς αἰτίας ταύτης κατηγγέλθη εἰς τὸν ρηθέντα βασιλέα ὡς κακοποιός. Διὰ τοῦτο παρασταθεὶς ἐνώπιον τοῦ βασιλέως ἐδάρη. Καὶ μετὰ τὸν δαρμόν, βάλλεται εἰς τὴν φυλακήν, καὶ ἐκεῖ μένει ἕως εἰς διάστημα δύο ὁλοκλήρων ἐτῶν. Μετὰ δὲ τὰ δύο ἔτη, ἐπέμφθη ἀπὸ τὸν βασιλέα τῶν Ρωμαίων Θεοδόσιον πρέσβυς εἰς τὴν Περσίαν, ὁ ὁποῖος, ἀφ᾽ οὗ ἔμαθε τὴν ἐν τῇ φυλακῇ πολυχρόνιον κακοπάθειαν τοῦ ἁγίου Βενιαμίν, ἔκαμε μεσιτείαν εἰς τὸν βασιλέα Περσῶν Ἰσδιγέρδην διὰ νὰ τὸν ἐλευθερώσῃ ἀπὸ τὴν φυλακήν. Ὁ δὲ βασιλεὺς ὑπεσχέθη μὲν εἰς τὸν Πρέσβυν ὅτι τὸν ἐλευθερώνῃ, ἀνίσως ὅμως παύσῃ ἀπὸ τὸ νὰ διδάσκῃ τὸν χριστιανισμὸν τοὺς ἐν Περσίᾳ μάγους (μάγους δὲ ἐσυνείθιζον νὰ ὀνομάζουν οἱ Πέρσαι, κατὰ τὸν Θεοδώρητον, τοὺς τὰ στοιχεῖα θεοποιοῦντας.) Ὁ δὲ πρέσβυς ἀπεκρίθη. «Ναί, ἀνάγκη εἶναι, ὅτι ἐξάπαντος πρέπει νὰ φυλάξῃ τὴν προσταγήν σου, ὦ Βασιλεῦ.

Τοῦτον δὲ τὸν λόγον τοῦ Πρέσβεως εὐθὺς ὅπου ἤκουσεν ὁ φιλόθεος ὁμοῦ καὶ φιλάδελφος Βενιαμίν, ἀδύνατον, ἀπεκρίθη πρὸς τὸν Πρέσβυν, ἀδύνατον εἶναι νὰ μὴ μεταδώσω ἐγὼ εἰς τοὺς ἐσκοτισμένους τὸ φῶς τῆς θεογνωσίας, ὅπου ἔλαβον. Διότι ὅσην τιμωρίαν εἶναι ἄξιος νὰ λάβῃ ἐκεῖνος, ὅπου ἤθελε κατακρύψει τὸ τάλαντον τοῦ ἰδικοῦ του Δεσπότου, τοῦτο σαφῶς παριστᾷ ἡ τῶν θείων Εὐαγγελίων διδασκαλία. Ἀλλὰ τοὺς λόγους τούτους τοῦ Ἁγίου δὲν ἐν-



νόησεν ὁ βασιλεὺς, ὡς ἄπιστος καὶ ἀμύητος. Ὅθεν ἐπρόσταξε νὰ ἐλευθερωθῇ ἀπὸ τὰ δεσμὰ καὶ τὴν φυλακήν ὁ Ἅγιος. Ἐλευθερωθεὶς λοιπὸν ὁ θεῖος Βενιαμίν, πάλιν ἐδίδασκε τοὺς ἐν Περσίᾳ μάγους καὶ Ἕλληνας κατὰ τὴν προτέραν αὐτοῦ συνήθειαν. Χρόνος ὁλόκληρος παρῆλθε, κατὰ τὸν ὁποῖον ὁ φωστὴρ τῆς εὐσεβείας Βενιαμὶν μετέδιδε τὸ φῶς τῆς θεογνωσίας διὰ τῆς διδασκαλίας του εἰς τοὺς Πέρσας καὶ Ἕλληνας. Ὅθεν ὁ βασιλεὺς τοῦτο μαθών, παρέστησεν ἔμπροσθέν του τὸν Ἅγιον, καὶ τοῦτον προστάζει νὰ ἀρνηθῇ τὸν Χριστόν. Ὁ δὲ Βενιαμίν, πόσης τιμωρίας, ἐρώτησεν, εἶναι ἄξιος, ὦ Βασιλεῦ, ἐκεῖνος, ὅπου ἤθελε μὲν καταφρονήσει τὴν ἰδικήν σου βασιλείαν, προτιμήσει δὲ ἄλλην; θανάτου εἶναι ἄξιος ἀπεκρίθη ὁ βασιλεύς. Ἀνταπεκρίθη δὲ ὁ μάρτυς. Καὶ ἂν ὁ τὴν βασιλείαν σοῦ τοῦ θνητοῦ βασιλέως καταφρονήσας εἶναι θανάτου ἄξιος, ποίαν ἆρά γε κόλασιν ἔχει δικαίως νὰ πάθῃ, ὅποιος καταφρονήσει μὲν τὸν Ποιητὴν καὶ πάντων Δημιουργόν, προσκυνήσει δὲ ὡς Θεὸν ἕνα ἀπὸ τὰ ὁμόδουλα κτίσματα;

Τοῦτον τὸν σοφὸν λόγον ἀκούσας ὁ βασιλεὺς ἐθυμώθη, καὶ προστάζει νὰ λεπτύνουν εἴκοσι καλάμια, καὶ νὰ τὰ ἐμπήξουν εἰς τοὺς εἴκοσιν ὄνυχας τῶν χειρῶν καὶ τῶν ποδῶν τοῦ μάρτυρος. Ἐπειδὴ δὲ ἔβλεπε, πῶς τὴν τιμωρίαν ταύτην ἐνόμιζεν ὡς παίγνιον ὁ τοῦ Χριστοῦ ἀθλητής, διὰ τοῦτο ἐπρόσταξε νὰ λεπτύνουν καὶ νὰ κάμουν κοφτερὸν ἕνα καλάμι, καὶ τοῦτο νὰ ἐμπήξουν ὢ τῆς διαβολικῆς ἐπινοίας! μέσα εἰς τὸ παιδογόνον μόριον τοῦ Ἁγίου. Τὸ ὁποῖον ἐμβάλλοντες συχνὰ καὶ ἐκβάλλοντες οἱ καὶ τῶν θηρίων ἀσπλαγχνότεροι, ἀνυποφόρους πόνους ἐπροξένουν εἰς τὸν τοῦ Χριστοῦ Μάρτυρα. Ὕστερον δὲ ἀπὸ τὴν βάσανον ταύτην, προστάζει ὁ θηριώδης καὶ ἀπάνθρωπος τύραννος νὰ ἐμβάλλουν εἰς τὸν ἀφεδρῶνα τοῦ μάρτυρος ἕνα ραβδὶ χονδρόν, τὸ ὁποῖον εἶχε ρόζους ἀπὸ κάθε μέρος. Καὶ ἐν τῇ τιμωρίᾳ ταύτῃ παρέδωκε τὴν ψυχήν του εἰς τὸν ποθούμενον Χριστὸν ὁ γενναιότατος τούτου ἀγωνιστής.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΚΑΝΩΝ ΙΑΜΒΙΚΟΣ

**Εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.**

**Φέρων ἀκροστιχίδα τήνδε διὰ στίχων ἡρωελεγείων, πλὴν τῶν εἱρμῶν.**

Τήμερον ἀθανάτοιο ἑῦς πάϊς ἐκ γενέτοιο εἰς νεὸν ἁγνήσιν ἵκετο ἐν παλάμαις ὃν πρέσβυς φρίττων χαίρων τε, φέρει κάρτ' ἦτορ. Ἀλλ' ἄνα σῷ δοίοις γ' ὄλβια ὑμνοπόλῳ:

**(Ποίημα Γερασίμου Ἱερομονάχου Ἰωαννούλη τοῦ Ζακυνθίου).**

**Ὠδὴ α'. ἦχος. δ.' Ὁ Εἱρμός.**

»Θείω καλυφθεὶς ὁ βραδύγλωσσος, γνόφω,
»Ἐρρητόρευσε τὸν θεόγραφον νόμον·
»Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου,
»Ὁρᾷ τὸν ὄντα καὶ μυεῖται Πνεύματος
»Γνῶσιν, γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

Τύραννον ἰσθμῷ Φαραὼ καταδύσας,
Ἦγεν ἅπαντα, Ἰσραὴλ ὁ Δεσπότης.
Μέδων πέλων δέ, ἄχρονος νῦν ὡς βρέφος,
Ἐκὼν κρατεῖται, ἀγκάλαις τοῦ πρεσβύτου,
Ῥύων με δεινῶν, ὃν βροτοὶ λατρεύσωμεν.

Ὄντως ὁ λαός, ὁ πρὶν ἠμαυρωμένος.
Νῦν παναληθῶς, χάριτ' ἠξιωμένος.
Ἀδὰμ ξύλῳ γάρ, καὶ θανὼν θεωρίας,
Θεῷ κατ' αὐτὸν γεγονότι συνάγει,
Ἄδων ὃς ὑμνεῖ, παγγενῆ εὐεργέτην.

Νόμον ὁ πρὶν δούς, ἐν Σινᾷ τῷ θεόπτῃ,
Ἀνθρωποειδῶς, τὰ ἔθιμα τοῦ νόμου,
Τελῶν προσῆλθε, τῷ νεῷ οἷα βρέφος
Ὃν προσυπαντῶν, Συμεὼν προσεκύνει,
Ἴδον σε κράζων, μερόπων σωτήριον.

**Ὠδὴ γ'. Ὁ Εἱρμός.**

»Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας,
»Ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης,
»Μόνη προσευχὴ τῆς Προφήτιδος πάλαι,



»Ἄννης, φερούσης πνεῦμα συντετριμμένον,
»πρὸς τὸν Δυνάστην καὶ Θεὸν τῶν γνώσεων.

Ὄπα προφητῶν, ὁ μέγας Ἡσαΐας,
Ἔνθους κατεβρόντησεν, ὡς θεσπεσίαν,
Οἷα θεουργῶς, γαστρὶ ἕξει παρθένος,
Σύμμορφον ἡμῖν, τέξετ' δὲ ἁπάσης,
Πνοῆς δοτῆρα, κτίσεώς τε πρύτανιν.

Ἄννα Φανουήλ, Σαβαὼθ εὐχομένη,
Ἵστωρ προφήτης, ἦτορ ἡδυνομένη,
Στάσα ἀκλινῶς, τῷ ναῷ ἡδρασμένη,
Ἐκφαντορίας, ἱερᾶς κινουμένη
Κλέος βοᾷ νῦν, Ἰσραὴλ ὤφθη μέγα.

Γόνε διφυῆ, βροτὲ ἄφθαρτε λόγε,
Ἔχει σε κέντρον, γηγενῶν οἱ φύτλη,
Νημερτὲς ἀλλὰ κεντρόφυξ ἁμαρτία,
Ἔγρει με φεύγειν, σέθεν ἐξωθουμένη.
Τήν μοι βραβεύσας, δύναμιν κεντρομόλου.

**Ὠδὴ δ'. Ὁ Εἱρμός.**

»Ἄναξ ἀνάκτων οἷος ἐξ οἴου μόνος,
»Λόγος προελθὼν Πατρὸς ἐξ ἀναιτίου,
»Ἰσοσθενές σου Πνεῦμα τοῖς Ἀποστόλοις,
»Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης
»Ἄδουσι· Δόξα τῷ κράτει σου, Κύριε.

Ἄνθραξ ὁ θεῖος, παμφαέστατος λόγος,
Ὁ τοῦ Σεραφείμ, μυστικώτατος πάλαι·
Ἐν Ἡσαΐᾳ ῥύσιον δεδεγμένος
Στίλβων θεουργῶς διακόσμησιν σέθεν
Νῦν ᾧ καὶ ἡμᾶς, λαμπρύνων ῥύξαις Κράτωρ.

Ἔοικεν ᾄδειν, σὲ φυσίζωε Κόρη
Ὅλως γὰρ οὖσα, ναὸς ἡγιασμένος,
Νήπιον ἁγναῖς, Θεὸν ὠλέναις φέρεις
Ἅπασαν ἐξαίροντα, τοῦ Κόσμου λύμην
Γένος βροτῶν σύν, προσκυνοῦμέν σε πόθῳ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Νεῦσον πρὸς ὕμνους, οἰκετῶν σου παντάναξ.
Ἤματα πάντα, καχεκτούντων κατ᾽ ἦτορ.
Σφόδρα γὰρ ἡμᾶς, ἡ ῥύμη ἁμαρτίας
Ἰοῦσα ὠθεῖ, πρὸς χάρυβδ᾽ ἀργαλέως,
Νίκην κατ᾽ αὐτῆς, δὸς λατρευταῖς σου Λόγε,

ᾨδὴ ε΄. Ὁ Εἱρμός.

» Λυτήριον κάθαρσιν ἀμπλακημάτων,
» Πυρίπνοον δέξασθε Πνεύματος δρόσον,
» Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας,
«Νῦν ἐκ Σιὼν γὰρ ἐξελήθυθε νόμος,
« Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

Ἱκόμενος μίμνοντι, τῷ Σιωνίτῃ,
Κάρτιστον ἀξίωμα, σὴν παρουσίαν.
Εἰς τὸν ὁριζόμενον, ἄσπετος ὅρος,
Τιμῆεν ὅς φέρων σε νήπιον λέγει·
Ὁ οὐρανοχθόνιος, εὖ μ᾽ ἀπολύσαις.

Ἐχρηματίσθην, Πνεύματος τοῦ Ἁγίου,
Νηγάτιον δέξασθαι, Υἱόν σου Κόρη·
Προγνοὺς ἀτάρβε, νοῒ τῷ τηλεσκόπῳ
Ἀκόντιον σείομεν, ἥσει τὸ κέαρ,
Λαῶν τὰ ἀμφίβολα, ἀρθῶσιν ὅπως.

Ἀνθ᾽ ὧν νεογνῶν, τρυγόνων ζεῦγος πάλαι,
Μελδόμενον θεόσκελος, ὦ Λόγε γέρων,
Ἄννα τε σώφρων, ὁ μὲν ἔλδων κατέχει,
Ἰόντα ἡ δ᾽ αἴρουσα, ἀνθωμολόγει,
Σωτήριον πάντεσιν, ἧκες ἑδόων.

ᾨδὴ ς΄. Ὁ Εἱρμός.

» Ἱλασμὸς ἡμῖν, Χριστέ, καὶ σωτηρία,
» Ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου,
» Ἵν᾽ ὡς προφήτην θηρὸς ἐκ θαλαττίου
»Στέρνων Ἰωνᾶν τῆς φθορᾶς διαρπάσῃς,
» Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

Οἱ θανατωθέντες μέν, Ἀδὰμ ἀθλίως,
Νῦν τῷ νεῷ χαίρετε, Ἀδὰμ ἐνθέως,



Πεσῶντες ὕψει, χεῖρας εὐχαριστίας
Ῥήμασιν ἁγνοῖς, εὐλογήσωμεν βρέφος,
Ἐν ᾧ ἀφ᾽ ἡμῶν, ἠφανίσθη κατάρα.

Σωτηρία ναίοντι, ὤφθης ὦ Κράτωρ,
Βορᾶς λέοντος, ὑποφήτῃ καὶ ὄφιν,
Ὑποβρυχίως, καββαλὼν ἰοβόλον
Σώζεις κραταιῶς, δωρεᾷ φιλαγάθῳ,
Φύσιν Ἰησοῦ, τὴν ἐμὴν παμπησίην.

Ῥιγηνὸν ἡμῶν, νυκτὶ συζοῦσα πλάσις
Ἴστης παλαίων, μέχρι πρωΐας λόγε,
Τῷ Πατριάρχῃ Ἰακὼβ παντοκράτωρ
Τῆλε δὲ ὠφθείς, ὁ λόφος τῶν πταισμάτων,
Ὦ χριστοτερπῆ, λαὲ χαίρων ἀνύμνει.

ᾨδὴ ζ΄. Ὁ Εἱρμός.

» Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος,
» Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας·
» Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις
»Σεβασμιάζει τοῦ βοᾶν· Τριὰς μόνη,
» Ἰσοσθενής, ἄναρχος, εὐλογητός εἶ.

Νέων μὲν οὐχ᾽ ἥψατο, φλὸξ ἀσσυρίων
Χαίροντες οἱ δ᾽ ἔψαλλον, ὥσπερ ἐν δρόσῳ,
Αἶνον ἀχράντῳ, βασιλεῖ τῶν κτισμάτων
Ἴδμεν βοῶντες, παράδοξα καὶ ξένα·
Ῥῦστα Κράτωρ ἄφθιτε, εὐλογητὸς εἶ.

Ὤκιστα αἱ χίμαραι, αἱ μυστηρίων
Νῦν ἐξιχνιάζουσαι, αἰσχύνθητ᾽ ὅρον,
Τῇ πεπατημένῃ τε, μωρᾷ σοφίᾳ
Ἔχειν γινώσκειν, σχῆμα ὁλοκληρίας
Φατ᾽ οὐδαμῶς, πῶς πίστιν οὖν εὑρηκέναι.

Ἔσωθεν ἐξέλαμψεν, μήτρας παρθένου,
Ῥύσιον εἶν ἅπασι, τηρήσας ξένως
Ἐν τῷ παναχράντῳ, δὲ αὐτῆς ἀτόμῳ,
Ἰσχύϊ Χριστός, κλεῖθρα τῆς παρθενίας
Κράτιστα δηλώσασα, ἄφλεκτος βάτος.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

'Ωδὴ η' 'Ο Εἱρμός

»Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα
»'Ο τρισσοφεγγὴς τῆς θεαρχίας τύπος·
»'Υμνοῦσι Παῖδες, εὐλογεῖ δὲ τὸν μόνον,
»Σωτῆρα καὶ Παντουργὸν ὡς εὐεργέτην,
»'Η δημιουργηθεῖσα σύμπασα Κτίσις.

Ἄδε τὰς ᾠδάς, γλυκυθύμους ἡ κτίσις,
Ῥάνατε βουνοί, ποταμοὺς θυμηδίας
Τὰ φῶτα ἄψον, ἡμεροδρόμε φάος,
Ἧκε βροτωθέν, τὸ ἀνέσπερον ξένως·
Τοῦ θεοειδῶς, τοὺς ὁρίζοντας φάειν.

Οἷα ἑορτή, παγχαρὴς ἐπεφάνη
Ῥίμφα τὰ δεινά, τῆς προμήτορος ἴθι,
Ἀναβρυχωθεὶς γάρ, δράκων σμερδαλέος
Λειμῶνι νύκτει, τὴν δάμαρτιν ἧς ἔδει,
Λαμπρῶς Κόρη σύ, ἰάσασθαι τὴν βλάβην.

Ἄπει ἐν Ἀδάμ, Συμεὼν εὐθυβόλως.
Νηχομένῳ δή, φλογεροῖς ποταμίοις
Ἀνάστα κράζων, χαῖρε χερσὶν ἰδίαις
Σαφῶς κατέσχον, μίνγε τὸν δεσμολύτην
Ὦκα ὃς ἐκ πυλῶν σε, αἴρει τοῦ σκότους.

'Ωδὴ θ'. 'Ο Εἱρμός.

»Χαίρεις Ἄνασσα, Μητροπάρθενον κλέος·
»Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα,
»Ῥητρεῦον οὐ σθένει σε μέλπειν ἀξίως,
»Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον·
»Νοεῖν ὅθεν σε συμφώνως δοξάζομεν.

Δεῦρο πόλοιο γῆς τε τὴν πλατυτέραν
Οὐρανιώνων, ταγμάτων ὑπερτέραν
Ἱκέσια, δωροφοροῦντες τὰ μέλη
Οἰκετικῶς τε, προσκυνήσωμεν πόθῳ
Ἰδοὺ πρόκειται γάρ, σκέπη σωτήριος.

Σέλας πάναγνον, τὴν θεόδμητον φύσιν,
Γαστρὸς τυραννοῦντός τε, εἵλκυσας Λόγε,
Ὅτι φέριστον, παραδόξως πραγμάτων



Λαβεῖν με ζῶτε, ὦ ξένων δωρημάτων
Βραβεῦσαι αὖθις, σῇ ἑνώσει ὕστατα.

Ἴσμεν τρίλιστε, ὡς καθ' ἡμῶν τὰ πάθη,
Αἴρει τὸ νῖκος, ἀλλὰ πρέσβυς τυγχάνοις
Υἱέα πρεσβεύουσα, ῥυσθῆναι δίκης,
Μεταδιδοῦνται, δάπεδον ναίειν πόλου·
Καὶ νῦν δέδεξο, ὕμνον ὡς ἱκέσιον.

Ὅλην τίθημι, πρὸς σέ μου τὴν ἐλπίδα,
Πρόστηθι καὶ ῥῦσαί με, πυρὸς καὶ χάους
Οἴκτειρον οἰκτίρμονα, τέξασα λόγον
Λόγοις ἀμειβόμενον, εὐχαριστίας,
Ὦ Παντάνασσα, χαῖρε μοῖο ῥύσιον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΑΝΕΚΔΟΤΟΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΠΟΙΗΣΙΣ
# ΙΔΙΟΜΕΛΩΝ ΔΟΞΑΣΤΙΚΩΝ Κ.Λ.Π.

**Ἐκ τοῦ Ἀκυρεωτικοῦ Κώδικος Γ 74**

## ΤΗ ΚΔ΄ ΝΟΕΜΒΡΙΟΥ
### ΤΟΥ ΑΓΙΟΥ ΚΛΗΜΕΝΤΟΣ

Δόξα τῶν Αἴνων. Ἦχος α΄.

Ὁ τοὺς αὐτὸν δοξάζοντας δοξάζειν ἐπαγγειλάμενος, ὑπερεδόξασέ σε Κλήμη πανάριστε ὡς τοῖς οἰκείοις μέλεσιν αὐτὸν δοξάσαντα, τοῦ γὰρ πανσέπτου σου σώματος, τῷ βυθῷ ῥιφέντος, ὑποχωροῦν τὸ πέλαγος, τὴν ἐπ' αὐτῷ πορείαν τοῖς σὲ ποθοῦσιν ἐτησίως παρέχεται. Ὅθεν καὶ παῖδα ποτὲ ἐναπολειφθέντα τοῖς ὕδασι, ὅλον ἔτος ἀσινῆ διεφύλαξας. Σώζοις οὖν καὶ ἡμᾶς τὸ τοῦ βίου πέλαγος διαπλέοντας, καὶ πρὸς θεῖον ὅρμον ἐπανάγοις πρεσβείαις σου, ἱερομάρτυς Ἀπόστολε.

### ΤΟΥ ΑΓΙΟΥ ΠΕΤΡΟΥ

Δόξα τῶν Ἀποστίχων. Ἦχος δ΄.

Τὴν παγκόσμιον λύραν τοῦ Πνεύματος, ἐν ᾠδαῖς καὶ ᾄσμασι, μελῳδοῦντες ὑμνήσωμεν τοῦ κορυφαίου τὸν συνώνυμον, καὶ ἔργοις συμμέτοχον, μαρτυρίου γὰρ σφραγὶς γενόμενος, τὸν ἀρχέκακον δράκοντα, τροπωσάμενος ἤλεγξε, καὶ Χριστὸν ἐκήρυξεν ὑπάρχειν ἀσυγχύτως Θεόν, ᾧ πάντες κράξωμεν, Ἱεράρχα καὶ μάρτυς Χριστοῦ, Χριστὸν τὸν Θεὸν ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## ΤΗ Λ΄ ΝΟΕΜΒΡΙΟΥ
### ΤΟΥ ΑΓΙΟΥ ΑΝΔΡΕΟΥ ΤΟΥ ΠΡΩΤΟΚΛΗΤΟΥ

Καὶ τόδε ἰδιόμελον σὺν τοῖς ἄλλοις εἰς τὴν λιτήν.

Ἦχος α΄.

Τῆς Ἐκκλησίας ὁ στύλος, ὁ θεμέλιος τῆς πίστεως· ἡμῶν ὁ πρόβολος τῶν εὐσεβῶν δογμάτων, τῆς ἀληθείας ὁ κῆρυξ, τῆς Οἰκουμένης ὁ φωστήρ, ὁ μέγας Ἀνδρέας ὁ Ἀπόστολος Χριστοῦ, τὰ ἄνω περιπολεύων τοῖς κάτω δᾳδουχεῖ· ἐν μνήματι κείμενος ἐνεργεῖ τοῖς θαύμασι, ἡμῖν ὀπτανόμενος τοῦ θρόνου οὐκ ἀφίσταται, τῆς χάριτος ἐκεῖθεν ἡμῖν τῶν πταισμάτων τὴν ἄφεσιν ἀρυόμενος καὶ τὸ μέγα ἔλεος.



## ΤΗ Ε΄. ΔΕΚΕΜΒΡΙΟΥ
### ΤΟΥ ΑΓΙΟΥ ΣΑΒΒΑ ΤΟΥ ΗΓΙΑΣΜΕΝΟΥ

Καὶ τόδε τὸ τροπάριον εἰς τὴν λιτήν.

Ἦχος β΄.

Τῶν ὑπὲρ νοῦν ἀγαθῶν δεξάμενος ἔρωτα, πάντα τὰ ἐν κόσμῳ τερπνὰ ὑπερεῖδες θεόπνευστε, ἐντεῦθεν γὰρ τῷ καρπῷ οὐχ ἥλω καθάπερ Ἀδάμ, τὸν ὄφιν δὲ ἐναποκρουσάμενος δι' ἐγκρατείας, ἀγγελικῶς τὸν βίον διήνυσας. Καὶ νῦν ἐν οὐρανοῖς αὐλίζει ἐπαπολαύων τοῦ ξύλου τῆς ζωῆς, Θεὸν ἱλεούμενος ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἐκτελούντων, ἡγιασμένε Σάββα τὴν μνήμην σου.

Εἰς τοὺς Αἴνους. Δόξα ἦχος β΄.

Ἀσκητικῶν καμάτων στήλην τὴν Εὐθυμίου ἐζήλωσας σοφέ, τελειότητα ἐν ἀρεταῖς, ὅσιε Σάββα, καὶ τῶν ἐντολῶν ταῖς θείαις ἐργασίαις, ὡς αὐτοῦ ἔμψυχος ὤφθης καρπός, καὶ τούτου διάδοχος ἀξίως ἀνεδείχθης. Ἀλλ' ὑπὲρ ἡμῶν πρέσβευε, τῶν ἐν πίστει τιμώντων τὴν μνήμην σου, ὡς Θεῷ παριστάμενος, καὶ τῷ κόσμῳ αἰτούμενος ἄφεσιν καὶ πταισμάτων λύτρωσιν.

## ΤΗ ΣΤ΄ ΔΕΚΕΜΒΡΙΟΥ
### ΤΟΥ ΑΓΙΟΥ ΝΙΚΟΛΑΟΥ

Τροπάριον καὶ τόδε τῆς λιτῆς.

Ἦχος πλ. α΄.

Ὁ συμπαθὴς ποταμός, ἡ τοῦ ἐλέους πηγή, Ἀρχιερεῦ Κυρίου, θεοφόρε Νικόλαε, ὁ τῶν κινδύνων ἁρπάζων, ὁ κράτιστος σύμμαχος, δεῦρο καλούμενος, τὰ τελούμενά σοι σήμερον, φιλοθέῳ διανοίᾳ, εὐλαβῶς πανηγυρίζοντες, τὴν μνήμην τῶν ἐγκαινίων, τοῦ πανενδόξου καὶ σεπτοῦ οἴκου σου μακάριε, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς σὲ γεραίροντες· χαίροις ὁ ταχύς, εἰς τὸ σώζειν τοὺς προσκαλουμένους σε, τὸν σὸν Δεσπότην καὶ Θεὸν ἐκτενῶς ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## ΤΗ Θ΄ ΔΕΚΕΜΒΡΙΟΥ
### Η ΣΥΛΛΗΨΙΣ ΤΗΣ ΑΓΙΑΣ ΑΝΝΗΣ

Τροπάριον ἦχος πλ. β΄.

Θεοτόκε Παρθένε, μῆτερ ἀπειράνδρε, ἡ πανάχραντός σου σύλληψις παγγενῶς τὰ πέρατα πρὸς αἴνεσιν συνήγειρε, αρθέ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νοι σκιρτῶσι, τῆς πανάγνου σου καὶ καθαρᾶς παρθενίας τιμῶσαι τὸ ὑπέρλαμπρον· μητέρες ταῖς μητράσι συναγάλλονται, πρεσβῦται σὺν νεανίσκοις, χαρμονικῶς σήμερον σὺν τοῖς θεοφόροις γεννήτορσι συγχορεύουσιν, ἅπασα κτίσις μέλπει, ταῖς σειραῖς γὰρ τῶν πταισμάτων συλληφθεῖσα, ἐξαιτεῖται τὴν τούτων λύσιν ἐφευρεῖν καὶ τὸ μέγα ἔλεος.

**Ἕτερον, ὁ αὐτός.**

Σήμερον ἡ στεῖρα Ἄννα, συλλαμβάνει θεόπαιδα, τὴν ἐκ πασῶν τῶν γενεῶν, προεκλεχθεῖσαν εἰς κατοίκησιν, τῷ παμβασιλεῖ τῶν ὅλων Χριστῷ τῷ Θεῷ, εἰς ἐκπλήρωσιν τῆς θείας οἰκονομίας, δι᾿ ἧς ἀνεπλάσθημεν οἱ γηγενεῖς, καὶ ἀνεκαινίσθημεν ἐκ φθορᾶς πρὸς ζωὴν τὴν ἄφθαρτον.

## ΤΗ Ι.΄ ΔΕΚΕΜΒΡΙΟΥ

### ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΜΗΝΑ, ΕΡΜΟΓΕΝΟΥΣ ΚΑΙ ΕΥΓΡΑΦΟΥ

**Τροπάριον. Ἦχος πλ. α΄.**

Ζηλωτὴν ὑπάρχοντα τῆς ἀσεβείας πρότερον, ζηλωτὴν θερμότατον ἀπειργάσω Ἑρμογένην τὸν σοφόν, Μηνᾶ παμμακάριστε· ἐπεὶ γὰρ βρέμων τῷ θυμῷ κατὰ σοῦ ἐπέστη, τυράννου προστάξαντος, καὶ ἀφειδῶς σε ταῖς μάστιξιν κατεκείσατο, καὶ μεληδὸν κατατεμὼν ὀρνέοις εἰς βορρᾶν προτέθεικεν· Θεὸς δὲ ὁ παράδοξα ἐργαζόμενος, θαυματουργεῖ καὶ ἐπὶ σοί, καὶ σῶον πάλιν ἀπεκατέστησε· καὶ τῷ τοιούτῳ θαύματι τὸν ἔνδοξον Ἑρμογένην, πρὸς ἑαυτὸν ἐφελκύσατο, καὶ μάρτυρα σὺν Εὐγράφῳ τῷ κλεινῷ ἀπειργάσατο· καὶ ταῖς ὑμῶν πρεσβείαις ἐπικαμπτόμενος ὁ φιλάνθρωπος, παρέχει ἡμῖν πταισμάτων τὴν ἄφεσιν καὶ τὸ μέγα ἔλεος.

## ΤΗ ΙΑ.΄ ΔΕΚΕΜΒΡΙΟΥ

### ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ, ΚΤΙΤΟΡΟΣ ΤΗΣ ΜΟΝΗΣ ΛΑΥΡΑΣ

**Ἦχος πλ. α΄.**

Τὸν ὀρθόδοξον καὶ εὐσεβῆ βασιλέα, τὸν τῇ κλήσει κατάλληλον, καὶ τὴν πρᾶξιν κεκτημένον, τὸν νικητὴν τῶν παθῶν, καὶ των ἀθέων ὀλεθρευτήν, νικητικοῖς διαδήμασιν στεφανώσωμεν θεόφρονες· καὶ τὴν ἱερὰν καὶ σεβάσμιον αὐτοῦ κοίμησιν, ἐνδόξως ὑμνήσωμεν λέγοντες· χαίροις ὁ φαεινότατος ἀστήρ, ὁ τὸ ζοφῶδες νέφος τῆς ἀγνοίας διώκων· χαίροις βασιλέων καλλονή, καὶ μαρτύρων ἐγκαλλώπισμα, χαίροις θλιβομένων παραμυθία, αἰχμαλώτων λύτρωσις καὶ βαρβάρων ὀλετὴρ κραταιέ, βράβευσον ἡμῖν ἱκεσίαις σου ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.



**Ἕτερον. Ἦχος πλ. β΄**

Εὐσεβείᾳ συντραφείς, καὶ τρόποις χρηστοῖς τὸν οἰκεῖον κατακοσμήσας βίον, ἀρετῶν ἐνθέων ἀπεικόνισμα, γεγένησαι Νικηφόρε νίκης φερώνυμε. Διὸ τὰ σκῆπτρα τῆς ἐπιγείου θεόθεν κληρωθεὶς βασιλείας, τοῦ χριστωνύμου λαοῦ τὴν ἡγεμονίαν ἐμπεπίστευσαι. Ἀλλ᾿ ὁ τοῦ φθόνου γεννήτωρ σατάν, τοὺς τῆς ἀνομίας ἐργάτας διεγείρας κατὰ σοῦ, ἀπροόπτως σοι θάνατον τὸν ἄδικον ἐτεκτήναντο· δι᾿ οὗ συνόμιλος τῷ δικαίῳ Ἄβελ γεγονώς, καὶ σὺν αὐτῷ τῆς ἀδιαδόχου ἀπολαύων χαρᾶς, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## ΤΗ ΙΖ.΄ ΔΕΚΕΜΒΡΙΟΥ

### ΤΟΥ ΑΓΙΟΥ ΠΡΟΦΗΤΟΥ ΔΑΝΙΗΛ

**Ἦχος πλ. β΄.**

Ὁ τοὺς Παῖδας ἐν Βαβυλῶνι παντοδύναμε, τοὺς τῷ φόβῳ σου ὑπὲρ πάντας στηριχθέντας, καὶ μὴ προσκυνήσαντας τῇ εἰκόνι τῇ χρυσῇ, ἐκ τῆς φλογὸς τῆς καμίνου ἀβλαβεῖς διαφυλάξας· καὶ ἡμᾶς περίσωσον βοῶντάς σοι· τάχυνον, ὦ οἰκτίρμον, καὶ σπεῦσον ὡς ἐλεήμων εἰς τὴν βοήθειαν ἡμῶν ὅτι δύνασαι βουλόμενος.

## ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΠΡΟΠΑΤΟΡΩΝ

**Ἦχος α΄.**

Τῶν πρὸ νόμου Πατέρων σήμερον τὸν σύλλογον τιμήσωμεν, Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ μετὰ νόμον Μωϋσῆν καὶ Ἀαρὼν καὶ Σαμουὴλ σὺν Δανιὴλ Ἀνανίαν Ἀζαρίαν Μισαήλ, προεορτάζοντες Χριστοῦ τοῦ Θεοῦ τὴν σωτήριον γέννησιν.

### ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ

**Ἦχος πλ. β΄.**

Δόξα τῷ Θεῷ τῷ ἐν Ὑψίστοις, τῷ πρὸ αἰώνων ἐκ Πατρὸς φύντι, καὶ νῦν προσδοκομένῳ βρέφος ἐκ Παρθένου προελθεῖν· Διὸ εὐφραίνεται χορὸς Προφητῶν, ἀγάλλεται Πατέρων πληθύς· μάγοι προσφέρουσι δῶρα, ποιμένες ὕμνον καινὸν καὶ μία σὺν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀγγέλοις βροτῶν τελεῖται λειτουργία· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Βασιλεὺς τοῦ Ἰσραήλ.

**Ἦχος α΄.**

Εὐφράνθητε οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, ἰδοὺ γὰρ ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ. ὁ συνάναρχος καὶ συναΐδιος τῷ Πατρί, ὁ ῥήματι τὰ πάντα συστησάμενος, καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν ὡς παντοδύναμος. οὐκ ἀπηξίωσεν υἱὸς γενέσθαι γυναικός, εὐδοκίᾳ γὰρ τοῦ γεννήτορος. καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, ἔρχεται τεχθῆναι ἐν πόλει Βηθλεέμ, ἐκ κόρης ἀπειράνδρου εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β΄.**

Τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον ἤγγικε, καὶ τῶν Προφητῶν αἱ προρρήσεις πεπλήρωνται· ἰδοὺ γὰρ ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἐκ Κόρης ἀπειράνδρου τεχθῆναι παραγέγονε, τοῦ Ἰούδα τὴν φυλήν, ἀξίως τιμήσωμεν, τοῦ Εὐφραθᾶ οἶκος ἑτοιμάζου, Βηθλεὲμ εὐτρεπίζου ἐν φόβῳ, ἦλθε γὰρ ἡ λύτρωσις καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Ἦχος πλ. β΄.**

Τὴν πρὸς ἡμᾶς ἐκτελῶν συγκατάβασιν ὁ ἐπὶ θρόνου Χερουβεὶμ ἐποχούμενος, ἐν κοιλίᾳ τῆς ἀπειρογάμου Μητρὸς, παραγίνεται Χριστὸς ὁ Θεὸς ἐν πόλει Δαβίδ· Προεορτάσωμεν λαοὶ πνευματικῶς κραυγάζοντες· Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία, τῷ ἐλθόντι σῶσαι ἐκ πλάνης τὰς ψυχὰς ἡμῶν.

**Ὁ αὐτός.**

Ἀδιήγητον πέλαγος δι᾿ αἰῶνος ἐμφανίζεται· ἐπὶ τῆς γῆς γὰρ προῆλθε Χριστὸς ὁ Κύριος· Μαρία ὑπεδέξατο τὸν ἐν πᾶσιν ἀχώρητον, καὶ φέρει ἐν κοιλίᾳ τὸν ἑαυτῆς ποιητήν, μυστήριον φοβερόν, καὶ παράδοξον, ἐκπλήττει καὶ ἀγγέλους τὸ τελούμενον, ὁ ἄναρχος ἄρχεται, ὁ λόγος παχύνεται, ὁ Θεὸς ἄνθρωπος γίνεται, διὸ τῇ Παρθένῳ ὕμνον ἀναπέμψωμεν· χαῖρε Θεοτόκε ὁ Κύριος μετὰ σοῦ.



## ΜΕΘΕΟΡΤΑ

Ἕτερα στιχηρὰ μεθέορτα τῆς Χριστοῦ γεννήσεως φέροντα ἀκροστιχίδα «ᾆσμα».

**Ἦχος α΄.**

Ἄσατε λαοί, τὸν γεννηθέντα Σωτῆρα, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας σῶσαι τὰς ψυχὰς ἡμῶν. (1)

Μάγοι ἐκ Περσῶν, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, ὡς βασιλέα τῆς δόξης, Χριστῷ τεχθέντι νῦν προσήγαγον.

Ἁπάντων πιστῶν, σήμερον ὁ θίασος ἅμα μετὰ ποιμένων καὶ μάγων, Χριστὸν δοξολογήσωμεν.

**Ἰδιόμελα ἦχος α΄.**

Τὸ φῶς ἀνέτειλεν ἐν σπηλαίῳ τὸ ἄδυτον Χριστὸς ὁ Θεός, εἶδε τοῦτο ὁ πρωτόπλαστος Ἀδὰμ καὶ ἀνέβλεψεν· εἶδεν Εὔα καὶ γέγηθε, καὶ τὸ γένος ἐσκίρτησε τῶν ἄνωθι, χοροὶ δὲ τῶν Ἀγγέλων ἐβόων. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων συναστράψαντα, ὡς Υἱὸν τῷ κόσμῳ συνδιαιτόμενον δόξῃ τῇ πατρικῇ, νῦν δὲ ἐπ᾿ ἐσχάτων ἀγκάλαις Μητρὸς ὡς ἐν θρόνῳ καθεζόμενον, καὶ ὑπ᾿ ἀγγέλων καὶ μάγων προσκυνούμενον ὑμνήσωμεν.

**ΕΤΕΡΑ**

**Πρὸς τό: Σήμερον ὁ Χριστὸς ἐν Βηθλεέμ...**

**Ἦχος β΄.**

Σήμερον ἡ Παρθένος ἔτεκε τὸν δεσπόζοντα ἁπάντων. Σήμερον ἐν τῇ φάτνῃ τίθεται, ὁ τιθεὶς θαλάσσῃ ψάμμον καὶ σπαργάνοις ὡς βρέφος ἐνειλίσσεται· ᾧ τὰ Χερουβὶμ τρόμῳ παρίστανται, χοροὶ δὲ ἀγγέλων θαυμάζουσι, τὸ παράδοξον ὁρῶντες μυστήριον· ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν· δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Βλέποντες τὴν ἔνδοξον γέννησιν, οἱ χοροὶ τῶν Ἀσωμάτων, τῷ φόβῳ ἐξίσταντο λέγοντες, τοῖς Ποιμέσι τὸν τόκον κατανήσατε ἐν Βηθλεέμ, καὶ ἴδετε τὸν τεχθέντα ἐν αὐτῇ Χριστὸν ὑμνήσατε· χοροὺς συγκροτήσατε, σήμερον βοῶντες εὐχαρίστως αἰσίαις φωναῖς, σὺν πόθῳ ἀκαταπαύστως βοῶντες· Δόξα ἐν ὑψίστοις Θεῷ.

(1) Λείπει ἓν τροπάριον ἀρχόμενον ἀπὸ Σ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἦχος πλ. α'.

Ἡ ἀπαρχὴ τῆς ἡμῶν σωτηρίας, λαοί, ἐν Βηθλεὲμ γεννᾶται, σπαργάνοις ἐνειλίσσεται ὁ περιβάλλων νέφει τὸν πόλον προστάγματι· καὶ ἀγραυλοῦντες ποιμένες ἀκήκουον τὴν τῶν ἀγγέλων ὑμνῳδίαν καὶ κατέσπευσαν θεάσασθαι· εὗρον δὲ ἐν τῷ σπηλαίῳ βρέφος κείμενον τὸν ἄχρονον.

Ὁ ἀρχηγὸς τῆς ἡμῶν σωτηρίας, λαοί, ἐν Βηθλεὲμ γεννᾶται σαρκί· ὁ τῇ δρακὶ κατέχων τὰ πάντα ὡς Κύριος, ὃν προσκυνοῦντες ποιμένες ἀνύμνησαν, μετὰ Ἀγγέλων ἐπαξίως· καὶ κατέσπευσαν θεάσασθαι· εἶδον γὰρ ἐν τῷ σπηλαίῳ, ὃν οὐκ εἶδον ἄνω Ἄγγελοι.

Ἦχος πλ. β'.

Ὁ τοῦ Πατρὸς Υἱὸς καὶ Λόγος, σήμερον ἐν Βηθλεὲμ γεννᾶται ἐκ Παρθένου, καὶ τοῖς βροτοῖς συνανεστράφη, ὁ θεότητι πληρῶν τὰ σύμπαντα· καὶ μάγοι σὺν τοῖς ποιμέσι ἀγγελικὸν ὕμνον, ὡς ἐν Προφήταις βοᾶν διὰ θείου Πνεύματος διδάσκει. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὁ αὐτός.

Μετὰ σαρκὸς προῆλθες ἐκ Παρθένου ὁ ἐν ἀρχῇ τὸν οὐρανὸν ποιήσας, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, καὶ ἀνασχόμενος γενέσθαι ἐν δούλου μορφῇ δι' ἡμᾶς, Κύριε δόξα σοι.

## ΤΗ Δ'. ΙΑΝΟΥΑΡΙΟΥ

**Στιχηρὰ εἰς τὴν ὀκταήμερον περιτομὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.**

Ἦχος α'.

Τίς τὰς αἰνέσεις σου Λόγε, ἢ τῆς προνοίας τὸ βάθος ἀξίως ἀνυμνήσει; οὐ γὰρ ἐν τῇ κατὰ σάρκα πρώην ἀπορρήτῳ γεννήσει σου ἐξέστησαν, οὐ μόνον αἱ ἄνω δυνάμεις ἀλλὰ καὶ ἐν τῇ φρικτῇ καὶ θείᾳ Περιτομῇ σου, δι' ἧς τὸν κόσμον τῆς ἐμπαθοῦς ζωῆς ἠλευθέρωσας, παντοδύναμε Κύριε δόξα σοι.

Ὁ αὐτός.

Τὰ Σεραφὶμ εἰκονίζοντες Ἰησοῦ ὁ Θεὸς ἡμῶν, τὸν τρισάγιον ὕμνον βοῶμέν σοι· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ ἄχρονος καὶ ἐν χρόνῳ, ὁ ἀμήτωρ ἄνω, καὶ κάτω ἀπάτωρ, διὰ τὴν ἡμῶν σωτηρίαν,



ὁ ἀπρόσιτος τοῖς ἀγγέλοις. καὶ βροτοῖς προσιτός· ὁ περιτομὴν σαρκικῶς καταδεξάμενος, καὶ σωτηρίαν ἄμαχον δωρησάμενος, Σωτὴρ γὰρ κληθεὶς ὁ ἀκατανόμαστος, σώζεις ἀεί με βοᾶν σοι, Κύριε δόξα σοι.

Συγκαταβαίνων ὁ Σωτήρ, τῷ γένει τῶν ἀνθρώπων, κατεδέξατο σπαργάνων περιβολήν· οὐκ ἐβδελύξατο σαρκὸς τὴν περιτομήν· ὁ ὀκταήμερος κατὰ τὴν Μητέρα, ὁ ἄναρχος κατὰ τὸν Πατέρα. Αὐτῷ πιστοὶ βοήσωμεν· Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

Ἦχος πλ. δ'.

**Στιχηρὰ Ἰωάννου μοναχοῦ εἰς τὸν Ἅγιον Βασίλειον**

Ἦχος α'.

Ἐπαξίως ἐκλήθης, τῆς Χριστοῦ βασιλείας ἐπώνυμος παμμακάριστε Βασίλειε, τοῦ γὰρ θείου Πνεύματος θεοπρεπὲς χρηματίσας ἐνδιαίτημα, τῆς αὐτοῦ θεωρίας ἐπὶ γῆς ὡς ἐφικτὸν κατετρύφησας τοὺς ἀρραβῶνας τῶν μελλόντων ἀγαθῶν, νῦν δὲ τρανώτερον τοῦ τρισηλίου ἀπολαύων φωτός, μνημόνευε καὶ ἡμῶν παρεστὼς τῇ Τριάδι τῇ ὁμοουσίῳ.

Ἦχος β'.

Ἐκ θείας καὶ ἀνεικάστου προνοίας τῷ κόσμῳ δεδωρημένος Βασίλειε, ὁ ἐκλήθης γεγένησαι ὡς προκεκλημένος ὅπερ ἔσεσθαι ἔμελλες· λόγῳ γὰρ βασιλεύσας τῶν παθῶν τῆς Χριστοῦ βασιλείας ἠξίωσαι. Πρέσβευε καὶ ἡμᾶς τοῦ θείου πόθου τυχεῖν ἱεροφάντα Βασίλειε.

Ὁ αὐτός.

Βασιλείας τῆς τοῦ Χριστοῦ ἱερατεύσας Θεοῦ τε τῆς βασιλείας ἐπώνυμε· σὲ ἡ χάρις τοῦ Πνεύματος τέμενος εὑροῦσα ἅγιον ἐν σοὶ ἐπανεπαύσατο. Ὅθεν οὖν ἐκδημήσαντα τοῖς οἰκείοις λειμῶσιν ἐσκήνωσεν. Πρέσβευε καὶ ἡμᾶς τοῦ θείου πόθου τυχεῖν, ἱεροφάντα Βασίλειε.

Ἦχος πλ. α'.

Φυγὰς γενόμενος, τῶν λαφύρων ὅσιε σαρκὸς ὑπερορᾶν προέκρινας, καὶ ταύτην τῷ πνεύματι οὕτω καθυπέταξας ὡς πολέμιον· ἀναβάσεις γὰρ ἔνθεν ἐν καρδίᾳ θέμενος, ὡς ἐκ βαθμοῦ εἰς βαθμόν, καὶ ἐκ δόξης εἰς δόξαν καθεκάστην προβαίνων, ἐκή-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρυττες ἐνθέως τὴν εὐσέβειαν· αἱρεσιαρχῶν ὀλετήρ, καὶ ψυχῶν θεραπευτής, Ἀγγέλων ὁμοδίαιτος καὶ Χριστὸν εἰς αἰῶνας ἀνυμνεῖς ὡς Θεόν. Ἀλλὰ Πάτερ, πατέρων ἀξιάγαστε, λαμπτὴρ οἰκουμένης, Βασίλειε θεοφάντορ, αἴτησαι ἡμῖν παρὰ Χριστοῦ τοῦ Θεοῦ, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

---

## ΤΗ Β΄. ΙΑΝΟΥΑΡΙΟΥ

### ΠΡΟΕΟΡΤΙΑ ΤΩΝ ΑΓΙΩΝ ΦΩΤΩΝ

Ἦχος α΄.

Τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον ἐν Ἰορδάνῃ σήμερον μολεῖ πρὸς τὸ Βάπτισμα. Συμπορευθῶμεν αὐτῷ καὶ συμβαπτισθῶμεν, τῷ αἴροντι τὴν ἁμαρτίαν τοῦ κόσμου, Χριστῷ τῷ Θεῷ ἡμῶν, ἵνα καὶ ἡμεῖς υἱοὶ φωτὸς γενώμεθα.

**Ἄλλα στιχηρὰ πρὸς τὸ «Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων».**

**Ἦχος πλ. δ΄.**

Ὁ σαρκωθεὶς λόγος τοῦ Πατρός, καὶ μὴ τραπεὶς ἀλλὰ μείνας Θεὸς καὶ ἄνθρωπος ἥκει πρὸς τὸ Βάπτισμα ἐν ῥείθροις τοῦ Ἰορδάνου· καὶ φησὶν ὁ ἐκ στείρας λύχνος καὶ Πρόδρομος· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; Σὺ μὲ ἁγίασον Δέσποτα τῇ θείᾳ ἐπιφανείᾳ σου, ὁ μόνος ἐν φιλανθρωπίᾳ ἀνείκαστος.

Ἦχος β΄.

Χριστὸς ὁ Σωτὴρ ἡμῶν, ὁ ἐκ Θεοῦ Θεὸς λόγος ἐν ῥείθροις Ἰορδάνου ἥκει πρὸς τὸ Βάπτισμα, καθάραι θέλων ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν, τῇ αὐτοῦ ἐπιφανείᾳ ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἦχος α΄.

Ὢ τοῦ παραδόξου θαύματος, ὁ ἐν Πνεύματι ἁγίῳ βαπτίζων καὶ πυρί, ἐν Ἰορδάνῃ ἔρχεται βαπτισθῆναι ὑπὸ Ἰωάννου, Θεὸς οὐ γυμνός, οὐδὲ ἄνθρωπος ψιλός· ἀλλὰ Θεὸς καὶ ἄνθρωπος, εἷς ὁ αὐτὸς Υἱὸς μονογενής· ζητῶν μὲν τὸ Βάπτισμα ὡς ἄνθρωπος δι᾽ ἡμᾶς, αἴρων δὲ ὡς Θεὸς τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχων πᾶσι τὸ μέγα ἔλεος.

**Ὁ αὐτός.**

Ἐπεφάνη ἐν κόσμῳ τὸ φῶς τὸ ἄδυτον, καὶ ἔλαμψε τοῖς ἐν σκότει ὁ ἥλιος τῆς δικαιοσύνης· ἰδοὺ γὰρ ἔρχεται ἐν δούλου



μορφῇ, βαπτισθῆναι ὑπὸ Ἰωάννου· οἱ ἐξ Ἀδὰμ ἀπόγονοι εὐφραίνονται, δι᾽ ὕδατος γὰρ ἀναχωνεύει δίχα συντρίψεως τὰς ἁμαρτίας ἡμῶν. Ἰορδάνη ὑποδέχου τὸν Ἀμνὸν τοῦ Θεοῦ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα πᾶσι τὸ μέγα ἔλεος.

**Ἦχος πλ. α΄.**

Ἐν Ἰορδάνῃ ποταμῷ Χριστὸς ὁ Θεὸς ἡμῶν, μολεῖ πρὸς τὸ Βάπτισμα, καθάραι θέλων ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν τῇ αὐτοῦ ἐπιφανείᾳ ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

**Ὁ αὐτός.**

Ἔρχεται Χριστὸς πρὸς τὸν Ἰορδάνην ἐν δούλου μορφῇ καθάραι θέλων ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν, καὶ ἁγιάσαι τῶν ὑδάτων τὴν φύσιν, ὁ μόνος ἔχων τὸ μέγα ἔλεος.

**Ἦχος πλ. δ΄.**

Ἐπεφάνη ἐν σαρκί, ὁ συνοχεὺς τῶν ἁπάντων, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ ἔλαμψε πᾶσι τὸ φῶς τὸ ἀΐδιον. Ἔρχεται γὰρ πρὸς τὸν Ἰορδάνην ἐκπλῦναι θέλων τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ καθάραι πάντας τοὺς κραυγάζοντας αὐτῷ Κύριε δόξα σοι.

**Ἰωάννου μοναχοῦ. Ἦχος β΄.**

Σήμερον ὁ Χριστὸς ὑπὸ Πατρὸς Υἱὸς προσμαρτυρεῖται. Σήμερον τὸ Πνεῦμα κατέρχεται, περιστερᾶς ἐν εἴδει, τῶν Ἀγγέλων αἱ στρατιαὶ θαυμάζουσι, τὸν Δεσπότην καθορῶσαι γυμνούμενον· Ἰορδάνης ἐν ὕδασι δέχεται, Ἰωάννης βαπτίζει δὲ σύντρομος· ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν, δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

**Ἦχος β΄.**

Πάλιν Ἰησοῦς ὁ ἐμὸς καθαίρεται ἐν τῷ Ἰορδάνῃ, μᾶλλον δὲ καθαίρει τὰς ἁμαρτίας ἡμῶν· ἔρχεται γὰρ ἀληθῶς ἐπὶ τὸ Βάπτισμα, ἐκπλῦναι θέλων τοῦ Ἀδὰμ τὸ χειρόγραφον· καὶ φησὶ πρὸς τὸν Ἰωάννην· δεῦρο ὑπηρέτησον, ὦ Βαπτιστά, μυστηρίου ξένου τὸ κεφάλαιον· δεῦρο ἔκτεινον τὴν σὴν χεῖρα ταχύ, καὶ ἅψαι τῆς κορυφῆς τοῦ συντρίψαντος τὴν τοῦ δράκοντος κεφαλὴν καὶ ἀνοίξαντος τὸν Παράδεισον, ὃν ἔκλεισεν ἡ παράβασις, ἀπάτῃ τοῦ ὄφεως, τῇ γεύσει τοῦ ξύλου ποτέ.

**Κοσμᾶ. Ἦχος α΄.**

Σήμερον ἡ ἀναφής, καὶ ἄϋλος φύσις ὑπὸ χειροθεσίαν γέγονε πηλοῦ. Σήμερον τὸ πῦρ τῆς θεότητος δι᾽ ὕδατος τὴν ἁμαρ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τίαν κατέφλεξε. Σήμερον ἐν Ἰορδάνῃ βαπτίζεται, ὁ ἐν ὕδασι θεμελιώσας τὴν γῆν, τῆς πατρικῆς φωνῆς μαρτυρούσης αὐτοῦ τὴν υἱότητα, ἡ τοῦ Πνεύματος παρουσία δημοσιεύει τὴν θεότητα· ἣν προσκυνοῦντες ψάλλομεν· ὁ ἀχωρίστως ἐν Τριάδι δοξαζόμενος, Θεὸς ἡμῶν δόξα σοι.

Ἕτερα. Θεοφάνους. Ἦχος πλ. β'.

Τὸ ἀπ' αἰῶνος μυστήριον βουλόμενος ἐκτελέσαι, προῆλθες Δέσποτα ἐν τῷ Ἰορδάνῃ· Θεὸς γὰρ ὢν δούλου μορφὴν περιθέμενος, ἀνεχώνευσας καὶ καθῆρας τὴν παλαιὰν ἁμαρτίαν, εὐσπλαγχνίᾳ ἥνπερ ἐνεδύσω· σὺ γὰρ ἀρρήτῳ συγκαταβάσει, ἡγίασας τὰ πάντα, Κύριε δόξα σοι.

Τί ἀναβάλλει βαπτίσαι με, τί δέδοικας; ὑπουργεῖσαί μοι δεῦρο, πλῦνόν με ἐν τῷ Ἰορδάνῃ, ἐγὼ πλυνῶ σε ἐν ἐμοί, ἐπὶ τοῦτο γὰρ παραγέγονα τὸν Ἀδὰμ ἐκκαθᾶραι, τῷ Προδρόμῳ Δέσποτα ἐβόας· ὢ τῆς ἀφάτου σου εὐσπλαγχνίας, δι' ἧς ἔσωσας πάντας Κύριε δόξα σοι.

Ἦχος πλ. δ'

Κύριε πληρῶσαι προθέμενος, τὴν ἅπασαν δικαιοσύνην, ὑπὸ δούλου τὸ βάπτισμα κατηξίωσας δέξασθαι, τὴν νεκρωθεῖσαν τῇ ἁμαρτίᾳ ἀνθρώπων φύσιν ἀνακαινίζων, τῇ τοῦ Παρακλήτου δυνάμει, ἐπὶ τῶν ὑδάτων τοῦ Ἰορδάνου, ἐν ᾧ τὸ παγκόσμιον ἠργάσω καθάρσιον Σωτὴρ ἡμῶν δόξα σοι.

Κύριε, ζητῆσαι βουλόμενος τὸ πρόβατον τὸ ἀπολωλός, ἐπ' ἐσχάτων τῶν χρόνων ἐπὶ γῆς ὤφθης ὁ πρὸ αἰώνων Θεός, ὁ ὑπ' ἀγγέλων ἀνυμνούμενος, ὑπὸ τοῦ δούλου ἐβαπτίσθης, τὰ Ἰορδάνου ῥεῖθρα περιβάλλου· διὸ προσκυνοῦμέν σε τὸν μόνον φιλάνθρωπον Σωτὴρ ἡμῶν δόξα σοι.

Ἕτερον. Κοσμᾶ. Ἦχος πλ. α'.

Ἀπελήλαται μὲν ἡ πλάνη, καὶ θεοσεβείας τὸ φῶς τοῖς ἐπὶ γῆς ἐξέλαμψεν, τοῦ γὰρ Πνεύματος μαρτυροῦντος τῷ Υἱῷ βαπτιζομένῳ, καὶ τοῦ θείου Πνεύματος κατιόντος ἐπ' αὐτῷ, μία τῆς Τριάδος τῆς παναγίας θεότητος τοῖς πιστοῖς ἐγνώσθη.



## ΤΗ ΙΣΤ'. ΙΑΝΟΥΑΡΙΟΥ
### ΤΗΣ ΤΙΜΙΑΣ ΑΛΥΣΕΩΣ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΕΤΡΟΥ

**Ἦχος δ'.**

Ὁ τοὺς πεπεδημένους Θεὸς ἐξάγων ἐν ἀνδρείᾳ, σύνεδρόν σε καὶ πρωτόθρονον Ἀπόστολε Πέτρε κορυφαῖε ἀνέδειξε· καὶ τοὺς δεδεμένους σειραῖς ἁμαρτιῶν λύοντα τῷ λόγῳ τῆς δυνάμεως, αὐτός σοι δεδώρηται, ὑπὲρ οὗ καὶ τὰς ἁλύσεις ταύτας ἐφόρεσας ὑπὲρ μαργαρίτας, καὶ λίθους τιμίους, ταύταις μᾶλλον ἐκαλλωπίσθης· ἃς προσκυνοῦντες σήμερον, αἰτοῦμέν σοι βοῶντες· λῦσον ἡμᾶς τοῦ δεσμοῦ τῶν πταισμάτων, ὁ δε μεῖν καὶ λύειν λαβὼν τὴν ἐξουσίαν ἐπὶ γῆς παρὰ τοῦ Σωτῆρος Χριστοῦ. Αὐτὸν ἱκέτευε θεομακάριστε Ἀπόστολε δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

## ΤΗ ΙΖ'. ΙΑΝΟΥΑΡΙΟΥ
### ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΝΤΩΝΙΟΥ

**Ἦχος πλ. δ'.**

Τὰ τῶν προσκαίρων παιδῶν χαμαίζηλα θεόσοφε, τὰ ὑψηλὰ καὶ μένοντα ἐπεπόθησας θείῳ ἔρωτι. Τὸν γὰρ σταυρόν σου ἐπ' ὤμων βαστάσας, εὐαγγελικῶς Θεῷ ἠκολούθησας, καὶ τῇ ἀσκήσει ἀνδρείως νικήσας τῶν δαιμόνων τὰς φάλαγγας, ταῖς οὐρανίαις συνευφραίνει χοροστασίαις ὡς ἀήττητος, καὶ ἀκηράτων γερῶν ἐφιέμενος, τῆς ἀτελευτήτου ζωῆς κατηξίωσας. Διὸ πρέσβευε θεοφόρε Ἀντώνιε, τῷ Σωτῆρι τῶν ὅλων εἰρηνεῦσαι τὸν κόσμον καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

**Ὁ αὐτός.**

Ἐν τῇ ἀγάπῃ πτερωθεὶς ἀοίδιμε, ταῖς ἀρεταῖς ἐξέλαμψας, θείας χάριτος ἐμφορούμενος· τοῦ γὰρ Μωσέως τὸ πρᾷον ἐκτήσω· ἔτι δὲ καὶ Δαβὶδ τὸ ἀνεξίκακον, καὶ τῆς πρὸς πάντας ἀγάπης, τὸ σκεῦος μιμούμενος τῆς ἐκλογῆς· ὅθεν καὶ ἔκδημος ἐγένου, τοῦ γεώδους τούτου σώματος, καὶ ἐνδημήσας παρρησίᾳ ἀμέμπτῳ πρὸ τοῦ ποιητοῦ σου τὸ στέφος ἀπείληφας. Ἀλλὰ πρέσβευε θεοφόρε Ἀντώνιε, τῷ Σωτῆρι τῶν ὅλων εἰρηνεῦσαι τὸν κόσμον καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

## ΤΗ ΙΗ'. ΙΑΝΟΥΑΡΙΟΥ
### ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

**Ἦχος πλ. α'.**

Τὴν γηρὰν μεταθῆναι πλάσιν πρὸς τὴν ἀεὶ διαμένουσαν ἐπειγόμενος, ὕλης διέδρας φθοροποιοῦ τοὺς θεσμούς, τῆς πρὸς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸ κρεῖττον ἀγούσης ὁδοῦ τε λαβόμενος, καὶ φόβῳ θείῳ στοιχειωθεὶς τὴν ἄνοιαν τὰς μεριστὰς ἑτερότητας εἰς μίαν ἔδειξας ἑνοειδῆ ἑνότητα· κἀντεῦθεν τῇ ἑνιαίᾳ καὶ σεπτῇ Τριάδι οἰκειωθεὶς κατὰ δύναμιν, τὸ ταύτης ἐκήρυξας ὁμοούσιον καὶ ὁμόδοξον, συνοδικῶς ἐν τῇ Νικαέων, καταισχύνας τὸν Ἄρειον τὸν δυσώνυμον, ταῖς σαῖς οὖν θεηγορίαις ἐκπαιδευθέντες Ἱεράρχα Ἀθανάσιε, ἓν τὸ κράτος σέβομεν τῆς ἀνεκφράστου καὶ μακαρίας Τριάδος εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν

**Ἦχος πλ. β΄.**

Τὸ κειμήλιον τοῦ Λόγου, τὸ θεῖον ἐνδιαίτημα τοῦ ἁγίου Πνεύματος, ἐν ᾧ ὁ τῆς χάριτος πλοῦτος τεθησαύρισται, τὸν τῆς ἀθανασίας ἐπώνυμον, πάντες οἱ πιστοὶ ἐγκωμιάσωμεν λέγοντες· χαίροις ὁ καταισχύνας Ἄρειον τὸν δείλαιον, καὶ ταῖς μαρμαρυγαῖς τῶν δογμάτων σου περιαυγάσας τὰ πέρατα· χαίροις ὁ τὴν ἀχλὺν τῶν αἱρέσεων ἐκ τῶν περάτων ἐξαφανίσας, καὶ νῦν τῷ ποθουμένῳ ἐπαπολαύων τρισηλίῳ φωτί· ἐκτενῶς ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## ΤΗ Κ΄. ΙΑΝΟΥΑΡΙΟΥ
### ΤΟΥ ΑΓΙΟΥ ΕΥΘΥΜΙΟΥ

**Ἦχος πλ. δ΄.**

Ὡς ἐκ μήτρας Θεῷ ἀνακείμενος, καὶ ἐκ βρέφους κατὰ τῶν παθῶν ἀγωνισάμενος, θείας χάριτος ἀνάπλεως γέγονας· τῶν ἀρετῶν τὴν εὐπρέπειαν θεοπρεπῶς ἐνδυσάμενος· ὅθεν καὶ δαίμονας ἀπελαύνεις παμμάκαρ Εὐθύμιε· διὸ τὸν Σωτῆρα ἱκέτευε σωθῆναι ἡμᾶς δεόμεθα.

# Ἀποφθέγματα καὶ λόγοι

## ΙΩΣΗΦ ΠΡΩΗΝ ΤΥΡΝΟΒΟΥ

**(Λαυρεωτικὸς Κῶδιξ λ.΄ 197)**

**(Συνέχεια ἐκ τοῦ προηγουμένου τεύχους).**

### Διάφορα

— Ἐπὶ Ἰωάννου τοῦ Βατάτζη τοῦ ἐκ Διδυμοτείχου βασιλείας, καὶ Γερμανοῦ τοῦ νέου Πατριάρχου τοῦ ἐξ Ἀνάπλου τοῦ Βυζαντίου ἔλαβεν αὐτονομίαν ἡ Τύρνοβος, οὖσα ὑπὸ τὸν Κων)πόλεως. ͵ασκ (1220).

—Συγγνωμόνησκε ὁ Μιχαὴλ ὅτε οὐκ ἠδύνατο ἐκδικῆσαι, καθὼς καὶ ὁ Σοφοκλῆς ἐσωφρόνει ὅτε κατεγήρασε.

—Περὶ Σέρβων καὶ Βουλγάρων ἱστορικοὶ εἰσι Λαόνικοι, Κίνναμοι, Γρηγόριοι.

—Τὰ δῶρά σου ὡς σταγὼν τῷ ἀνδρὶ ἐλογίσθησαν. Ἡ θυγάτηρ Σιών, ὡς σκηνὴ ἐν ἀμπελῶνι ἔρημος παντὸς ἀγαθοῦ.

—Ταλμοὺθ εἶναι βιβλίον τῶν ἑβραίων τὸ περιέχων πάνυ πολλὰς βλασφημίας καὶ ἀτοπήματα, τὸ ὁποῖον διερμηνεύεται «ὁδηγία».

—Κατὴς λέγεται κριτής· Πασιᾶς=ἔπαρχος. Μουσαΐσης=συνόμιλος. Καζιασκέρης=μείζων ἀρχηγὸς πάντων τῶν κριτῶν. Χοντζέτι=βεβαιωτικόν. Χάτ σερίφι=χρυσόβουλον. Μπουσταντζίμπασης=κηπουράρχης, σωματοφύλαξ = ἀρχιφύλαξ πάντων τῶν βασιλικῶν παλατίων. Μπρὲ κεσὶς=μοναχὲ κατάπτυστε. Ἀγά μου=ἄρχοντά μου. Καϊμακὰμ=ἀνθύπατος.

—Κατηγορία. Ἀεὶ καὶ πάντοτε ἀθέμιτε διεγείρεις πολέμους ταραχάς τε καὶ σκάνδαλα καθ' ἡμῶν· οὐχ ἑνὶ καιρῷ ὡς αἱ ἐν Αἰγύπτῳ ἀκρίδες, ἀλλ' ἐν παντὶ καιρῷ καὶ πάντοτε, ἥδεσαι ταραχὰς θεωρῶν ὡς ἄλλος Ζεὺς οὐκ ἐπὶ τῆς Ἴδης ἀλλ' ἐπὶ τοῦ Πανθέου καθήμενος.

— Ὄντως καὶ ἀληθῶς δέον ἁπλῶς τῷ ἀγαθῷ ἐναντίον ἔχειν, ὡς ἐδόκει καὶ Πλάτωνι, εἰπόντι ἐν κρατάλλῳ· ἀλλ' οὔτε ἀπολέσθαι τὰ κακὰ δυνατὸν, ὦ Θεόδωρε, (ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ εἶναι ἀνάγκη) οὔτ' ἐν θεοῖς ταῦτα ἱδρύεσθαι, τὴν δὲ θνητὴν φύσιν περιπολεῖ· ἐξ ἀνάγκης οὐκ ἠρκέσθη ἡ ἐπίτρυπτος καὶ ἐναντία τύχῃ τῇ ἐπικρατείᾳ καὶ συνοχῇ τῶν καθ' ἡμᾶς ἄλλων κακῶν, ἀλλ' ἐκρημνίσθη καὶ τὸ ἥμισυ τοῦ εὐαγοῦς τούτου οἴκου καὶ κατηδαφίσθη.

—Τὸ κοινῶς λεγόμενον πωρί, νησσήριον λέγεται ἑλληνιστί. Ὁ Κιουπρουλὴς μεεμὲτ πασσιᾶς ἀλβανίτης ἦν χριστιανόπαις. Πύρινος

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καταπέλτης=τουφέκιον. Ἐπίσαγμα=σαμάρι. Ἀναβολεῖς ἢ ἀναβολέαι=αἱ σκάλαι.

— Ἐὰν ἡ καρδία σου ῥέμβεται καὶ οὐκ οἶδας ἄγξαι αὐτήν, ἡ πρᾶξις σου ἐστὶν εἰ θέλοντος καὶ μὴ θέλοντός σου ἕλκουσα αὐτὴν εἰς τὸ ῥέμβεσθαι· εἰ μὴ γὰρ δεδιὼν ἔκλασε τὰς ὑδρίας, οὐκ ἂν εἶδε τὸ φῶς τῶν λαμπάδων· οὕτως ἐὰν μὴ ἄνθρωπος καταφρονήσῃ τοῦ σώματος, οὐκ ἂν ἴδῃ τὸ φῶς τῆς θεότητος.

— Διατὶ τὸ σουδάριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς εὑρέθη χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον; ὅτι ὁ Καϊάφας δέδωκεν αὐτὸ εἰς τὸν ἐνταφιασμὸν τοῦ Χριστοῦ, καὶ ὡς ἀνάξιον ἐχωρίσθη.

— Ὀπίσθια Θεοῦ ἃ εἶδεν ὁ Μωϋσῆς, τὰ κτίσματα καὶ οἱ λόγοι αὐτοῦ εἰσιν, οὓς ἰδὼν ὁ Προφήτης εὐθέως ἐξέθετο: «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν» καὶ τὰ ἑξῆς.

**Αἴνιγμα**: «ἱππεῖς ἦσαν οβ´ κινούμενοι σὺν τέσσαρσι βασιλεῦσι, καὶ ὅπλοις πέντε, ζῶσι δὲ ὑπὸ μιᾶς πύλης· ἔχουσι δὲ καὶ πέρδικας τρεῖς· οὐδεὶς δ᾿ ἐνίκησεν αὐτοὺς εἰμὴ εἷς ἱέραξ=οἱ οβ´ εἰσὶν αἱ φλέβες τοῦ ἀνθρώπου· βασιλεῖς=τὰ στοιχεῖα, Πύλη=τὸ στόμα· ὅπλα=αἱ αἰσθήσεις· Πέρδικες=τὸ τριμερὲς τῆς ψυχῆς· ἱέραξ=ἄγγελος ὁ νικῶν ἡμᾶς, ὅτι τὸ θεῖον καὶ τὰ κτίσματα εὕρηται.

Ἡ σελήνη γίνεται τῇ πρώτῃ ἑβδομάδι θ´ τῇ β´. ε´ τῇ γ.´ ο, τῇ δ´. σ=θεὸς Ἡ πλειὰς ἔχει σχῆμα ζ´ ἡ ἄρκτος ἔχει ω, καὶ ἡ νοερὰ ἔχει ν=ζῶν, ἤτοι θεὸς ζῶν. τῶν ἀκουόντων τῶν λόγων τοῦ Θεοῦ καὶ ποιούντων ἀγαθοὺς καρποὺς σημεῖα ταῦτα εἰσί· στεναγμός· κλαυθμὸς· προσευχὴ· σιωπή· κατήφεια· ἐπιμονή· ἡσυχία· κεφαλῆς κίνησις· ὀδυνηρὸς κλαυθμός· πόνος καρδίας ὑπὲρ εὐσεβείας· τὰ δὲ ἔργα ἀγρυπνία, ἐγκράτεια, νηστεία· πραότης· μακροθυμία· ἀδιάλειπτος προσευχή, μελέτη τῶν θείων γραφῶν, πίστις, ταπείνωσις, φιλαδελφία, πόνος κακοπάθεια, ἀγάπη· ἀγαθοσύνη· κοσμιότης καὶ τὸ ὅλον φῶς ὅ ἐστιν ὁ Κύριος. Τῶν δὲ μὴ ποιούντων καρποὺς ζωῆς αἰωνίου, σημεῖα ταῦτα ἐστίν· ἀκηδία· μετεωρισμός· περίβλεψις· ἀπροσεξία· γογγυσμός, κέπφωσις ὅ ἐστιν ὁ λάρος τὸ ὄρνεον. ὅς ἐστι κοῦφος καὶ προχειρότατος· τὰ δὲ ἔργα ἀδηφαγία· ἀσωτία· ὀργή, θυμὸς καταλαλιά, φυσίωσις· ὑπερηφανία, ἀπιστία ἀκαιρολογία· ἀκαταστασία, λήθη, ταραχή, αἰσχροκέρδεια, φιλαργυρία, ζῆλος, ἐρύθεια, ὑπεροψία· φλυαρία· ἄκαιρος θυμός, γέλως, πλεονεξία, τὸ πᾶν σκότος ὅπερ ἐστὶν ὁ σατανᾶς.

Καὶ ἄγνοια τοῦ ἀγαθοῦ, καὶ προαιρέσεως μοχθηρία τοιοῦτοι γεγόναμεν ἄθλιοι ἐπὶ νοῦ ἀτυχοῦς. Καὶ ἀπὸ τῆς ἀρετῆς σου, καὶ ἀπὸ τῆς κηδεμονίας αὐτοῦ τῆς ἀφάτου ὁ Θεὸς τὴν μεγάλην ταύτην ἀξίαν σοι ἐχαρίσατο· τοῦτο δὲ δέδοικα μὴ μείζονα τῆς ἐμῆς δυνάμεως ἔλαβον. Πάντων μὲν σὺ ἀνθρώπων ἀδεέστερον διάγεις, εἰρήνης ἀπολαύων βαθείας, δόξης, τιμῆς, καὶ τρυφῆς ἅπαν ἐπιὼν εἶδος· ὅθεν χρὴ λέγειν, τὰ κρίματά σου ἄβυσσος πολλή. Ὅρα δὲ μὴ ἐφόδιον τιμωρίας τὴν δόξαν κέκτησαι ταύτην, μήτοι γε μείζονα προσθήκην εὐδοκιμήσεως. Ὅρα. Ἀπὸ τρία πράγματα ταράττει καὶ συγχίζει καὶ ἀνακα-



τώνει ὅλους τοὺς ἀνθρώπους ὁ παντιμώρητος καὶ μιαρὸς διάβολος· ἀπὸ τὰ φαγοπότια· τὸν χρηματισμὸν καὶ τὴν δόξαν· ὅτι ἀπὸ τὴν ἀμέλειάν μας παίρνει ἀφορμὴν ὁ ἐχθρὸς καὶ μᾶς πολεμεῖ. Ἀλλὰ ἡ παντελὴς καὶ καθολικὴ ἀμεριμνία τῶν γηΐνων, καὶ ἡ συχνὴ μελέτη τῆς Γραφῆς, φέρνει τὴν ψυχὴν εἰς τὸν φόβον τοῦ Θεοῦ· καὶ ὁ φόβος τοῦ Θεοῦ φέρνει τὴν προσοχήν· καὶ τότε ἀρχίζει ἡ ψυχὴ νὰ βλέπῃ τοὺς δαίμονας ὅπου τὴν πολεμοῦν μὲ τοὺς λογισμούς, καὶ νὰ τοὺς ἐναντιώνεται καὶ νὰ τοὺς πολεμῇ.

## Ὡραῖον

Ἡ ἀγάπη ἔχει συνήθειαν νὰ λυπᾶται, καὶ νὰ ἐλεημονῇ καὶ νὰ εὐεργετῇ τὸν πλησίον, καὶ νὰ μακροθυμῇ, καὶ νὰ ἔχῃ ὑπομονὴν εἰς ὅσα κακὰ καὶ ἄν τοῦ κάμῃ ὁ ἄλλος. Τί ἐστι μακροθυμία; Τῆς μακροθυμίας πολλὰ μὲν εἰσὶ τὰ γνωρίσματα· ἀλλ᾿ εἶνε ὅμως καὶ αὐτά· τὸ νὰ λογιάζῃ κανεὶς τοῦ λόγου του πῶς αὐτὸς εἶνε ἡ αἰτία καὶ ἀφορμὴ τοῦ πειρασμοῦ· διότι οἱ πειρασμοὶ καὶ ἡ δυστυχίαις ὁποῦ μᾶς ἔρχονται, τῆς περισσότεραις φοραῖς μᾶς ἔρχονται διὰ παίδευσιν· ἢ διὰ ἀπερασμέναις ἁμαρτίαις διὰ νὰ συγχωρηθοῦν ἢ διὰ νὰ διορθωθῇς ἀπὸ τὴν ἀμέλειαν, τὸ σφάλμα, ὁποῦ εὑρίσκεσαι ἢ διὰ νὰ ἀποκοπῇς ἀπὸ κανένα σφάλμα καὶ ἁμαρτία ὁποῦ μέλλεις νὰ κάμῃς· μὴν ἀγανακτῇς ἂν καὶ λυπᾶσαι πειραζόμενος.

Ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου (ψαλμ. οβ´), τουτέστιν ἐδαπανήθη ἡ καρδία μου τηκομένη τῷ πυρὶ τοῦ πόθου σου, καὶ ἡ σάρξ μου πᾶσα ἐδαπανήθη ἀποστρεφομένη τὴν εὐπάθειαν διὰ τὴν ἀγάπην καὶ πυκνῶς ταλαιπωρεῖται—Γνωμικον· οἵαν ἐργασίαν καὶ πρᾶξιν δυνηθῇ τινὰς νὰ τελέσῃ κατὰ Θεὸν πολιτευόμενος, θέλει λάβει τὴν ἀμοιβὴν πολυπλάσιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

## Εὐχὴ εἰς ὑποτακτικόν.

Ὁ Κύριος ὁ περὶ πάντας ἀγαθὸς νὰ σὲ εὐλογήσῃ, καὶ νὰ σὲ στηρίξῃ εἰς τὴν ἀγάπην του, νὰ σοῦ δώσῃ λύχνον εἰς τοὺς πόδας σου τὸν θεῖόν του νόμον· νὰ σὲ ὁδηγῇ ἐπὶ τρίβους δικαιοσύνης νὰ σὲ λυτρώνῃ ἀπὸ πᾶσαν ἁμαρτίαν καὶ πειρασμὸν τοῦ ἀντικειμένου· οἱ ἄγγελοι αὐτοῦ νὰ σὲ σκεπάσουν καὶ νὰ σὲ φυλάξουν ἀπὸ τὰς ἐπιβουλὰς τῶν πονηρῶν ἐχθρῶν, διὰ νὰ μὴ εὕρῃ ὁ ψυχοφθόρος κανένα πταίσιμον εἰς τὴν ψυχήν σου τὴν ὥραν τῆς κρίσεως· καὶ ἡ εὐλογία τοῦ Πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος εἴη μετὰ σοῦ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ μέλλοντι. Ἀμήν.

## Περὶ φιλαδελφίας.

Τοῦτο εἶνε τῆς ἀγαθότητος ἴδιον, ὅτι νὰ μεταδίδῃ καὶ εἰς ἄλλους τὸν πλοῦτον της· καὶ ὅποιος δὲν ἔχει τοιαύτην γνώμην μεταδοτικὴν καὶ φιλάδελφον, δὲν εἶνε καλὸς ἄνθρωπος, ἀλλὰ φθονερὸς καὶ μισόκοσμος καὶ ἄτυχος ἄνθρωπος, ὅθεν οὔτε εἰς τὴν αἰώνιον ἀπέρχεται ζωὴν ὡς ὁ διπλασιάσας τὸ τάλαντον· ἀλλὰ θέλει κατακριθῇ εἰς πῦρ ἀτελεύτητον ὡς ὁ πονηρὸς ἐκεῖνος δοῦλος.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Ἐλυγμὸς πρὸς ὑψηλόφρονα μαθηματικόν.

Ἀληθῶς πολλὰ ἔμαθες, καὶ πολλὰ ἠξεύρεις μαθήματα πάνσοφα· ἀμὴ δὲν πρέπει μὲ ὅλην σου τὴν σοφίαν καὶ μάθησιν ποσῶς νὰ ἐπαίρεσαι, καὶ νὰ ἐξευτελίζῃς τοὺς ἀμαθεῖς, καὶ ὁμοτίμως κτισθέντας σοί· καὶ ὅσον ἔχεις περισσοτέραν σοφίαν, τοσοῦτο μᾶλλον πρέπει νὰ ταπεινώνεσαι, καὶ νὰ ὑψώνῃς τὸν νοῦν πρὸς μυστικωτέραν ἀνάβασιν· μὴν ἐπαίρεσαι λοιπὸν ἀδελφέ, εἰς τὴν πολλὴν σου σοφίαν, καὶ εἰς τὸ ὄνομα ὅπου ἀπέκτησες μὲ αὐτὴν ὅτι αὐτὴ δὲν σὲ θέλει ὠφελήσει τίποτας, ἐὰν δὲν ἀποκτήσῃς τὴν ταπεινοφροσύνην καὶ τὴν ὑψοποιὸν ταπείνωσιν.

## Εἰς φίλον σου μακρυνθέντα εἰς τὴν ἔρημον.

Τέλειος εἶσαι εἰς τὴν πρᾶξιν, ἀμὴ εἰς τὴν τάξιν εἶσαι ἀρχαῖος· μακράν, καθὼς φαίνεται, τῆς μνήμης σου μᾶς ἐξώρισας, καὶ λήθης πέπωκας ὕδωρ διὰ λόγου μας· μὲ τὸ νὰ εὕρῃς αὐτοῦ τὴν ἄφθονον πηγὴν καὶ θαυμάσιον, ἡ προχέουσα ὁσημέραι δαψιλέστατα νάματα πάσης διδασκαλίας, καὶ νάμα νεκταρῶδες· ψυχικῆς ἀναπαύσεως, καὶ γλυκύτερον ὁποῦ ἀνέβλυσεν εἰς τὴν ἔρημον· τοῦτο σὲ ἔκαμε νὰ κάμῃς τὴν φίλην σου ἡσυχίαν καὶ ἡμᾶς τοὺς παλαιοὺς σου ἀδελφοὺς τῆς μνήμης σου πάρεργον· Μὲ ὅλον τοῦτο καὶ αὐτὸ δεῖ σε ποιεῖν καὶ τοῦτο μὴ ἀφιέναι καὶ τάχυνον λοιπὸν πρὸς ἡμᾶς διὰ νὰ προσφέρῃς τῷ Θεῷ τοὺς ἱδρῶτάς σου· προσευχαῖς τε καὶ δάκρυσιν, ἅπερ λέγονται θυσία καθαρά, καὶ καθαίρουσι τοῦ βίου τὰ ἁμαρτήματα.

## Περὶ ἀλαζονείας καὶ κενοδοξίας.

Εἰκότως εἴρηται παρὰ τῶν παλαιῶν κενοδοξία· διάκενος γὰρ ἐστιν ἔνδον καὶ οὐδέν τι χρήσιμον ἔχουσα. Οὐδὲν γὰρ οὕτω, φησί, τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀλλοτριοῖ, καὶ τῷ τῆς γεέννης πυρὶ παραδίδωσιν, ὡς ἡ τῆς ὑπερηφανίας τυραννίς· ἀκάθαρτος γάρ, φησί, παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος· τοσοῦτόν ἐστιν ἡ κενοδοξία κακόν, ὅτι οὐ μόνον πρὸς κακίαν ὠθεῖ τοὺς ἁλόντας, ἀλλὰ καὶ ταῖς ἀρεταῖς παρεφέστηκε· καὶ ὅταν ἡμᾶς ἐκεῖθεν ἐκβαλεῖν μὴ δυνηθῇ, ἐν αὐτῇ τῇ ἀρετῇ πολλὴν τὴν ζημίαν ἐργάζεται, τοὺς μὲν πόνους ὑποστῆναι καταναγκάζουσα, τῶν δὲ καρπῶν ἀποστεροῦσα· οὐ γάρ ἐστιν ἀμφοτέρων ἐφιέμενον ἀμφοτέρων τυχεῖν· τυχεῖν μὲν γάρ ἐστιν ἀμφοτέρων ὅταν μὴ ἀμφοτέρων, ἀλλὰ τῆς μιᾶς ἐπιθυμῶμεν τῆς ἐκ τῶν οὐρανῶν. ἀμφοτέρων δὲ ὁρῶντα οὐκ ἔστιν ἀμφοτέρων τυχεῖν. Τὰ ἴδια σκάμματα ὑπερβὰς καὶ τῆς δυνάμεως τὸ μέτρον διαπηδήσας εἰς τοσοῦτον κάταντες ὠλίσθησα, ὡς καὶ ἀλαζὼν παρὰ τῆς σῆς παναρέτου καὶ ἐπ᾽ ἀρετῇ τελειότητος, ὠνομάσθην· εἰ καὶ τὴν κλῆσιν χρώμασι ῥητορίας συνεπεσκίασεν· ὄντως οὐδὲν ἀπονοίας ἶσον κακόν· ὅτε γὰρ κοινὸς παλαμναῖος οὐκ ὢν πρὸ τούτου τοιοῦτος, οὕτω διάβολος γέγονε· ὅτε πρῶτος ἄνθρωπος ταύταις παρὰ τοῦ διαβόλου φυσηθεὶς ταῖς ἐλπίσιν, ἐξετραχηλίσθη καὶ θνητὸς ἐγένετο.

(Ἀκολουθεῖ).



## Βιβλία

Εὑρισκόμενα παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Σχοινᾶ ἐν Βόλῳ, Κορυφὴ 47 καὶ ἀποστελλόμενα **ἐλεύθερα ταχυδρομικῶν τελῶν**.

**Θέατρον Πολιτικὸν** ὑπὸ Ν. Μαυροκορδάτου, σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον Δραχ. 75.—

πανόδετον » 100.—

δερμάτινον » 125.—

(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

**Ἐγκόλπιον Χριστιανοῦ** ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα » 15.—

**Συμβουλευτικὸν ἐγχειρίδιον** ὑπὸ Νικοδήμου Ἁγιορείτου ἄδετον » 50.—

πανόδετον » 70.—

**Ἱστορία Βαρλαὰμ καὶ Ἰωάσαφ** ὑπὸ Ἰωάν. Δαμασκηνοῦ ἄδετον » 40.—

πανόδετον » 60.—

**Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 15.—

**Ἀκολουθία τοῦ Ἁγίου Γερασίμου** τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου καταγομένου καὶ ἐν τῇ Ἱ. Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος » 10.—

**Ἱστορικὴ μελέτη τῆς Ἱ. Μονῆς Ἁγίου Παντελεήμονος** ὑπὸ Δανιὴλ μοναχοῦ » 10.—

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ἀντιρρητικόν.** Βιβλίον ἀσχολούμενον μὲ τὰ ἡμερολογιακά, ὑπὸ Δωροθέου Καρακαλλινοῦ μοναχοῦ » 3.—

**Ἐκκλησιαστικοὶ Νόμοι.** Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ, χρησιμώτατον δι' ὅλους τοὺς Ἐκκλησ. ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια » 45.—

**Ἑρμηνεία.** τῶν 14 ἐπιστολῶν καὶ τῶν 7 Καθολικῶν τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον » 250.—
δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 400.—

**Κυριακοδρόμιον Εὐαγγελίων, Ἀποστόλων μετὰ Ἑορτοδρομίου** τοῦ αὐτοῦ· τόμοι 3 » 150.—
Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 300.—

**Ἡ Ἐκκλησία καὶ ἡ ἀναγκαιότης τοῦ τακτικοῦ ἐκκλησιασμοῦ**, Ν. Π. Γιαννίου, ἔργον πρωτότυπον » 28.—

**Ἡ Εὐτυχία ἐν τῇ ἀρετῇ.** ὑπὸ Στεφάνου Παπαδημητρίου » 25.—

**Ἡ πορεία τοῦ Χριστιανοῦ ἀποδημητοῦ**, Ι. Βουνιάνου » 25.—

**Ἡ πορεία τῆς Χριστιανῆς ἀποδημητρίας** » 20.—

**Ἡ ὀρφανὴ ἀπὸ τὸ Λόουντ** Πφάϊφφερ - Παπαχατζῆ, δρᾶμα ἠθικὸν σελ. 200 περ. » 15.—
δεδεμένον » 25.—

| | | |
|---|---|---|
| **Μαργαρῖται Χρυσοστόμου** | ἄδετον | » 60.— |
| | πανόδετον | » 80.— |
| | δερμάτινον | » 105.— |
| **Ἀποστολικὴ Σαγήνη** | ἄδετον | » 65.— |
| | πανόδετον | » 85.— |
| | δερμάτινον | » 110.— |
| **Ἀσκητικὰ Ἐφραὶμ τοῦ Σύρου** | ἄδετον | » 75.— |
| | πανόδετον | » 95.— |
| | δερμάτινον | » 120.— |

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρησκευτικὰ βιβλία

"ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ„
ΕΤΟΣ Α.΄ ΑΡΙΘ. 10

# ΚΑΝΟΝΕΣ ΚΑΤ' ΗΧΟΝ
## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ
# ΙΩΑΝΝΗΝ ΤΟΝ ΠΡΟΔΡΟΜΟΝ

Ποίημα Ἰωάννου μοναχοῦ, τοὐπίκλην Μαυρόποδος, τοῦ ἐν ὑστέροις χρόνοις χρηματίσαντος ἀρχιεπισκόπου Εὐχαΐτων.

Ἀντιγραφέντες ἐξ ἀρχαίου Κώδικος τῆς ἐν τῷ ἁγίῳ Ὄρει Ἄθῳ Ἱερᾶς Μονῆς τῆς Μεγίστης Λαύρας ὑπὸ τοῦ μοναχοῦ

ΣΠΥΡΙΔΩΝΟΣ ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται
ΥΠΟ
ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ

ΙΟΥΝΙΟΣ 1937



1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀπαγορεύεται αὐστηρῶς ἡ ἀνατύπωσις κατὰ τὸν νόμον.

ΤΩι
ΜΕΣΣΙΑι ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΥΛΗΣ,
ΤΩι ΑΝΑΣΤΗΣΑΝΤΙ
ΤΗΝ ΔΕΙΝΟΠΑΘΟΥΣΑΝ ΠΑΤΡΙΔΑ ΜΑΣ
ΚΑΤΑ ΤΗΝ ΑΝΑΣΤΑΣΙΜΟΝ ΗΜΕΡΑΝ
ΤΗΣ 4ης ΑΥΓΟΥΣΤΟΥ
Κῳ Κῳ ΙΩΑΝΝΗι ΜΕΤΑΞΑι
ΚΥΒΕΡΝΗΤΗι ΤΗΣ ΕΛΛΑΔΟΣ
ΕΙΣ ΕΝΔΕΙΞΙΝ ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΚΑΙ ΑΓΑΠΗΣ
ΤΟΔΕ ΤΟ ΤΕΥΧΟΣ ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΕΚΔΟΤΗΣ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΠΡΟΛΟΓΟΣ

Ἡ ἱστορία τοῦ ἀνθρωπίνου γένους δὲν ἔχει πολλὰς σελίδας διὰ νὰ ὑπερηφανεύηται ὡσὰν τὴν Ἑλληνικὴν ἐπανάστασιν τοῦ 1821. Ἡ δὲ Ἑλληνικὴ ἱστορία ἀπὸ τριῶν χιλιετηρίδων δὲν ἔχει ἄλλην οὔτε εὐγενεστέραν οὔτε λαμπροτέραν ἀπὸ τὴν ἱστορίαν τοῦ 21. Ὁ Μαραθών, αἱ Θερμοπῦλαι, ἡ Σαλαμίς, αἱ Πλαταιαὶ ἦσαν ὑπέροχα βεβαίως κατορθώματα τῶν Προγόνων μας. Ἀλλ' οὗτοι ἔζων ἐλεύθεροι μὲ ὑψηλὸν πολιτισμόν, ὑπερήφανοι, χαλυβδούμενοι εἰς τὴν παλαίστραν, εἰς τοὺς ὀλυμπιακοὺς ἀγῶνας, εἰς τοὺς Μαραθωνίους δρόμους, εἰς τὰ στάδια, συνειθισμένοι ἐπομένως νὰ μάχωνται. Ἡ ἐξέγερσις ὅμως τῶν σκλάβων, ὧν τὰ μέλη ἦσαν καταπληγγωμένα ἀπὸ τὰς ἁλύσεις, καὶ τὸ φρόνημα ἔπρεπε λογικῶς νὰ ἔχῃ ἐκμηδενισθῇ, καταπλήσσει πάντας. Ἡ πολυχρόνιος δουλεία ἀντὶ νὰ ἐξασθενήσῃ τὸ σθένος τοῦ γένους ἡμῶν, ἀπ' ἐναντίας τὸ ἐσφυρηλάτισε καὶ τὸ ἠκόνισε. Ποῦ; εἰς τὰς Μονὰς τοῦ Σουλίου, τῶν Μετεώρων, τοῦ Ἄθω, τοῦ Ἀρκαδίου καὶ λοιπῶν. Ἐπὶ Βυζαντινῆς Αὐτοκρατορίας αἱ Μοναὶ ἐκτίζοντο εἰς τὰς πόλεις, ὡς ἡ τοῦ Στουδίτου καὶ τῆς Εὐεργέτιδος ἐν Κων)πόλει, ἡ τῶν Περιστερῶν ἐν Θεσσαλονίκῃ· ἐπὶ δὲ Τουρκοκρατίας εἰς τὰ ὄρη καὶ εἰς τὰς ἐρήμους, ἵνα μὴ ἀκούηται τὸ Ἐθνικὸν δόγμα τοῦ Ἡγουμένου : Παιδιὰ ὑπομονὴ καὶ μὲ χρόνια πάλιν δικά μας εἶνε : Αἱ ἱεραὶ Ἑλληνικαὶ Μοναὶ παρέσχον ἀνεκτιμήτους ὑπηρεσίας εἰς τὸ Ἔθνος καὶ τὴν Ἐκκλησίαν, ἰδίως κατὰ τοὺς χρόνους τῆς τουρκοκρατίας, καθ' οὓς ἀπέβησαν ἡ κιβωτὸς ἡ μεταρσιοῦσα καὶ ἐξαίρουσα τὴν Ἑλληνικὴν ψυχὴν πρὸς τὴν πατρώαν εὐσέβειαν καὶ τὴν φιλοπατρίαν καὶ περισώσασα ἀπὸ τοῦ βαρβαρικοῦ κατακλυσμοῦ τὰ τιμαλφέστερα τοῦ ἔθνους ἰδανικά, ἅ ἵνα ἀνέστησαν πάλιν ἀγλαὸν καὶ καλλίκαρπον τὸ δένδρον τῆς ἑλληνικῆς ἐλευθερίας. Καὶ διὰ τοῦτο οἱ Ἥρωες τοῦ 21 ἀπέδειξαν ὅτι μόνον διὰ τῆς αὐτοθυσίας τῶν ἀτόμων ἑδραιοῦνται τὰ ἔθνη καὶ αἱ κοινωνίαι, καὶ διὰ τῆς πίστεως πρὸς τὸν Θεὸν καὶ τῆς ἀγάπης καὶ λατρείας τῆς Πατρίδος, χαλυβδοῦται ὁ Ἐθνικὸς ἐκεῖνος ἐνθουσιασμὸς ὁ ὁποῖος ὁδηγεῖ τὰ Ἔθνη εἰς τὸν ἐλεύθερον βίον καὶ προάγει αὐτὰ εἰς ἀνώτερον καὶ εὐγενέστερον πολιτισμόν. Ἡ τρομερὰ λοιπὸν δοκιμασία τῆς σκλαβιᾶς καὶ ἡ νικηφόρος διὰ τὸ Ἔθνος ἔκβασις ἀπέδειξεν ὅτι ὁ Ἑλληνισμὸς ἀνήκει εἰς τοὺς μεγάλους λαούς· ὁ Θεὸς ἐδημιούργησε τὸ κόσμον καὶ οἱ Ἕλληνες τὸν πολιτισμὸν τῶν ἀνθρώπων. Ὅτι δὲ ὁ Κλῆρος ἐπρωτοστάτησεν εἰς τὴν ἄφθαστον ἰδεολογίαν ταύτην, μαρτυρεῖ πρῶτον ὁ πρωτομάρτυς τῆς μεγάλης ἐκείνης ἀνθρωποθυσίας ὁ Πατριάρχης Γρηγόριος

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὁ Ε΄. ὅστις, ὅταν ὁ Βεζύρης Βεντερλῆς ἐζήτησε νὰ τοῦ παραδώσῃ τὴν οἰκογένειαν Μουρούζη, ἣν εἶχε φυγαδεύσει εἰς Ὀδησσὸν καὶ τοῦ εἶπε : φύγε ἄπιστε : ἀπήντησεν· «ὁ πιστεύων εἰς τὴν ἀθανασίαν τῆς ψυχῆς δὲν φοβεῖται τὸν θάνατον».

Ὁ Διονύσιος ὁ Καλιάρχης ὁ πλουσιώτερος τῶν Ἀρχιερέων καὶ σοφώτερος· ὁ Χίου Πλάτων καὶ λοιποί, οἱ τόσον μεγάλοι ὥστε ὁ θάνατός των ἐγέννησε τὴν ζωήν, ὥστε νεκροὶ ἀνέστησαν τὸ ἔθνος, εἰς τὸ αἷμά των τὸ τίμιον ἐρριζώθη τὸ καλλίκομον δένδρον τῆς Ἐλευθερίας.

Δὲν ἀρκεῖ ὅμως μόνον ἡ Ἐλευθερία· ὁ μέγας γόνος τῶν Φερρῶν ὁ Ρήγας ἔψαλλεν, ὅτι ἡ διαίρεσις ὡς καὶ ἡ ἀναρχία ὁμοιάζει τῇ σκλαβιὰ καὶ διὰ τοῦτο ἐκάλει τὸ γένος ὅλον εἰς τὴν ἑνότητα.

Σ' Ἀνατολὴ καὶ Δύση Νότον καὶ Βορρᾶ,
Γιὰ τὴν Πατρίδα ὅλοι νἄχωμε μιὰ καρδιά».

Ἐὰν λοιπὸν ἡ 25η Μαρτίου μᾶς ἐχάρισε τὴν ἐλευθερίαν, ἡ 4η Αὐγούστου μᾶς ἐχάρισε τὴν ἑνότητα. Κατὰ ταύτην τὴν ἱστορικὴν ἡμέραν ὁ μέγας οἰακοστρόφος τοῦ ἔθνους μας ὁ Ὕψιστος Θεὸς ἤγειρε τὸν χρήσιμον ἐν καιρῷ, τὴν Α. Μ. τὸν Βασιλέα ἡμῶν Γεώργιον τὸν Β΄. καὶ τὸν Ἐξοχώτατον Πρόεδρον κ. Ἰωάννην Μεταξᾶν, οἵτινες μὲ μιὰ καρδιὰ κυβερνῶσι τὸ Νέον Κράτος σθεναρὰ καὶ τόσον ἐπιδεξίως, ὥστε ἡ Ἑλλὰς ἐξελείχθη σήμερον εἰς ἔννομον Κράτος, εἰς ὃ παγιοῦται σημαντικῶς ἡ πρόοδος καὶ ἡ διοργάνωσις, ἑπομένως καὶ ἡ 4η Αὐγούστου ἐστὶ ἰσότιμος τῆς 25ης Μαρτίου.

Ἀξιοχρέῳ οὖν ἱερῷ καθήκοντι καὶ ἡμεῖς οἱ κατοικοῦντες τὸν Ἀκράθω ἐκδίδομεν τοὺς κανόνας τοῦ Ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ Βαπτιστοῦ, οὓς ἀντεγράψαμεν ἐκ τοῦ Κώδικος Ι 77 ἵνα ταῖς εὐπροσδέκτοις δεήσεσιν αὐτοῦ ὁ Ὕψιστος Θεὸς ἐπιμηκύνῃ τὰ πολύτιμα ἔτη τῆς ζωῆς των καὶ ἐπιρρωνύῃ τὰς δυνάμεις των πρὸς αἰσίαν ἔκβασιν τοῦ μεγάλου ἐθνικοῦ ἔργου τὸ ὁποῖον ὄντως ἐπωμίσθησαν.

Ἔγραφον ἐν τῇ κατ' Ἄθω Ἱερᾷ Μονῇ τῆς Μεγίστης Λαύρας τῇ 25 Μαρτίου 1937.

ΣΠΥΡΙΔΩΝ ΛΑΥΡΙΩΤΗΣ
Ἰατρὸς

# ΚΑΝΟΝΕΣ ΚΑΤ' ΗΧΟΝ

Κανόνες εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Πρόδρομον. Ποίημα Ἰωάννου μοναχοῦ τοῦ Μαυρόποδος τοῦ ἐν ὑστέροις χρόνοις χρηματίσαντος Ἀρχιερέως Εὐχαΐτων· οὗ τὸ ὄνομα ἐντέτακται ἐν ἑκάστῃ ἐννάτης ᾠδῆς ἀκροστιχίδι.

**(Ἐκ τοῦ Λαυρεωτικοῦ Κώδικος Ι 77)**

## ΗΧΟΣ Α΄.

Κανὼν πρῶτος οὗ ἡ ἀκροστιχὶς αὕτη
«Πρῶτον φέρω μέλισμα σοὶ τῷ Προδρόμῳ· ἔπος Ἰωάννου».

Ὠδὴ α΄. Ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος.

Πηλίνῃ γλώσσῃ ῥυπαρᾷ, καὶ μολυνθείσῃ ἐν ψεύδεσι χείλεσι, Πρόδρομε γεραίροντα μή με βδελύξῃ, μᾶλλον δὲ ἁγίασον, διὰ τῶν σῶν ὕμνων, τὸ στόμα καὶ τὴν καρδίαν μου.

Ῥείθροις Ἰορδάνου ποταμοῦ, ὁ καταδύσας ἐλέους τὴν ἄβυσσον, ῥείθροις κατανύξεως, τὰς ἁμαρτίας μου σοφὲ κατάδυσον, καὶ δακρύων ὄμβροις, τὸν λογισμόν μου κατάρδευσον.

Ὥσπερ ἑωσφόρος πρωϊνός, στειρωτικῶν ἐκ λαγόνων ἀνέτειλας, μάκαρ τὸν ἀνίσχοντα, παρθενικῶς ἀπὸ νεφέλης ἥλιον, τῆς δικαιοσύνης, τρανῶς εὐαγγελιζόμενος.

Τὴν ἀμαυρωθεῖσάν μου ψυχήν, ἁμαρτιῶν ζοφερῶν ἐπιχύσεσι, λύχνος ὢν φανότατος, τοῦ ἐκ γαστρὸς πρὸ ἑωσφόρου λάμψαντας, ἡλίου τῆς δόξης, καταύγασον μετανοίας φωτί.

**Θεοτοκίον**

Ὄρος τὸ κατάσκιον Θεοῦ, τὸν ὑψηλὸν οὐρανὸν καὶ εὐρύχωρον, θάλαμον τὸν ἔμψυχον, τὸν εὐθαλῆ καὶ εὐανθῆ παράδεισον, τὴν παρθένον Κόρην, ὡς θεοτόκον ὑμνήσωμεν.

**Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.**

Ναμάτων ὑπάρχων ζωτικῶν, τοῦ Πνεύματος ἀνάπλεως, ὡς ποταμὸς Θεοῦ ἐξ ἐρήμου φανείς, εἰς διεξόδους ὑδάτων ἔθη-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κας, γῆν ὡς ἄλλην ἄνυδρον, νοῦν ἑβραίων ἄνικμον, ταῖς ποτίμοις ἀρδείαις τῶν λόγων σου.

Προφήτην σε ὄντα καὶ παντός, προφήτου περισσότερον, ἐν γεννητοῖς τε γυναικῶν μείζονα, οὐδεὶς τῶν πάντων ὑμνῆσαι δύναται, πρὸς ἀξίαν Πρόδρομε, πλὴν τὸ κατὰ δύναμιν, Χριστοῦ φίλος ὡς γνήσιος δέχοιο.

Λικμήσας τῆς χάριτος τῆς σῆς, τῷ πτύῳ καὶ τῷ πνεύματι, τὰς θημωνίας τῶν ἐγκλημάτων μου, τὴν τῆς ψυχῆς μου κάθαρον ἅλωνα, καὶ ὡς σῖτον ὥριμον, καθαρὸν καὶ ἄρρυπον, οὐρανῶν ἀποθήκαις με σύναξον.

Ἐν σώματι μάκαρ ὑλικῷ, κἂν ἔζησας ἄϋλος, ὁ ἀληθῶς ἐπίγειος ἄγγελος, ἀλλ᾽ ὅμως οἶδας αὐτῶν τὴν ἄσπονδον μάχην καὶ ἀνένδοτον· διὸ τούτου νέκρωσον, τὸ ἐχθρὸν καὶ ἐπίβουλον φρόνημα.

### Θεοτοκίον

Καλήν σε καλεῖ ἐν γυναιξίν, ὡραίαν ἐν νεάνισι καὶ ἐν παρθένοις νύμφην ἀνύμφευτον, ἡ ᾀσματίζουσα νύμφη Δέσποινα, οὐ γάρ ἐστι Πάναγνε, σταθμὸς ἰσοστάσιος, τῆς πολλῆς καλλονῆς σου καὶ χάριτος.

### Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Λῃσταῖς περιπεσών, λογισμοῖς ἐσυλήθην, τὸν νοῦν τραυματισθείς, καὶ ψυχὴν ἁμαρτίαις, καὶ κεῖμαι ἀνίατος, Ἰησοῦ πολυέλεε, ἀλλ᾽ ἐπίχεε, ταῖς τοῦ Προδρόμου πρεσβείαις, σοῦ τὸ ἔλεος καὶ τὰ δεινὰ τῆς ψυχῆς μου, θεράπευσον τραύματα.

### Δόξα καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε ἁγνή, Θεοτόκε Μαρία, ἡ μόνη τῶν πιστῶν, σωτηρία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας, Κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον, ταῖς θείαις πρεσβείαις σου.

### Ὠδὴ δ΄. Ὄρος σε τῇ χάριτι.

Ὥριμον ὡς ῥᾶγα ἐν ἀώρῳ τῷ βότρυϊ ἤνεγκέ σοι ἡ κλιματίς, τῶν Ἰουδαίων ἡ πικρά, ὡς στάχυν ἐν ἅλωνι, ἡ ἐν αὐτῷ τοῦ σίτου μάκαρ τῷ στάχυϊ, ὡς ἕνα κόκκον, μονώτατον πέπειρον.

Μέγαν σε ἐνώπιον Κυρίου γενέσθαι δηλῶν, ὁ Γαβριὴλ τῷ σῷ πατρί, οἶνον καὶ σίκερα φησίν, οὐ μὴ πίῃ, ἔτι δὲ ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ ἐμπλησθήσεται, ἁγίου Πνεύματος ἅγιε Πρόδρομε.



Ἔλυσας Προφῆτα μητρικὴν πάλαι στείρωσιν, καὶ ἀφωνίαν πατρικήν, εἰς εὐφωνίαν μυστικήν, μετέβαλες ὅθεν με, πνιγμῷ παθῶν, ὄντα ἰσχνόφωνον, κάθαρον δι᾽ ἀπαθείας, καὶ δεῖξον εὐρύφωνον.

Λόγοις σε, τοῦ Λόγου τὴν φωνὴν μέλπειν Πρόδρομε, λόγων ἰσχὺς ἀδυνατεῖ, πρὸς δὲ τὴν σὴν περιωπήν, πᾶς νοῦς καὶ διάνοια ἰλιγγιᾷ, κἂν πρὸς βραχὺ ἀνανήψασθαι, εὐλαβουμένη τὸν πρόδηλον ὄλισθον.

### Θεοτοκίον

Ἴαμα ἁγνὴ τὴν παρὰ σοῦ δρόσον στάξον μοι, ἁμαρτιῶν διακαεῖ, συνεχομένῳ πυρετῷ, τῇ ψυχῇ μου φέρουσαν ἀναψυχήν, παθῶν τοῦ πνίγους καὶ καύσωνος, καὶ τὸν ἐκ τούτων φλογμὸν καταψύχουσαν.

### Ὠδὴ ε΄. Ὁ φωτίσας.

Σὲ μεσίτην, καὶ προστάτην καὶ πρόμαχον ἄμαχον, ἐν ἡμέρᾳ τῆς φρικτῆς ἐξετάσεως εὕροιμι, καὶ ῥυσθείην Πρόδρομε, τῇ σῇ ἐνθέῳ παρρησίᾳ αἰωνιζούσης κολάσεως.

Μετανοίας ἡ βροντόφωνος σάλπιγξ καὶ εὔσημος, ἡ πρὸς πάντα διηχήσασα τοῦ κόσμου τὰ πέρατα, λιγυρὸν διάτορον, καὶ παναρμόνιόν τε μέλος, μετανοεῖν με ἐνίσχυσον.

Ἀπὸ βρέφους, τὸν ὡς βρέφος, ἐν μήτρᾳ φερόμενον τῆς Παρθένου, καὶ τὰ νήπια βρέφη φυλάσσοντα, Κύριον ἐγνώρισας, καὶ προσεκύνησας ἐν μήτρᾳ τῆς Ἐλισάβετ φερόμενος.

Σὺ δικαίως, ὑπὲρ πάντας δικαίους τετίμησαι, ὃν γὰρ πάντες, Πατριάρχαι Προφῆται καὶ Δίκαιοι, ἰδεῖν ἐπεθύμησαν, αὐτὸς ἰδών τε καὶ βαπτίσας, πάντων εὐλόγως προκέκρισαι.

### Θεοτοκίον

Ὁ φωτίσας, οὓς ὁ ἄρχων τοῦ σκότους ἐσκότισε, καὶ συνάξας, οὓς ἡ πλάνη ὡς ὕδωρ ἐσκόρπισε, φώτισόν μου σύναξον, νοῦν σκοτεινὸν ἐσκορπισμένον, τῆς σε τεκούσης δεήσεσιν.

### Ὠδὴ ϛ΄. Ἐκύκλωσεν ἡμᾶς.

Ἱστίῳ κυβερνήσας με τῆς σκέπης σου, τὸν πλοῦν τὸν πολυκύμωνα, καὶ τὴν ἄστατον τοῦ βίου καὶ πικράν, θάλασσαν ἀκλύστως διαβίβασον, καὶ γαληνῷ τῆς σωτηρίας ὅρμῳ προσόρμισον.

Τὸν ἄσαρκον ἐν σώματί σε ἄγγελον, ἀσώματος Ἀρχάγγελος, προμηνύει Βαπτιστὰ τῷ σῷ πατρί, ἄγγελον ἐσόμενον τῆς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

χάριτος καὶ μηνυτήν, τοῦ τῆς μεγάλης βουλῆς ἀγγέλου Χριστοῦ.

Ὡς ἄγγελον καὶ μάρτυρα καὶ κήρυκα, καὶ μύστην καὶ ἀπόστολον, βαπτιστὴν ἑτοιμαστὴν νυμφαγωγόν, ὡς φωνὴν ὡς λύχνον ἑωσφόρον τε, ὡς τοῦ Χριστοῦ γνήσιον φίλον, ὑμνῶ σε Πρόδρομε.

Παράστηθι προστάτης ἀκαταίσχυντος, καὶ ῥύστης ἀπροσμάχητος, ἐκδυμούσῃ τῇ ψυχῇ μου Βαπτιστά, πρόδρομον διδοὺς αὐτῇ τὴν σκέπην σου, καὶ ἀγαθὸν συνοδοιπόρον τὴν σὴν ἀντίληψιν.

### Θεοτοκίον

Ρυθμίζουσα σεμνὴ καὶ συνετίζουσα, μὴ λίποις καὶ φωτίζουσα, τὸν ἀσύνετον ἐμὲ καὶ σκοτεινόν, σὺ γὰρ φωτισμὸς εἶ τῆς καρδίας μου, καὶ γλυκασμός, ἀλλὰ γενοῦ μοι καὶ ἱλασμὸς ἀγαθή.

### Ὠδὴ ζ΄. Σὲ νοητήν.

Ὁ δεξιᾷ σου χειρὶ μακάριε, χειροθετήσας δεξιὰν τοῦ Ὑψίστου οὗ τῇ χειρὶ, πάντα περιέχεται, πρόσδεξαι τὴν ἔπαρσιν, τὴν τῶν χειρῶν μου καὶ ῥῦσαί με, ἐχθροῦ χειρός, κραταιᾷ σου χειρί, καὶ παναλκεῖ δεξιᾷ.

Δρόσῳ τῆς σῆς, θερμῆς ἀντιλήψεως, τὴν φλεγομένην μου ψυχήν, ἐν καμίνῳ τῶν ἡδονῶν, δρόσισον καὶ ἄναψον, πῦρ ἐν τῇ καρδίᾳ μου, θείας ἀγάπης δροσίζον αὐτήν, φλογίζον δὲ τῶν παθῶν τῆς σαρκός, τὰς ἀκανθώδεις ὁρμάς.

Ῥεῖθρά μοι δὸς, μάκαρ κατανύξεως, ὁ λούσας ῥείθροις ποταμοῦ, τῆς εἰρήνης τὸν ποταμόν, ὄμβρον τῆς χρηστότητος, ῥεῖθρον τῆς ἀφέσεως, γλυκὺν χειμάρρουν τῆς χάριτος, ζωῆς πηγὴν οἰκτιρμῶν προχοήν, ἐλέους ἄβυσσον.

Οἷα ποιμήν, καλὸς καὶ ὁμόζηλος, τοῦ ἀρχιποίμενος Χριστοῦ, βακτηρία τῶν σῶν εὐχῶν, ποίμανόν με Πρόδρομε, θρέμμα χρηματίζοντα, τῆς σῆς ἀγέλης καὶ πρόβατον, ποίμνης τῆς σῆς, καὶ ἐπὶ ἀρετῶν χλόην με ἔκθρεψον.

### Θεοτοκίον

Μύρον ἡμῖν, μυστικὸν ἀνέβλυσας, οὐκ ἀνθρωπίνῃ μηχανῇ, οὐδὲ τέχνῃ μυρεψικῇ, συντεθὲν ὑπέραγνε, ὡς ἐξ ἀρωμάτων δέ, τῶν παναχράντων αἱμάτων σου, ἐν σῇ γαστρί, σκευασθὲν καὶ φρικτῶς θείῳ πυρὶ ἑψηθέν.



### Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες.

Ὡς ἐκ ζάλης καὶ ἐκ ταραχῆς, καὶ κλύδωνος τοῦ βίου, εἰς εὔδιον καὶ γαλήνιον προσφυγήν, τὴν σκέπην σου Πρόδρομε, δυσωπῶ σε, πρὸς τὸν λιμένα τῆς ἄνω βασιλείας, τὴν χειμαζομένην ψυχήν μου κυβερνῆσαι.

Ἐνεδρεύει λέων ὁ κρυπτός, ἁρπάσαι τὸν πτωχόν με, ὡς λέων ἐν ἀποκρύφῳ, ἐν τῇ μάνδρα τῇ αὐτοῦ, καὶ θέσθαι κατάβρωμα τὸ σὸν θρέμμα, σύνθλασον τούτου τὰς μύλας τῇ σῇ ῥάβδῳ, καὶ ποιμαντικῇ σου ἐκδίωξον σφενδόνῃ.

Παρ' ἀγγέλων, ἀγγελοπρεπῶς, ἔπρεπέ σε ὑμνεῖσθαι, τὸν πρὶν μὲν ἠλαττωμένον, παρ' ἀγγέλοις τι βραχύ, νυνὶ δὲ ἰσάγγελον γεγονότα, καὶ σὺν ἀγγέλοις, ἀΰλως ἀνυμνοῦντα, τὸν ὑπὸ Ἀγγέλων ὑμνούμενον ἀΰλως.

Ὁπλοφόρος ὑπερασπιστής, πρόμαχος σταυροφόρος, τὰς φάλαγγας τῶν δαιμόνων, διακόπτων κραταιῶς, γενοῦ μοι τῷ δούλῳ σου θεοκῆρυξ, μεθισταμένῳ καὶ διαζευγνυμένῳ, τῆς γῆς καὶ τοῦ σκήνους, τοῦ ζεύξαντος προστάξει.

### Θεοτοκίον

Σὲ ἐτύπου αἰνιγματωδῶς, ῥάβδος ἀαρωνῖτις τὴν ἔντιμον ὄντως ῥάβδον, καὶ πολύτιμον σαφῶς, ὑπέρτιμε Δέσποινα ἀποτίστως, ὥσπερ ἐκείνη, βλαστήσασαν ὡραῖον ἄνθος ἀφθαρσίας τὸν Κύριον τῆς δόξης.

### Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς.

Ἴδε ὁ ἀμνὸς ἀνέκραζες, ὁ ἁμαρτίας κόσμου αἴρων ὡς εὔσπλαχνος, δακτυλοδεικτῶν, ἐν Ἰορδάνῃ Χριστὸν τοῖς λαοῖς, ὃν δυσώπει μακάριε Πρόδρομε, δωρεὰν ἐξαλεῖψαι, τὰς ἁμαρτίας μου καὶ σῶσαί με.

Ὤφθης ἀνθρωπίνης φύσεως, καὶ νοερᾶς οὐσίας μάκαρ μεθόριον, ἀϋλίαν γὰρ μετὰ τῆς ὕλης ἰσάγγελον, ἀσαρκίαν ἐσχάτην ἐν σώματι, ἀπάθειάν τε ἄκραν, ἐμπαθῆ τῇ σαρκὶ ἐκατώρθωσας.

Ἅπαν ἐμπαθὲς ἐνθύμημα, καὶ χαμερπὲς γεῶδες πρόσυλον νόημα, ἐκλικμῆσαι μου, τῆς διανοίας ὡς ἄχυρον, καὶ πυρὸς τῆς γεέννης ὑπέκκαυμα, ἀξίωσον ἐννοίας σιτοποιοὺς ἀναβλαστάνειν με.

Νύκτα τῶν παθῶν μου σκέδασον, φωτιστικαῖς ἀκτῖσι τῆς ἀπαθείας σου, καὶ τὸν λύχνον μου, τὸν ἐσβεσμένον ὑπάνα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

-φον ὡς πολύφωτος λύχνος τῆς χάριτος· ὅτι σὺ φωτιεῖς μου, τὸν τῆς καρδίας λύχνον Πρόδρομε.

Νόμος ἐγκωμίων ἥττηται, ὑποχωρεῖ δὲ σύμπας ἀνθρώπων ἔπαινος, τῷ ὑπερμεγέθει, τῆς ἀξίας μεγέθει σου· τί γὰρ ἂν ἐπαινέσειεν ἄνθρωπος, ὃν ὁ Δεσπότης πάντων, πάντων ἀνθρώπων ἔφη μείζονα.

Ὅλον ἐμαυτόν σοι Πρόδρομε, καὶ τὴν ἐλπίδα πᾶσαν τῆς σωτηρίας μου, προσανατιθῶ, σὺ τὴν ζωήν μου κυβέρνησον, καὶ γενοῦ μοι φρουρός, ἀδιάστατος, ἐπὶ τῷ νῦν αἰῶνι, ἐν δὲ τῷ μέλλοντι προστάτης θερμός.

**Θεοτοκίον**

Ὕψος τὸ τοῦ μυστηρίου σου, ὁ χθαμαλὸς τὴν φρένα καὶ περιπέζιος, ὕμνοις ἀνυμνεῖν, ἀδυνατῶ πολυύμνητε, οὐ γὰρ ἔχω χρυσᾶς διπλᾶς πτέρυγας, γνώσεως καὶ σοφίας, δι' ἀρετῆς τὰς ἀνυψούσας τὸν νοῦν.

---

## ΗΧΟΣ Β'.

Ἕτερος Κανὼν οὗ ἡ Ἀκροστιχίς

«Ταύτην δέησιν δευτέραν σοὶ προσφέρω· ἐγὼ Ἰωάννης».

**Ὠδὴ α'. Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε.**

Τὸν κρατῆρα τὸν ὑπερχειλῆ, πάσης ἀγαθότητος, καὶ τὴν πηγὴν τῆς σοφίας καὶ γνώσεως, λούσας ἐν τοῖς ὕδασιν, Ἰωάννη θεομακάριστε Πρόδρομε, στάξον μοι σταγόνα γνώσεως ὑμνῆσαί σε τολμήσαντι.

Ἀπὸ βρέφους ἔρημον ξηράν, ἄβατον καὶ ἄνυδρον, γῆν ὑπὲρ φύσιν ἀνθρωπίνην ᾤκησας, ἐντεῦθεν ἐξήνθησεν, ὡσεὶ κρίνον ἡ στεῖρα ἔρημος Πρόδρομε, σὲ τὸν ἐκ στείρας, ὄρπηκα τῆς χάριτος ἐκτρέψασα.

Ὑπερβὰς δυάδος ὑλικῆς, μικτὴν παχυμέρειαν, τὴν ψυχικήν τε λεπτύνας τριμέρειαν, Τριάδα τὴν ἄκτιστον, ἐν ἀΰλοις καὶ ὑλικοῖς εἶδες ὄμμασι, καὶ τὸν ταύτης ἕνα, ἔγνως ἐν δυσὶ τελείαις φύσεσιν.

Τῶν ἐπαίνων σου ὁ πλατυσμός, καὶ τῶν ἐγκωμίων σου, ὁ πληθυσμὸς καὶ τῆς δόξης τὸ μέγεθος, στενοῦσί με Πρόδρομε, ἀπορίαν ἐξ ἀπορίας ἐπάγονται, καὶ σμικρύνουσί μου τὸν νοῦν, τῇ πυκνότητι συμπνίγονται. . . .



**Θεοτοκίον**

Ἡ Θεοῦ σοφία ἑαυτοῦ, οἶκον ᾠκοδόμησεν, ἀχειροποίητον σὲ ὑπεράμωμε, ἐν ᾧ κατοικήσασα, πορφυρίδα βασιλικὴν ἐξυφάνατο, ἐκ τῶν σῶν αἱμάτων, ὡς ἀπὸ ἐρίων ἁλουργῶν ἑαυτῇ.

**Ὠδὴ γ'. Τῆς πίστεως ἐν πέτρᾳ με.**

Νηχόμενον, πελάγει πλημμελημάτων, ποντούμενον θαλάσσῃ παραπτωμάτων, κυκλούμενον ἀβύσσῳ ἁμαρτημάτων καὶ βαπτιζόμενον, παθῶν με κλύδωνι, Βαπτιστὰ κυβέρνησον καὶ διάσωσον.

Διάρρηξον, τὸν σάκκον μου τῆς αἰσχύνης, ἐπένδυσον χιτῶνα τῆς εὐφροσύνης, περίζωσόν με ζώνην τῆς σωφροσύνης, καὶ τοῦ νυμφῶνός με Θεοῦ ἀξίωσον, σὺ γὰρ φίλος γνήσιος τοῦ νυμφίου Χριστοῦ.

Ἐξήνθησας ὡς φοῖνιξ ἐν ταῖς ἐρήμοις, ὑψώθης ὡς κυπάρισσος ἐν λιμῶνι, καὶ κέδρος ἐπληθύνθης ἡ τοῦ λιβάνου, ἀναδενδράσι δὲ τῶν ἀρετῶν σου, Θεοῦ κέδρους κατεκάλυψας, μάκαρ Πρόδρομε.

Ἡ σάλπιγξ ἡ μεγάλη τῆς μετανοίας, ὁ κῆρυξ ὁ λαμπρὸς τῆς θεογνωσίας, ὁ ῥήτωρ ὁ πυρίπνους τῆς βασιλείας, ὁ τὴν μετάνοιαν πρῶτος κηρύξας ἐν γῇ, μετανοίας τρόπους μοι δίδου Πρόδρομε.

**Θεοτοκίον**

Σκληρὸς καὶ ἀκατάνυκτος χρηματίζων, νωθρὸς καὶ βαρυκάρδιος δεδειγμένος, τὴν βλύσασαν τὸ ὕδωρ τῆς σωτηρίας, καθικετεύω σε Θεογεννήτρια, ὕδωρ κατανύξεως ἐπομβρῆσαί με.

Κάθισμα. **Ἦχος β'. Εὐσπλαχνίας ὑπάρχεις.**

Διὰ σπλάγχνα ἐλέους ἀγαθέ, εἰς τὸ σῶσαι τὸ πλάσμα σου Χριστὲ παρεγένου, κλίνας οὐρανοὺς τῇ καταβάσει σου, ὅθεν τὴν φρικτὴν οἰκονομίαν σου, ὑμνοῦντες βοῶμέν σοι, λιταῖς τοῦ Προδρόμου σου, ἱλασμὸν ἁμαρτιῶν, παράσχου ἡμῖν ὡς μόνος εὔσπλαγχνος.

**Δόξα καὶ νῦν. Θεοτοκίον**

Προστασία θερμὴ χριστιανῶν, τὸν Υἱόν σου ἱκέτευε ἀεὶ Θεοτόκε, πάσης κακουργίας καὶ δεινότητος, ῥύσασθαι ἡμᾶς τοῦ πολεμήτορος, καὶ δοῦναι συγχώρησιν ἡμῖν ὧν ἡμάρτομεν, διὰ σπλάγχνα οἰκτιρμῶν, ταῖς σαῖς ἱκεσίαις μητροπάρθενε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

'Ωδὴ δ'. 'Ελήλυθας.

Ἰθύνας μου πρὸς Θεὸν τοῦ νοὸς τὰ κινήματα, καὶ τὰ διαβήματα, τὰ πρὸς αὐτὸν κατευθύνας μου, δεῖξον τὴν καρδίαν μου, τρίβον εὐθεῖαν Κυρίου πρὸς ἐπίβασιν.

Νοήμασιν ἐντρυφῶν οὐρανίοις μακάριε, τρυφῆς ὡς παράδεισον, ἄκαρπον ἔρημον ᾤκησας, ἄϋλος ὡς ἄγγελος, τροφῇ ἀΰλων ἀγγέλων ἐκτρεφόμενος.

Διακόψας τοῦ πυρός μοι τὴν φλόγα εὐχῶν σου φωνῇ, φωνὴ καὶ γὰρ γέγονας, τοῦ διακόπτοντος φλόγα πυρός, ἐκθρεψόν με Πρόδρομε, ἐν χλοερᾷ καὶ δροσώδει Παραδείσου νομῇ.

Ἐκάκωσε τὸ οἰκτρὸν τῆς μοιχείας ἀνδράποδον, δεσμοῖς σε, τὸν λύσαντα ἀνόμου μίξεως σύνδεσμον, καὶ προκινδυνεύοντα, τῶν θείων νόμων ὁ ὄντως ἀνομίας υἱός.

Θεοτοκίον

Ὑπέρτερον οὐρανοῦ καὶ τῆς γῆς σε πλατύτερον ἀνέδειξε σκήνωμα, ὁ οὐρανοῦ καὶ τῆς γῆς ποιητής, Κόρη παναμώμητε, καὶ ἐν γαστρί σου σκηνώσας ἀνεπαύσατο.

'Ωδὴ ε'. Ὁ φωτισμός.

Τὸν ποταμόν, τῆς εἰρήνης τὸν μέγαν τῆς εὐσπλαγχνίας τὴν μὴ κενουμένην ἐν τῷ κενοῦσθαι, πηγὴν ὁ λούσας, ποταμίοις ἐν ῥείθροις, τῶν κακῶν μου τοὺς θολεροὺς ξήρανον, καὶ ῥεῖθρα δακρύων παράσχου μοι.

Ἐν τῷ πυρί, τῆς γεέννης Σωτήρ μου μὴ με βαπτίσῃς, ὥσπερ ἐν βαπτίσματι τελευταίῳ, ἠχρειωκότα, ἐν πολλαῖς ἀνομίαις, ὃ μοι δέδωκας πρῶτον βάπτισμα, ταῖς τοῦ Βαπτιστοῦ σου πρεσβείαις δὲ σῶσόν με.

Ῥάβδῳ τῆς σῆς, ἀντιλήψεως ῥῆξας τὴν πώρωσίν μου, δάκρυα πηγάζειν ἀξίωσόν με· τὴν φοινικὴν δέ, τῶν παθῶν μου πλημμύραν, ὥσπερ ἄλλην διατεμῶν ἐρυθρᾶν, πρὸς γῆν ἀπαθείας, τὸν νοῦν μου ὁδήγησον.

Ἅρμα πυρός, τὸν Ἠλίαν ἐξάραν ἀναλαμβάνει, ὡς εἰς οὐρανόν ἀλλὰ σὺ Προφῆτα, ἐπὶ γῆς μένων, τῇ χειρί σου βαπτίζεις, τὸν Δεσπότην τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ σεραφικὸς παραστάτης δεικνύει θαμῶν.

Θεοτοκίον

Νοῦς ἀμυδρός, καὶ καρδία βραδεῖα καὶ στενὴ γλῶσσα, ποῖον σοι προσοίσουσιν ὕμνον Κόρη, πᾶς γὰρ ὁ κόσμος, χεῖλος ἐν μία γλῶσσα, ἐὰν γένωνται οὐ δυνήσονται, ὄντως ἐπαξίως ὑμνῆσαί σε Δέσποινα.



'Ωδὴ ς'. Πρὸς Κύριον ἐκ κήτους.

Συνέτριψε δρακόντων τὰς κεφαλὰς ὁ Κύριος, ἐπὶ τοῦ ὕδατος, ὃν ἐβάπτισας ἐν ὕδασι, διὸ τὴν κεφαλὴν σύντριψον τοῦ δράκοντος, τοῦ ζητοῦντος ὀλέσαι με Πρόδρομε.

Οὐ γέγονε προφήτης σοῦ ἐπὶ τῆς γῆς ὑπέρτερος, οὐδὲ ἀπόστολος, οὐδὲ μάρτυς, οὐδὲ δίκαιος, οὐδὲ ἐν γεννητοῖς γυναικῶν, ἐγήγερται μείζων σοῦ Ἰωάννη πανεύφημε.

Ἱλέῳ σου ἐν ὄμματι ἐπιβλέψας Πρόδρομε, εἰς τὴν ταπείνωσιν, καὶ ἀσθένειάν μου, ῥῦσαί με ἰλύος τῶν παθῶν, καὶ θερμῇ πρεσβείᾳ σου, τὸν Σωτῆρα κἀμοὶ ἐξιλέωσαι.

Προέφησεν ὑψίστου προφητικῶς Προφήτην σε, προπορευόμενον, πρὸ προσώπου θεῖε Πρόδρομε, Κυρίου καὶ αὐτοῦ, ὁδοὺς ἑτοιμάζοντα, ὁ πατήρ σου φθεγγόμενος πνεύματι.

Θεοτοκίον

Ῥαγῆναί με προσύλου καὶ γεηρᾶς ἐφέσεως, καὶ ὑψηλότερον, τῶν παθῶν καὶ τῶν ὀρέξεων, γενέσθαι τῆς σαρκός, Δέσποινα, παράσχου μοι, οὐρανῶν ὑψηλότερον σκήνωμα.

'Ωδὴ ζ'. Εἰκόνος χρυσῆς

Ὁ κόλποις Πατρός, ὡς Υἱὸς μονογενὴς ἠγαπημένος, ἀπεριγράπτως αὐλιζόμενος, ἐν ἑαυτῷ δὲ τὸ ἅγιον, φέρων καὶ ὁμότιμον Πνεῦμα, σὲ τοῦ Πνεύματος ἔδειξεν, ἔσοπτρον μάκαρ διαυγές, πέμπον θαυμάτων βολάς.

Σὲ μάκαρ δηλῶν, ἐκ προσώπου τοῦ Πατρὸς ὁ Ἡσαΐας, πρὸς τὸν Υἱὸν σαρκωθησόμενον, πόρρωθεν κράζει τὸν Ἄγγελον· νῦν ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἐμόν, πρὸ προσώπου σου ὃς ἔμπροσθέν σου, τὴν ὁδὸν κατασκευάσει τὴν σήν.

Φωνῆς πατρικῆς, τὴν υἱότητα Χριστῷ προσμαρτυρούσης, ἐκ τοῦ Πατρὸς τῶν φώτων ἄνωθεν, καταβαινούσης ἀκήκοας, ὄντως γὰρ ἐπὶ τῶν ὑδάτων φωνὴ Κυρίου ἐγένετο, δόξης ἐβρόντησε Θεός, ἐπὶ ὑδάτων πολλῶν.

Ἐνώπιον σοῦ, ἐκχεῶ περιπαθῶς, τὴν δέησίν μου, τὴν θλίψιν πᾶσαν τῆς καρδίας μου, ἀπαγγελῶ σου ἐνώπιον, πρόστηθι, παράστηθι σῶσον, τὸν οἰκέτην σου Πρόδρομε, ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ πικρῶς τὸ πνεῦμά μου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον**

Ρημάτων ἐμῶν, εἰσφορὰν τὴν πενιχρὰν προσδεξάμενος, ὡς προσφορὰν τελείαν ἄμωμον, ὥσπερ θυμίαμα εὔοσμον, ἀρωματοσύνθετον μῦρον, συμφορᾶς πάσης ῥῦσαί με, περιφορᾶς τε τῶν παθῶν θεογεννήτρια.

**Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ.**

Ὡς καθαρὰ περιστερά, ὡς φιλέρημος τρυγὼν σωφρονεστάτη, ἀηδὼν ὡς ὡραία ὡς λιγηρὰ χελιδών, τὸ ἔαρ μηνύεις τῆς χάριτος, καὶ πρὸς μετανοίας θάλψιν ἀθροίζεις πάντας.

Ἐπικειμένην ἀφανῶς, τοῦ θανάτου τμητικὴν ὁρῶν ἀξίνην, τῆς ψυχῆς μου τῇ ῥίζῃ τὴν ἐκτομὴν δειλιῶ, καὶ τρέμω τὸ πῦρ τὸ ἀκάματον, δένδρον χρηματίζων γεωργοῦν ἀκαρπίαν.

Γεωργικῆς πολλῆς σπουδῆς, καὶ συντόνου μετασχὼν ἐπιμελείας, παρὰ τοῦ γεωργοῦντος, τὰς τῶν ἀνθρώπων ψυχάς, ὡς κλῆμα κατάρας ἐπάξιον, βότρυν μετανοίας οὐκ ἤνεγκα τῷ Κτίστῃ.

Ὡς γῆ τυγχάνουσα ψυχή, ἡ πιοῦσα ὑετὸν πολλάκις μένει, μὴ ποιοῦσα βοτάνην, τοῖς γεωργοῦσιν αὐτὴν χρησίμην, ἀνεύθετον πόαν δέ, πῶς εὐλογηθήσῃ παρὰ τῶν παριόντων.

**Θεοτοκίον**

Ὁ καθαρώτατος ναός, τοῦ Σωτῆρός μου Χριστοῦ καὶ Βασιλέως, ὁ περίδοξος θρόνος ὁ ὑψηλὸς οὐρανός, ὁ ὄντως ἄσυλος παράδεισος, ἄνοιξόν μοι πύλας Δέσποινα Παραδείσου.

**Ὠδὴ θ΄. Ἀπορεῖ πᾶσα γλῶσσα.**

Ἰσχὺν καὶ σθένος, δύναμίν τε ἄμαχον ἔχων περίζωσόν με, δύναμιν εἰς πόλεμον ἀόρατον καὶ μάχην, καὶ τῷ ὑψηλῷ βραχίονι τῆς θείας σκέπης καὶ ἀντιλήψεώς σου Προφῆτα, ψαλμικῶς ὥσπερ κυκλοτερές, χαλκοῦν τόξον θοῦ τοὺς βραχίονάς μου.

Ὢ παρρησίας ὢ τιμῆς, ἀπείρου καὶ δόξης ἧς ἠξιώθης, μόνος ὑπὲρ πάντας τοὺς ἁγίους δικαίους, τοὺς ἐκ τοῦ αἰῶνος Πρόδρομε, ὃν γὰρ Προφῆται ἐκ γενεῶν ἀρχαίων προήγγειλαν, Χριστὸν τοῦτον χειροθετήσας, ἁπάντων πλέον δεδόξασαι.

Ἀκάρπου ῥίζης, ἔγκαρπος πολύφορος ὄρπηξ στρείφας ἀμπέλου, κλῆμα γονιμώτατον, γλυκύτατός τε βότρυς, γλεῦκος μετανοίας Πρόδρομε, ἐκβλύζων ἔφυς, μέθην παθῶν ἐξαῖρον, ἀσχήμονα σαφῶς, μέθην δὲ σωφροσύνης μεθύσκον, τοὺς μετασχόντας αὐτοῦ.



Νεκροῦντα μέλη, τὰ ἐπὶ τῆς γῆς καὶ τὸ σῶμα, ὑποπιάζειν, καὶ δουλαγωγεῖν αὐτό, ἐνίσχυσόν με μάκαρ, καὶ τὸ πωλικὸν καὶ ἄτακτον σκίρτημα τούτου, ὑποπιάζειν θείῳ τε πνεύματος ζυγῷ τοῦτο καθυποκλίνειν, παράσχου μοι Βαπτιστὰ τοῦ Χριστοῦ.

Νηχόμενόν με κύμασι παθῶν, ἐπαλλήλων καὶ ἀντιπνοίαις, καταποντιζόμενον, ὀρέξεων ἐμφύτων, καὶ τῶν ἡδονῶν τῷ κλύδωνι, ἀσυστροφοῦντα· καὶ εἰς πηλὸν ἰλύος καὶ βόρβορον πεσεῖν. Πρόδρομε, κινδυνεύοντα σῶσον, χεῖρά μοι δοὺς δεξιὰν γεέννης.

Ἡ τῆς γεέννης ἔμφλογος εἰκών, καταφλέγει ἱστορουμένη, καὶ κατὰ διάνοιαν χρωματογραφουμένη, τὴν πολυπαθῆ καρδίαν μου, τὴν καιομένην σπινθηροβόλοις ἄνθραξι τῶν ἁμαρτιῶν, ἥνπερ σῇ δροσοβόλῳ πρεσβείᾳ σβέσον μοι Πρόδρομε.

**Θεοτοκίον**

Σὲ εὐλογοῦσιν ἄγγελοι, ἀσώματοι ἄνω σὲ ἀνυμνοῦσιν, ἄνθρωποι ἐν σώματι Παρθένε, Κόρη κάτω, γῆ καὶ οὐρανὸς καὶ θάλασσα, κοινῇ χορείᾳ, παναρμονίῳ μέλει, παγκόσμιον ᾠδήν, χαῖρέ σοι χαρμοσύνως βοῶσι θεογεννήτρια.

---

## ΗΧΟΣ Γ΄.

Ἕτερος Κανὼν οὗ ἡ ἀκροστιχὶς αὕτη

«Μέλος τὸ τρίτον προσδέχου Χριστοῦ φίλε ἐξ Ἰωάννου».

**Ὠδὴ α΄. Ἦχος γ΄. Ὁ τὰ ὕδατα.**

Μετανοίας ἡ σάλπιγξ, ἡ διηχήσασα μέγα, καὶ διαπρύσιον μέλος, τῷ Θεῷ πρέσβευε, μετανοεῖν με θερμῶς, Πρόδρομε ἑκάστοτε καὶ ἐν εἰρήνῃ τὸν βίον, διελθεῖν καὶ μέτοχον γενέσθαι θείας ζωῆς.

Ἐν τῷ θείῳ στεφάνῳ, σὲ τῆς σεπτῆς Ἐκκλησίας, ὡς διαυγῆ μαργαρίτην, ὁ Χριστὸς ἔπηξε, καὶ ὡς ἀστέρα φαιδρόν, ἐν τῷ στερεώματι μαρμαρυγαῖς φωτοβόλοις, ἄνωθεν αὐγάζοντα τὰς διανοίας ἡμῶν.

Λύχνος ὢν φεγγοβόλος, τοῦ πρὸ ἡλίου Ἡλίου, τὸν ἐσβεσμένον μου λύχνον, Βαπτιστὰ ἄναψον, καὶ τῷ ἐλαίῳ τῆς σῆς, θείας ἀντιλήψεως, τὴν τῆς ψυχῆς μου λαμπάδα, φαιδρύνας εἰσάγαγε πρὸς τὸν νυμφῶνα Χριστοῦ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ο ἑδράσας ἀσχέτως γῆν ἐφ᾽ ὑγρῶν θεμελίων, καὶ στερεώσας ἀπτώτως, οὐρανὸν δεύτερον ἐπὶ ὑδάτων Χριστός, ὕδασι βαπτίζεται, ὑπὸ σοῦ ὅνπερ δυσώπει, ὕδωρ κατανύξεως μάκαρ ὀμβρῆσαί μοι.

**Θεοτοκίον**

Σωτηρίας ἡ πύλη ἡ διανοίξασα πύλας, τοῦ Παραδείσου κλεισθείσας, καὶ ἐμοὶ ἄνοιξον τῆς εὐσπλαγχνίας Θεοῦ, πύλην δι᾽ ἧς ἤνοικται τῆς οὐρανῶν βασιλείας, τοῖς ἀνθρώποις Δέσποινα, πύλη εὐρύχωρος.

**Ὠδὴ γ΄. Ὁ ἐκ μὴ ὄντων.**

Τὸν τὰ μὴ ὄντα ὡς ὄντα πρὸ τῆς αὐτῶν, καλοῦντα γενέσεως, καὶ σὲ φίλον καὶ Πρόδρομον, πάλαι προορίσαντα, καθικετεύοις σωθῆναί με Προφῆτα.

Ὕλη ἀκάνθαις ὁλομανεῖ τῶν παθῶν, καὶ δεινῶς κεχέρσωται, ἡ ψυχή μου καὶ δέομαι, ταύταις ἐπαφεῖναί σου τῆς εὐσπλαγχνίας, τὴν τέμνουσαν ἀξίνην.

Τῆς παναγίας Παρθένου τῆς ὑπὲρ νοῦν, τεκούσης τὸν Κύριον, συγγενὴς ὀφθεὶς Πρόδρομε, κανὼν ἐχρημάτισας, τῆς παρθενίας, καὶ γνώμων τῆς ἁγνείας.

Ριζοτομήσας τὰς τῶν ἐμῶν ἡδονῶν, ἀκάνθας κατάσπειρον, ἐν τῇ γῇ τὰς καρδίας μου, Θεοῦ φόβον Πρόδρομε, ὅπως βλαστήσῃ καλῶν πολύχουν στάχυν.

**Θεοτοκίον**

Ἱερωτέρα σὺ πάσης τῆς λογικῆς, Πανάμωμε φύσεως, ἀσυγκρίτως γεγένησαι, χερουβὶμ ὑπάρχεις γάρ, καὶ Σεραφὶμ ἀληθῶς ἁγιωτέρα.

Κάθισμα. **Τὴν ὡραιότητα.**

Τὴν ῥᾳθυμίαν σου ψυχὴ ταλαίπωρε, πρὸ τῆς ἐξόδου σου ἀποτινάξασα, ἐν μετανοίᾳ καὶ κλαυθμῷ ἐπίστρεψον κραυγάζουσα, πρὸς τὸν ἀνεξίκακον Ἰησοῦν καὶ φιλάνθρωπον, ἥμαρτόν σοι Δέσποτα· ἀλλ᾽ ὡς εὔσπλαγχνος σῶσόν με, πρεσβείαις τοῦ ἁγίου Προδρόμου, ὁ μόνος ὑπάρχων ἀναμάρτητος.

**Δόξα καὶ νῦν. Θεοτοκίον**

Ἀκατανόητον καὶ ἀκατάληπτον, ὑπάρχει Δέσποινα θεοχαρίτωτε, τὸ πεπραγμένον ἐπὶ σοὶ φρικτὸν Θεοῦ μυστήριον, τὸν γὰρ ἀπερίληπτον συλλαβοῦσα ἐκύησας, σάρκα περιθέμενον,



ἐξ ἀχράντων αἱμάτων σου, ὃν πάντοτε ἁγνὴ ὡς Υἱόν σου, δυσώπει τοῦ σῶσαι τὰς ψυχὰς ἡμῶν.

**Ὠδὴ δ΄. Ἔθου πρὸς ἡμᾶς.**

Τέκνον Ἀβραάμ, συγγενείᾳ τρόπων με δεῖξον Χριστέ, γέννημα καὶ τέκνον ἐχιδνῶν, τῇ πονηρίᾳ ὄντα καὶ σῶσόν με διὰ τοῦ Προδρόμου σου, ὁ ἐκ τῶν λίθων τέκνα Ἀβραὰμ ἀνιστῶν.

Ὄρθρος φαεινός, τῆς δικαιοσύνης τὸν ἥλιον, ἔφυς προμηνύων Βαπτιστά, παρθενικῆς νεφέλης ἀνίσχοντα, καὶ περιαυγάζοντα, κόσμον καὶ νόμον τὸ σκιῶδες λύοντα.

Νύκτα ζοφεράν, τῶν ἁμαρτιῶν μου διάλυσον, φέγγους ἀνεσπέρου κοινωνέ, φωτὸς ἀδύτου λύχνε πολύφωτε, καὶ δεῖξόν με μέτοχον, καὶ κληρονόμον φωτὸς καὶ ἡμέρας υἱόν.

Πτέρυξι χρυσαῖς, τῆς ἁγίας σκέπης σου σκίπασον, ὥσπερ ἀετὸς τὴν νοσσιάν, τὴν ἑαυτοῦ σκεπάζει καὶ ῥῦσαί με, θηράτρων τοῦ ὄφεως, καὶ τῶν ποικίλων βρόχων καὶ παγίδων αὐτοῦ.

**Θεοτοκίον**

Ρήμασι τοῖς σοῖς, εὐσεβῶς ἑπόμενοι Δέσποινα, σὲ τὴν μακαρίαν ἀληθῶς, αἱ γενεαὶ καὶ γλῶσσαι καὶ πᾶσαι φυλαί, Δυνάστην μακάριον Θεὸν τεκοῦσαν, πόθῳ μακαρίζομεν.

**Ὠδὴ ε΄. Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς**

Ὃν εἶδεν Ἡσαΐας, σεραφικοῖς στρατεύμασι κυκλούμενον, καὶ ἀγγέλων ᾄσμασιν ἀνυμνούμενον, ἐν θρόνῳ ἀστέκτου δόξης, ἐφ᾽ ὑδάτων σὺ βαπτίσας Βαπτιστά, πάντων τῶν ἁγίων ἀνεδείχθης ὑπέρτερος.

Σαλεύει τρικυμία, καὶ καταιγὶς καὶ ζάλη συνταράττει με, καὶ χειμάζει κλύδων παθῶν βαρύτατος, ἀλλ᾽ ἔχων τὴν σὴν πρεσβείαν, ὥσπερ εὔδιον λιμένα γαληνόν, καὶ ἄκλυστον ὅρμον, διασωθείην Πρόδρομε.

Δολίως μὲ τῷ λείῳ, τῆς ἡδονῆς ὁ δόλιος ἠγκίστρευσε, καὶ ἰχθὺν ὡς ἄφωνον ἐσαγήνευσεν, ἀλλ᾽ ἔχων φρουρόν σε θεῖον τῶν ἀρκύων, καὶ δικτύων τῶν αὐτοῦ ἐν τάχει ῥυσθείην, Ἰωάννη πανεύφημε.

Ἐν δόξῃ ἀπροσίτῳ, τῷ τοῦ Δεσπότου θρόνῳ παριστάμενος, καὶ τριφώτῳ αἴγλῃ περιεχόμενος, φωτί με τῆς μετανοίας, καταφώτισον ἐν σκότει καὶ σκιᾷ, καὶ νυκτὶ βαθείᾳ ἁμαρτίας καθεύδοντα.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον**

Χριστοῦ σε θείαν βίβλον, ἐσφραγισμένην Δέσποινα τῷ Πνεύματι, ὁ Προφήτης πάλαι προεθεάσατο, ἐν σοὶ γὰρ ἐγράφη λόγος, ἀλογίας ὁ ῥυσάμενος ἡμᾶς, ὅν δυσώπει βίβλῳ, τῆς ζωῆς καταγράψαι με.

**Ὠδή ϛ΄. Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων.**

Οὐκ ἐξαρκέσει πᾶσα γλῶσσα, γηγενῶν ἀνευφημῆσαί σε, ὅν ὁ Δεσπότης τοῦ παντὸς ἀνευφήμησε πανεύφημε, σοῦ μείζονα μηδένα φήσας τρανῶς ἐν γεννητοῖς γυναικῶν ἐγηγέρθαι.

Ὑπογραμμὸς ἀΰλου βίου, ἀρετῆς κανὼν εὐθύτατος, ἀγγελικῆς διαγωγῆς, ἀπεικόνισμα καὶ μίμημα ὁ βίος σου Προφῆτα, οὗ μιμητάς, ἀνάδειξον καὶ ἡμᾶς, κἂν ἐκ μέρους.

Χεῖρα τὴν σὴν τὴν ἁψαμένην, τῆς ἀχράντου κορυφῆς τοῦ Χριστοῦ, τοῦ ἁπτουμένου ψαλμικῶς, τῶν ὀρέων καὶ καπνίζονται, ἁπλώσας σκέπασόν μου τὴν κεφαλήν, καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος μάκαρ.

Ῥεῖθρον ἀφέσεως ἐν ῥείθροις, ζωηρὸν ὕδωρ ἐν ὕδασι, μέγαν εἰρήνης ποταμόν, ὁ βαπτίσας ἐν ῥοαῖς ποταμοῦ, παθῶν τοὺς βορβορώδεις, καὶ θολερούς, καὶ ἁλμυροὺς ποταμοὺς ξήρανόν μου.

**Θεοτοκίον**

Ἰσχὺς καὶ ὕμνησίς μου Κόρη, Ἰησοῦς Χριστὸς ὁ Κύριος, ὁ τὴν ἁγίαν σου νηδύν, ὡς εὐρύχωρον παλάτιον, οἰκήσας καὶ τηρήσας ταύτην ἁγνήν, ὅν αἴτησαι τοῦ πυρὸς ῥύσασθαί με.

**Ὠδὴ ζ΄. Ὡς πάλαι τοὺς εὐσεβεῖς.**

Στειρώσεως μητρικῆς, δεσμὰ πολυχρόνια, καὶ ἀφωνίας τῆς πατρικῆς, στερρὰν γλωττοπέδην, ὁ ῥήξας Βαπτιστά, τοὺς δεσμοὺς διάρρηξον, καὶ τὸν ζυγὸν ἀπόρριψον, ἀπ᾽ ἐμοῦ τῶν πολλῶν μου κακῶν.

Τὴν ἄβατον καὶ ξηράν, καὶ ἄνυδρον ἔρημον, ὡς οὐρανὸν ᾤκησας σοφέ, θείαις θεωρίαις, ἀεὶ ἐπεντρυφῶν ὑψηλοῖς νοήμασιν, ἀγγελικῶς ἡδόμενος ὁ ἐπίγειος ἄγγελος.

Ὁ λύχνος ὁ τοῦ φωτός, ὁ μύστης τῆς χάριτος, ὁ ἑωσφόρος τοῦ νοητοῦ, τῆς δικαιοσύνης Ἡλίου, ἐκ Πατρὸς τοῦ ἐξανατείλαντος πρὸ ἑωσφόρου, φώτισον τὴν ζοφώδη καρδίαν μου.

Ὑψαύχενα λογισμόν, καρδίαν ἀγέρωχον, καὶ ἐπηρμένην ψυχήν, δέδοικα τὴν ἄσβεστον φλόγα τοῦ πυρός, ἐν ᾗ δένδρα



καίεται, τὰ ὑψηλὰ καὶ ἄκαρπα, ἧς με ῥῦσαι Χριστοῦ Βαπτιστά.

**Θεοτοκίον**

Φιλάνθρωπον ἀληθῶς, καὶ εὔσπλαγχνον Κύριον, καὶ ἐλεήμονα σαρκικῶς, Δέσποινα τεκοῦσα, συνήθως ἐπ᾽ ἐμοὶ τὴν φιλανθρωπίαν σου, καὶ εὐσπλαγχνίαν γνώρισον ἐλεῆμον καὶ σῶσόν με.

**Ὠδὴ η΄. Ἀστέκτῳ πυρί.**

Ἰδοὺ τοῖς λαοῖς ἀνεβόας, ὁ ἀμνὸς ὁ αἴρων τὴν τοῦ κόσμου ἁμαρτίαν, καὶ θυόμενος ὑπὲρ πάντων, τοῦτον οὖν δυσώπησον Ἰωάννη, ἆραι, τὰ πολλά μου πταίσματα, καὶ τὰς ἁμαρτίας μου πάσας ἐξαλεῖψαι.

Λαὸν περιούσιον θεῖον, κατεσκευασμένον παντοκράτορι Κυρίῳ, ἑτοιμάσαι προαπεστάλης οὗ καὶ προπεπόρευσαι ἐν δυνάμει, μάκαρ, Ἠλιοῦ καὶ πνεύματι, ὁ ὑπὲρ Ἠλίαν καὶ πάντας τοὺς προφήτας.

Ἐν μήτρᾳ φερόμενος βρέφος, κῆρυξ ἐχρημάτισας τῆς χάριτος τεχθεὶς δέ, τοῖς ἀνθρώποις εὐαγγελίσω, ταύτην ἥν ἐμήνυσας καὶ ἐν Ἅδου πᾶσι, τοῖς ἐκεῖ καθεύδουσι, θανὼν διὰ ξίφους ὡς μάρτυς ἀληθείας.

Ἔχων παρρησίαν μεγάλην, πρὸς τὸν ὑπὸ σοῦ ἐν Ἰορδάνῃ βαπτισθέντα, Βαπτιστά Ἰωάννη μάκαρ, σῶσον ἐν βορβόρῳ τῶν ἡδονῶν με, ὅλον καταβαπτιζόμενον, καὶ παθῶν ἰλύϊ δεινῶς ἐμπεπαρμένον.

**Θεοτοκίον**

Ξένα καὶ παράδοξα Κόρη, καὶ ὑπερφυῆ καὶ ὑπὲρ ἔννοιαν καὶ λόγον, τὰ μεγάλα σου μεγαλεῖα, σύλληψιν γὰρ ἄσπορον ἔσχες μόνη, τόκον ἄφθορον ἀμόλυντον, ὅθεν τοὺς τιμῶντάς σε σῶσον Θεοτόκε.

**Ὠδὴ θ΄. Ἐν νόμῳ σκιᾷ.**

Ἰδεῖν ὁρατῶς ἠξίωσαι, Πνεῦμα τὸ ὁμοούσιον Πατρὶ τῷ ἀοράτῳ, καὶ τῷ λόγῳ τῷ διὰ σαρκός, καθορα θέντι ἀνθρώποις, ὡς πέλειαν κατελθόν, ἐκ τοῦ πατρὸς οὐρανόθεν, καὶ προσμένον τῷ Υἱῷ Βαπτιστά.

Ὡς ὢν συγγενὴς τοῦ Κτίσαντος, καὶ φίλος τοῦ νυμφίου Χριστοῦ, καὶ θεῖος νυμφοστόλος, καὶ φαιδρότατος νυμφαγωγός, τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, τὴν νυμφευθεῖσαν Χριστῷ τοῦ οὐρανίου νυμφῶνος, καταξίωσόν με Πρόδρομε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀστὴρ τοῦ ἡλίου Πρόδρομε, σημαίνων θείαν ἀνατολήν, ἐξ ὕψους τὴν φανεῖσαν, τοῖς ἐν σκότει τῶν ἁμαρτιῶν, καὶ ἐν σκιᾷ καθημένοις θανάτου δέδειξαι· διὸ φωτὶ μετανοίας, καταφώτισόν με δέομαι.

Νεφέλαις ὑδάτων Πρόδρομε, ὁ περιβάλλων τὸν οὐρανόν, καὶ ταύταις ὑετίζειν ἐντελλόμενος ἐπὶ τὴν γῆν· σὲ ὀμβροτόκον νεφέλην, ἄνωθεν ἥπλωσε, τῆς μετανοίας τὸν ὄμβρον μυστικῶς ἡμῖν ὀμβρίζουσαν.

Νηστείας ὅρος ἀκρότατος, καὶ ἐγκρατείας ἄκρας κανών, καὶ γνώμων σωφροσύνης, καὶ σεμνότητος ὑπογραμμός, καὶ παρθενίας ἀρχέτυπον, καὶ ἁγνείας εἰκών, καὶ ἀρετῶν στήλη ζῶσα, ἡ ζωή σου ὤφθη Πρόδρομε.

Ὁ νόμος ἀργεῖ καὶ πέπαυται, ἦλθεν ὁ νομοθέτης καὶ γάρ, τὸ γράμμα τὸ σκιῶδες, ὡς γηράσαν καὶ παλαιωθέν, ὑποχωρεῖ τῇ ἐκφάνσει τῆς νέας χάριτος, ἧς ἐλλαμφθῆναι τῇ αἴγλῃ, καταξίωσόν με Πρόδρομε.

**Θεοτοκίον**

Ὑμνῶ σου τὴν χάριν Δέσποινα, γεραίρω τὴν ἀντίληψιν, τὴν σκέπην μεγαλύνω ὁ μυρίων εὐεργεσιῶν, παρὰ τῆς σῆς ἀπολαύσας ἀγαθοδώρου ῥοπῆς· ἀλλά μου πρόστηθι Κόρη, καὶ ἐν ὥρᾳ τῆς ἐτάσεως.

---

## ΗΧΟΣ Δ΄.

Ἕτερος Κανὼν οὗ ἡ ἀκροστιχὶς αὕτη·

«Τέταρτον ᾆσμα σοὶ πλέκω θεηγόρε, ὁ μοναχὸς Ἰωάννης».

**Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ πατάξας Αἴγυπτον.**

Τὸ τῆς στείρας γέννημα, καὶ τῆς ἐρήμου βλάστημα, τὸν ἄγγελον τοῖς τρόποις, μετὰ σαρκὸς ἐν γῇ φανέντα, τὸν τοῦ Χριστοῦ Πρόδρομον, ᾠδαῖς παναρμονίοις ὑμνολογήσωμεν.

Ἐκ τῆς γῆς ἀλήθεια προανατείλας Πρόδρομε, μηνύεις διακόπτειν ἐξ οὐρανοῦ δικαιοσύνην, δι᾽ οἰκτιρμῶν ἄβυσσον, ἀνθρώποις ὁμιλήσασαν μετὰ σώματος.

Τοῦ νοὸς τὴν πώρωσιν, καὶ τῆς ψυχῆς τὴν στείρωσιν, διάλυσον ὁ λύσας, στειρωτικὰς μητρὸς ὠδῖνας καὶ γεωργεῖν δίδου μοι ὡρίμους μετανοίας ὡραίους βότρυας.



Ἀσιτίαν ἄμετρον, σκληραγωγίαν σύντονον, ἐσχάτην ἀσαρκίαν, ὡς εἷς ἀγγέλων, ἐπεδείξω ἀγγελικῶς Πρόδρομε, βιῶν μετὰ τῆς ὕλης καὶ πρὸ τῆς λύσεως.

**Θεοτοκίον**

Ῥητορεύων ἄνωθεν, ὁ Γαβριὴλ ἐφίσταται καὶ χαῖρέ σοι κραυγάζει, Παρθένε κεχαριτωμένη, χαῖρε χαρᾶς σκήνωμα, τρυφῆς ἀδιαρρεύστου χαῖρε Παράδεισε.

**Ὠδὴ γ΄. Ἐστερεώθη ἡ καρδία μου.**

Τοὺς ἐν τῷ νόμῳ, καὶ πρὸ νόμου καὶ μετὰ νόμον, ὑπερῆρας, δικαίους Ἰωάννη, τὸν Θεὸν γὰρ ὃν αὐτοὶ ἐκήρυξαν, σὺ σεσαρκωμένον ἐν Ἰορδάνῃ ἐβάπτισας.

Οὐκ ἐφικνεῖται τοῦ μεγέθους τῆς σῆς ἀξίας καὶ τοῦ ὕψους σου Προφῆτα, ἀνθρωπίνων ἐγκωμίων ἔπαινος, πάντα γὰρ κατόπιν, χωρεῖ τῆς σῆς ἁγιότητος.

Νενεκρωμένην πολυτρόποις παθῶν ἰδέαις τὴν ψυχήν μου καὶ τεθανατωμένην, ἡδονῶν θανατηφόροις δήγμασι, τῇ σῇ μεσιτείᾳ, τῇ ζωηρᾷ ζωοποίησον.

Ἀπεγνωσμένος, διὰ πλῆθος ἁμαρτημάτων, καὶ μὴ ἔχων ἐλπίδα σωτηρίας, εἰς τὴν σὴν καταφυγὼν ἀντίληψιν, σοὶ προσεπερρίπτω τὴν τῆς ψυχῆς μου ἀπόγνωσιν.

**Θεοτοκίον**

Σαλευομένην, τὴν καρδίαν στερέωσόν μου, ἡ τεκοῦσα Θεὸν θεογεννήτωρ, γῆν τῷ νεύματι σαλεύοντα, καὶ μὴ σαλευθεῖσα, τῆς παρθενίας τὰ σήμαντρα.

Κάθισμα. **Ταχὺ προκατάλαβε.**

Ψυχὴ μετανόησον πρὸ τῆς ἐξόδου σου, ἡ κρίσις ἀδέκαστος τοῖς ἁμαρτάνουσιν, ὑπάρχει καὶ ἄτεκτος, βόησον τῷ Κυρίῳ, κατανύξει καρδίας, ἥμαρτόν σοι ἐν γνώσει καὶ ἀγνοίᾳ οἰκτίρμον, πρεσβείαις τοῦ Βαπτιστοῦ σου, οἴκτειρον σῶσόν με.

**Δόξα καὶ νῦν. Θεοτοκίον**

Ἐκαίνισας ἄχραντε, τῷ θείῳ τόκῳ σου, φθαρεῖσαν τοῖς πάθεσι, τῶν γηγενῶν τὴν θνητήν, οὐσίαν καὶ ἤγειρας, πάντας ἐκ τοῦ θανάτου, πρὸς ζωὴν ἀφθαρσίας, ὅθεν σε κατὰ χρέος μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη ὡς προεφήτευσας.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ὠδὴ δ'. Εἰσακήκοα ὁ Θεός.**

Μετανοίας καθηγητήν, καὶ σωτηρίας ὑφηγητήν σε, καὶ ἁγνείας εἰσηγήτορα, καὶ ἀποσοβήτορα, δεινῶν πνευμάτων, ἔχομεν Πρόδρομε.

Ἀπὸ βρέφους τὴν ἀγαθήν, καλῶς μερίδα ἐπιποθήσας, ταῖς ἐρήμοις προσεχώρησας, αἷς ἐνδιαιτώμενος, ταῖς ἀρεταῖς ἰσάγγελος γέγονας.

Στειρευούσης καὶ παλαιᾶς, ἐκ ῥίζης ὄρπηξ ἀναθηλήσας, εὐθαλὴς τῆς νέας χάριτος, τὴν ἐμὴν νεότητα ὡς ἀετοῦ σοφὲ ἀνακαίνισον.

Ὁ κοσμήσας τὸν οὐρανόν, ἀστέρων πλήθει, καὶ τῷ ἡλίῳ, ὡς πολύφωτόν σε ἥλιον, ἐν τῷ στερεώματι τῆς Ἐκκλησίας ἔπηξε Πρόδρομε.

**Θεοτοκίον**

Ἰαμάτων ἀνελλιπῆ, πηγὴν γινώσκων, καὶ χαρισμάτων, θησαυρόν σε ἀδαπάνητον, ἱκετεύω Δέσποινα, τὸν ψυχικῶς νοσοῦντά με ἴασαι.

**Ὠδὴ ε'. Τὸν φωτισμόν σου Κύριε.**

Πολυανθὴς παράδεισος, μυρίπνους λειμών, εὐώδης κῆπος, τὰς χάριτας πνέων, ὤφθης Βαπτιστά, διὸ μυρίζεις μυστικῶς τὰς καρδίας ἡμῶν.

Λελαμπρυσμένος χάρισι, φαιδραῖς τῶν ἀρετῶν, καὶ μαρτυρίου ἐμπρέπων πορφύρα, Πρόδρομε Χριστῷ, συμβασιλεύεις ὑπὲρ πάντων δεόμενος.

Ἐν ἀνομίαις Πρόδρομε, τελέσας τὴν ζωήν, καὶ δαπανήσας, ἀσώτως τὸν βίον, νῦν ἐπὶ τὴν σὴν δραστικωτάτην προστασίαν κατέφυγον.

Κατὰ παθῶν ἐνίσχυσον, ἡμᾶς φθοροποιῶν, καὶ δίδου χεῖρα, κλυδωνιζομένοις, σάλῳ πειρασμῶν, καὶ τρικυμίᾳ περιστάσεων Πρόδρομε.

**Θεοτοκίον**

Ὡς ἀληθῶς γεννήσασαν, Θεὸν ἀληθινόν, καὶ ὡς κυρίως τεκοῦσαν τὸν πάντων Κύριον ἁγνή, σὲ Θεοτόκον ἀληθῶς καὶ κυρίως φρονῶ.

**Ὠδὴ ϛ'. Ζάλη με.**

Θρήνησον ὦ ψυχὴ πρὸ τῆς ἐξόδου, σεαυτὴν καὶ πένθησον, καὶ δάκρυσι μετανοίας καὶ θερμαῖς κατανύξεως ῥοαῖς, τὸν



ῥύπον ἀπόσμηξον, τὸν ἐκ παθῶν προστριβέντα σοι.

Εὕροιμι παραστάτην καὶ προστάτην, σὲ Κυρίου Πρόδρομε, ἐν ὥρᾳ τῆς ἐκδημίας, καὶ ἡμέρᾳ τῆς δίκης τῆς φρικτῆς, ῥυόμενον πάσης με, αἰωνιζούσης κολάσεως.

Ἤχησε τοῦ κηρύγματος ὁ φθόγγος, τοῦ σοῦ, εἰς τὰ πέρατα, ἁπάσης τῆς οἰκουμένης, ὡς χρυσήλατος σάλπιγξ λιγηρά, καλῶν εἰς ἐπίγνωσιν τοῦ Ποιητοῦ τὰ ποιήματα.

Γέεναν κατεσκεύασα πυρφόρον, ἐμαυτῷ τοῖς ἔργοις μου, καὶ ταύτην ἑπταπλασίως, ἐν ἀκάνθαις ἐξέκαυσα παθῶν, διὸ δός μοι Πρόδρομε δάκρυα ταύτην σβεννύοντα.

**Θεοτοκίον**

Ὄρος σε ἀλατόμητον Παρθένε, Δανιὴλ ἑώρακε, κατάσκιον ἀρεταῖς δέ, ὁ προφήτης προεῖδεν Ἀββακούμ, ἐξ οὗ ἡμῖν ἔπνευσεν ἀναψυχῆς πνεῦμα ἔνδροσον.

**Ὠδὴ ζ'. Τῇ εἰκόνι τῇ χρυσῇ.**

Ῥαθυμίας νυσταγμῷ, τὴν τῆς ψυχῆς μου λαμπάδα, ἐσκοτισμένην ἐπιφερόμενος καὶ ἐσβεσμένην ἐξ ἐπιρροίας, τοῦ βορβόρου τῶν παθῶν, καὶ τοῦ πηλοῦ τῶν ἡδονῶν, προσπίπτω σοι Προφῆτα, ἄναψον ταύτην βοῶν, ἀδύτου λύχνε φωτός.

Ἑωσφόρος πεφηνώς, τοῦ ἀνεσπέρου ἡλίου, ταῖς σαῖς ἀκτῖσι, καὶ φεγγοβόλοις αὐγαῖς, καταφωτίσαις μου τὴν καρδίαν, τὴν ὁμίχλην τοῦ νοός, καὶ τὴν ἀχλὺν τοῦ λογισμοῦ, σκεδάζων καὶ διδούς μοι φῶς μετανοίας ἰδεῖν, καὶ σκότους πεῖραν φυγεῖν.

Οὐκ ἐγήγερται φησί, τὸ ἀψευδέστατον στόμα, προφήτης μείζων ἐν γεννητοῖς γυναικῶν, σοῦ τοῦ Προφήτου καὶ ἐκ προφήτου, ἀποστόλων γὰρ σφραγίς, καὶ προφητῶν σὺ κορωνίς, καὶ στέφανος μαρτύρων, καὶ παλαιᾶς καὶ καινῆς, μεσίτης Πρόδρομε.

Μοναστῶν ὑπογραμμός, καὶ ἀσκητῶν ποδηγέτης, τῆς παρθενίας ἔμψυχον ἄγαλμα, τῆς σωφροσύνης ἔμπνοος στήλη, ἀρετὰς τὰς γενικάς, ἐγγεγραμμένας ἐν αὐτῇ ὡράθης κεκτημένη, καὶ ἀρχηγὸς Βαπτιστά, τοῦ Χριστωνύμου λαοῦ.

**Θεοτοκίον**

Ὁ συνάναρχος Πατρὶ καὶ συναΐδιος Λόγος, ὁ ὢν ἐν κόλποις τοῦ ἀοράτου Πατρός, ἀνεκφοιτήτως ἀδιαστάτως ἐκ τῶν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κόλπων τοῦ Πατρός, ὅλον κενώσας ἑαυτὸν ἐν κόλποις σου Παρθένε, ἤνοιξε κόλπους ἡμῖν τοῦ ἱεροῦ Ἀβραάμ.

**Ὠδὴ η΄. Γῆ καὶ πάντα.**

Νοῦν ὑψαύχενα καὶ θρασύν, ἥττονα παντοίων ἡδονῶν, οὐκ αὐτοκράτορα παθῶν κεκτημένος, κατεκρημνίσθην, εἰς βόθρον κακίας, καὶ εἰς πέταυρον Ἅδου, κατήντησα ἀλλ᾽ αὐτὸς ἐκεῖθεν, ἀνέλκυσόν με μάκαρ.

Αὔρα γένοιτό μοι λεπτή, ἔνδροσος νεφέλη σκιερά, πνεῦμα ζεφύρου λιγυρόν, ἀναψύχον με καὶ δροσίζον, παθῶν ἐν καμίνῳ παφλαζούσῃ, δεινῶς φλογιζόμενον, ἡ σὴ θεία χάρις Πρόδρομε καὶ ἡ σκέπη.

Χεῖρας αἴρων σε δυσωπῶ, Π.όδρομε, χειρί σου παναλκεῖ, χειρῶν με ῥῦσαι τοῦ ἐχθ.οῦ, ὄρεξόν μοι χεῖρα κειμένῳ· χερσὶν ὁ βαπτίσας, τὸν ἀνοίγοντα τὴν ἀγαθόβρυτ.ν χεῖρα ἐμπιπλῶντα πᾶν ζῶον εὐδοκίας.

Ὅλος ἄϋλος ἐν σαρκί, ἄσαρκος, ἐν ὕλης μετοχῇ, ὤφθης Κυρίου Βαπτιστά, ὥστις ἄγγελος σαρκοφόρος, καὶ γὰρ ἐκ σπαργάνων, ἁπαλῶν τε ὀνύχων τὴν ἔ.ημον, ἔσχες κατοικίαν, τρυφῶν ἐν ἀτροφίᾳ.

**Θεοτοκίον**

Στάμνος μάννα τὸ νομικόν, φέρουσα ἐτύπου μυστικῶς, σὲ τὴν τὸ μάννα τῆς ζωῆς, Κόρη φέρουσα, θεῖαν στάμνον, ἐκ σοῦ γὰρ ἐκβλύζει, γλυκασμὸς φωτισμὸς ἀγαλλίασις καὶ τρυφῆς χειμάρρους γλυκάζων ὑπὲρ μέλι.

**Ὠδὴ θ΄. Κρυπτὸν θεῖον.**

Ἰῷ φαρμαχθέντα με τῷ δρακοντείῳ, ἰατρὲ φιλόψυχε Χριστὲ ἰάτρευσον, ὁ κεφαλὴν συνθλάσας τοῦ δράκοντος τὴν ἰοβόλον, καὶ σῶσόν με ταῖς πρεσβείαις τοῦ Προδρόμου σου.

Ὡς ὄρθρος ἀνέτειλας ἐν τῇ σκοτίᾳ, τοῦ σκιώδους γράμματος, καὶ τῇ τοῦ νόμου νυκτί, τὰς φωταυγεῖς ἀκτῖνας τῆς χάριτος αὐγάζων μάκαρ, καὶ τὸν τῆς δικαιοσύνης φαίνων Ἥλιον.

Ἀξίνῃ πρεσβείαις σου τμητικωτάτῃ, τὰς ἀκάνθας Πρόδρομε, τῶν ἐγκλημάτων μου, ἀποτεμών, προρρίζους κατάφλεξον πυρὶ ἀΰλῳ, καὶ ῥῦσαί με τῆς γεέννης τοῦ ἀσβέστου πυρός.

Νομὴν ἕλκη βρύουσαν σηπεδονώδη, τῶν παθῶν μου ξήρανον Κυρίου Πρόδρομε, ὁ ποταμοὺς εἰς ἔρημον θέμενος καὶ διεξόδους ..των τῆς ἀσεβείας εἰς γῆν ἄνυδρον.



Νεκροῖς ἐξανάστασιν, εὐηγγελίσω· αἰχμαλώτοις λύτρωσιν σαφῶς ἐκήρυξας διὸ κἀμὲ νεκρὸν καὶ αἰχμάλωτον ὄντα Προφῆτα ζωώσας, δουλοπαθείας ἐλευθέρωσον.

Ἡ πρώην οὐ τίκτουσα καὶ ἀτεκνοῦσα, Ἐκκλησία Πρόδρομε, τῶν ἐθνῶν δέδεικται σαῖς διδαχαῖς πολύπαις καλλίτεκτος γονιμωτάτη, ἡ στεῖρα προφητικῶς ἑπτὰ γὰρ ἔτεκεν.

**Θεοτοκίον**

Σκηνὴν χαριτόπλοκον, χρυσῆν παστάδα, λογικὸν παράδεισον, οὐρανὸν ἔμψυχον, πορφυραυγῆ, χρυσόμορφον θάλαμον τοῦ Βασιλέως ὑπάρχουσαν, μεγαλύνομέν σε Δέσποινα.

---

## ΗΧΟΣ ΠΛ. Α΄.

Ἕτερος Κανὼν οὗ ἡ ἀκροστιχὶς αὕτη:

«Πέμπτην φέρει σοι προσφορὰν σοὶ ἱκέτης ὁ Ἰωάννης».

**Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ἵππον καὶ ἀναβάτην.**

Πτέρυξιν ἀπαθείας περιστερᾶς νοητῆς, περιηργυρωμέναις τῶν ἀρετῶν λευκότητι· εἰς ὕψος ἀοίδιμε θεωρίας, ἀρθεὶς τὸ Πνεῦμα εἶδες ἐν εἴδει περιστερᾶς.

Ἔχων ταῖς ἁμαρτί ι. νενεκρωμένην ψυχήν, εἰς τὴν σὴν καταφεύγω ζωοποιὸν ἀντίληψιν, μακάριε Πρόδρομε, ζώωσόν με πράξεσιν ἐναρέτοις τῇ μεσιτείᾳ σου.

Μόνος ἐν γῇ ἐρήμῳ ἐναυλιζόμενος, κατὰ μόνας ὡμίλεις, τῷ κατὰ μόνας πλάσαντι ἡμῶν τὰς καρδίας, καὶ κατὰ μόνας Πρόδρομε, ἐπ᾽ ἐλπίδι σὲ κατοικίσαντι.

Πρόληψις ὀλεθρίων πολιορκεῖ με παθῶν, καὶ συνηθεία φαύλη παγιωθεῖσα χρόνῳ μακρῷ, ὡς τύραννος ἕλκει με, εἰς δουλείαν πρόφθασον, ἐξελοῦ με Κυρίου Πρόδρομε.

**Θεοτοκίον**

Τέτοκας ὑπὲρ λόγον τὸν διὰ λόγου τὸ πᾶν, συστησάμενον λόγον, λόγου Θεοῦ λοχεύτρια, διὸ ἐξ ἀλόγων με παθῶν ῥῦσαι, ὅπως ὑμνολογῶσι τὴν πολυΰμνητον.

**Ὠδὴ γ΄. Ὁ πήξας ἐπ᾽ οὐδενός.**

Ἠλίας ἐξ οὐρανῶν εὐχῇ πῦρ κατήγαγε, καὶ πεντηκοντάρχους διττοὺς κατέφλεξε, τοὺς πεντηκοντάρχους τοιγαροῦν, καὶ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοὺς ἑκατοντάρχους καὶ χιλιάρχους τῶν ἐμῶν παθῶν, φλέξον Βαπτιστά, πρεσβειῶν σου πυρί.

Νεφέλη χριστιανοὺς σκεπάζουσα καὶ σκιάζουσα, καὶ παθῶν τοῦ καύσωνος ἀναψύχουσα, καὶ φωτοειδὴς πυρός, Πρόδρομε χρηματίζεις, νέου λαοῦ προπορευόμενος, καὶ πρὸς σωτηρίαν ἰθύνων ἡμᾶς.

Φιάλαι τῶν ἀρωμάτων αἱ σιαγόνες σου, μυρεψικὴν χάριν ἀρωματίζουσαι, καὶ εὐωδιάζουσαι, σοφέ, μυστικὴν εὐωδίαν, τὸ γὰρ πολύτιμον καὶ ἄχραντον μῦρον, τὸν Χριστὸν ἀποπνέουσιν.

Ἐτρώθην τῆς ἡδονῆς ῥομφαίᾳ καὶ τέθνηκα, καὶ θανὼν ἐν τάφῳ κεῖμαι πωρώσεως, λίθῳ καλυπτόμενος βαρεῖ, ἄκρας ἀναισθησίας, ἀναλγησίας ἀπογνώσεως, σῶσον Βαπτιστὰ τὸν οἰκέτην σου.

**Θεοτοκίον**

Ῥομφαῖαι αἱ τοῦ ἐχθροῦ εἰς τέλος ἐξέλιπον, πόλεις γὰρ καθεῖλεν αὐτοῦ ὁ ὕψιστος, σοὶ γὰρ ὡς ἐν πόλει λογικῇ, ἱδρύσας ὁ Σωτήρ μου, τὰ ἑαυτοῦ βασίλεια Κόρη, τῶν ἐχθρῶν τὰς πόλεις κατέδραμον.

Κάθισμα. **Τὸν Συνάναρχον.**

Ἁμαρτίας εἰς βάθη με ὀλισθήσαντα, τρικυμία χειμάζει τῆς ἀπογνώσεως, ἀλλὰ πρόφθασον Χριστὲ ὡς παντοδύναμος, κυβερνήτης τοῦ παντός, καὶ πρὸς λιμένα γαληνόν, προσόρμισον ἀπαθείας, πρεσβείαις τοῦ σοῦ Προδρόμου, δι' εὐσπλαγχνίαν Σῶτερ καὶ σῶσόν με.

**Δόξα καὶ νῦν. Θεοτοκίον**

Ἡ τὸ ἄνθος τὸ θεῖον ῥίζα βλαστήσασα, κιβωτὲ καὶ λυχνία καὶ στάμνε πάγχρυσε, ἁγία τράπεζα ζωῆς τὸν ἄρτον φέρουσα, ὡς Υἱόν σου καὶ Θεὸν ἐκδυσώπησον αὐτὸν, σὺν τῷ ἁγίῳ Προδρόμῳ, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι, τοὺς θεοτόκον ὁμολογοῦντάς σε.

**Ὠδὴ δ'. Τὴν θείαν ἐννοήσας σου.**

Ἐκ βρέφους φυγαδεύων ἐμάκρυνας, τῶν κοσμικῶν περισπασμῶν, καὶ ἐν ἐρήμοις καὶ ὄρεσιν, ὡς ἱεροῖς ἐν ἀδύτοις, ηὐλίζου τὸν Θεὸν προσδεχόμενος.

Ἰδοὺ κηρύσσων ἔκραζες, ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν, μετανοήσατε ἕκαστος, καὶ μετανοίας γνησίας, ποιήσατε ἀξίους καρποὺς ἐν Χριστῷ.



Συνέχει καὶ χειμάζει με κλύδων παθῶν, καὶ τρικυμίαι ἡδονῶν, καὶ λογισμῶν αἱ ἀντίπνοιαι, καταβαπτίζουσι σῶσον· διό με Βαπτιστὰ κινδυνεύοντα.

Ὁ φίλος τοῦ νυμφίου Χριστοῦ τοῦ Θεοῦ, ὁ ἑστηκὼς καὶ ἐν χαρᾷ τῆς τοῦ νυμφίου ἀκούων φωνῆς, τοῦ οὐρανίου νυμφῶνος, μετόχους ἐν χαρᾷ πάντας ποίησον.

**Θεοτοκίον**

Ἰσχύς μου σὺ καὶ ὕμνησις Δέσποινα, ἐγένου γάρ μοι προφανῶς, εἰς σωτηρίαν γεννήσασα, τὴν σωτηρίαν τοῦ κόσμου, Χριστὸν τὸν λυτρωτὴν καὶ σωτῆρά μου.

**Ὠδὴ ε'. Ὁ ἀναβαλλόμενος.**

Πλῦνόν με τοῖς δάκρυσι καὶ ἀποκάθαρον, παθῶν ἰλύος, καὶ καθαρόν με, τῷ Χριστῷ παράστησον, τῷ θερμῶς ποθοῦντι, τὴν ἡμετέραν κάθαρσιν.

Ῥείθροις κατανύξεως δρόσισον, Πρόδρομε, τὴν τετηγμένην καὶ ἐψυγμένην, τῷ φλογμῷ καὶ καύσωνι, τῷ τῆς ἁμαρτίας, πολυπαθῆ καρδίαν μου.

Ὅλην μου τὴν ἔφεσιν, μετάθες Πρόδρομε, ἐκ τῶν ἀστάτων πρὸς τὰ ἑστῶτα, καὶ πρὸς τὰ ἀΐδια, τὴν ἐπιθυμίαν, διέγειρόν με δέομαι.

Στάσεως καὶ τάξεως καὶ κατασχέσεως, τῶν σῶν προβάτων ἀξίωσόν με, διὰ τοῦ Προδρόμου σου, ὁ ἀμνὸς ὁ αἴρων, τὴν ἁμαρτίαν κόσμου παντός.

Φλόγα τὴν ἀκάματον καὶ ἀνυπόστατον, εἰς πνεῦμα δρόσου διασυρίζον, καὶ εἰς ἀναψύχουσαν αὔραν ὁ σὸς τύπος, μετήμειψε πανύμνητε.

**Ὠδὴ ς'. Ἐκύκλωσέ με.**

Ὁ χρόνος μου ἐξέλιπεν, ὁ δρόμος εἰς τέλος κατήντησε, ἡ ἔξοδος ἤγγισεν, ὁ κλέπτης ἐφέστηκεν, καὶ ὁ θερίζων, τὸ νεῦμα ἀπεκδέχεται.

Ῥεόντων φορὰν ἄστατον, καὶ ὕδωρ παθῶν ἀνυπόστατον, καὶ τὴν πολυτάραχον τῶν ἡδονῶν θάλασσαν, ἀκλυδωνίστως με μάκαρ διαβίβασον.

Ἄσαρκος ἁμιλλώμενος, ἀγγέλοις ὁ ἔνσαρκος ἄγγελος, σαρκὸς ἔξω γέγονας, καὶ σάρκα γενόμενον, βουλῆς μεγάλης, τὸν Ἄγγελον ἐβάπτισας.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Νεφέλης ἀνατείλαντα, Παρθένου τὸν ἄδυτον Ἥλιον, ἐμήνυσας Πρόδρομε, ὡς λύχνος πολύφωτος, ὃν ὁ τῶν φώτων, Πατὴρ Χριστῷ ἡτοίμασεν.

Σὲ πύλην ἀδιόδευτον, καλοῦμεν καὶ χώραν ἀνήροτον, καὶ γῆν ἀγεώργητον, ζωὴν γεωργήσασαν Μαρία πάναγνε, χαρμονὴ τῶν δούλων σου.

**Ὠδὴ ζ΄. Ὁ ἐν καμίνῳ πυρός.**

Ὁ ἐξ ἀκάρπου γαστρός, καὶ ἐξ ἀγόνων, σὲ λαγόνων παραγωγων Βαπτιστὰ εὐλογητὸς ὁ Θεός.

Συγχυτικαῖς τῶν παθῶν, ἐπαγωγαῖς σκοτιζομένην, τὴν ταπεινήν μου ψυχήν, φώτισον Πρόδρομε.

Ὁ ἐκ κοιλίας μητρός, ἅγιον Πνεῦμα δεδεγμένος ἁγίασον τοὺς νεφροὺς καὶ τὴν καρδίαν μου.

Ἵλεως ὤν τῆς φωνῆς, τῶν ἱκετῶν καὶ οἰκετῶν σου, μὴ ἐπιλάθη φωνὴ τοῦ λόγου Πρόδρομε.

**Θεοτοκίον**

Κατὰ τὸ πλῆθος ἁγνή, τῶν ὀδυνῶν μου τῆς καρδίας, αἱ παρακλήσεις σου νῦν με εὐφρανάτωσαν.

**Ὠδὴ η΄. Σοὶ τῷ παντουργῷ.**

Ἔλυσας πατρὸς τὴν ἀφωνίαν μάκαρ, μητρός τε τὴν στείρωσιν τεχθεὶς κατέπαυσας, ὅθεν κακῶν μου διάλυσον τοὺς βρόχους, καὶ τὰς πολυπλόκους, σειράς μου τῶν πταισμάτων.

Τρέμω ἐννοῶν τὸ φοβερόν σου βῆμα, καὶ ἀπροσωπόληπτον Χριστὲ κριτήριον, ἔνθα βοῶ σοι διὰ τοῦ Βαπτιστοῦ σου, μή με καταισχύνης τὸν κατηχρειωμένον.

Ἥπλωσας ἐν γῇ τὰς νοητὰς ἀκτῖνας, τοῦ θείου κηρύγματος ὡς μέγας ἥλιος, καὶ τὰς ἀπίστους καρδίας καταυγάσας, ἡλιοειδεῖς ἀπειργάσω θεοκῆρυξ.

Σὲ ὡς διαυγῆ καὶ φεγγοβόλον λίθον, λυχνίτην πυρσεύοντα φωτὶ τῆς χάριτος, καὶ ὡς πολύτιμον ἕνα μαργαρίτην, ἔπηξε Χριστὸς ἐκκλησίας ἐν τῷ στέφει.

**Θεοτοκίον**

Ὄμβρος ἐπὶ σὲ ζωαρχικὸς κατέβη, ἁγνὴ καὶ ἐμέθυσε τῆς γῆς τὰς αὔλακας, καταδροσίζων καρδίας καυσουμένας, καὶ ἐπαναψυχῶν ψυχὰς λιποψυχούσας.



**Ὠδὴ θ΄. Ἡσαΐα χόρευε.**

Ἰησοῦν τὸν Κύριον, καὶ Σωτῆρα καὶ δημιουργόν, δυσώπει Βαπτιστά, σῶσαί με φθορᾶς, καταβαπτιζόμενον τῶν ἡδονῶν ῥείθρῳ θολερῷ, καὶ βυθιζόμενον ἐν βορβόρῳ ἰλύϊ παθῶν.

Ὡς τρυγὼν φιλέρημος, ὡς ὡραία μάκαρ ἀηδών, ὡς εὔλαλος χελιδών, μέλος μυστικόν, ἡμῖν ἐκελάδησας καὶ συγκαλεῖς γλώσσῃ λιγηρᾷ, πρὸς τὸ τῆς χάριτος, θεῖον ἔαρ τοὺς ῥιγῶντας κακοῖς.

Ἀρετῶν πηξάμενος, Ἰωάννη ὄχημα σαυτῷ, εἰς ὄρος ὑπερνεφές, θείων ἐννοιῶν, εἰς ἄκραν ἀκρώρειαν θεωριῶν, ἦρθης μυστικῶν, καὶ ἀνελήλυθας εἰς ἀγγέλων ἁγιότητα.

Νοητοὶ συσχόντες με ὁδοστάται, ἄσαρκοι λῃσταί, ᾐκίσαντο πικρῶς καὶ ἀνηλεῶς, πληγαῖς με συγκόψαντες ἡμιθανῆ, ἔλιπον σοφέ, αἷς τὸ σὸν ἔλαιος, ὥσπερ ἔλαιον ἐπίχεε.

Νεμομένην ξήρανον τῶν παθῶν μου, σῆψιν Βαπτιστά, ἀνάστειλον τὴν ὁρμήν, ψῦξον τὴν ῥοήν, καὶ δός μοι κατάνυξιν καὶ δακρύων βρύουσαν πηγήν, ὅπως ἐκπλύνῃ με, τοῦ βορβόρου τῶν πταισμάτων μου.

Ἡ φωνὴ ἡ λύσασα ἀφωνίαν, πάλαι πατρικήν, κατεύθυνον πρὸς Θεόν, τὰς ἐμὰς φωνάς, καὶ δεῖξόν με μέτοχον, τῆς εὐκταίας τοῦ Χριστοῦ φωνῆς, ἡ πρὸς οὐράνιον βασιλείαν τοὺς δικαίους καλεῖ.

**Θεοτοκίον**

Σὲ πηγὴν καὶ πρόξενον καὶ αἰτίαν, ῥίζαν καὶ ἀρχὴν εἰδὼς παντὸς ἀγαθοῦ, Κύριε δυσωπῶ, ἐλέησον σῶσόν με, σὲ γὰρ ἔχω ἄγκυραν στερεάν, τεῖχος ἀπόρθητον, καὶ ἐλπίδος πέτραν ἄρρηκτον.

---

## ΗΧΟΣ ΠΛ. Β΄.

Ἕτερος Κανὼν οὗ ἡ ἀκροστιχὶς αὕτη.

«Τῷ Προδρόμῳ δέησιν ἕκτην προσφέρω ὁ αὐτὸς Ἰωάννης».

**Ὠδὴ α΄. ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ.**

Τὸ τρισυπόστατον κράτος καὶ ἀμερές, τὸ ταὐτὸ τῆς φύσεως, ἡ τρισύλιος λαμπάς, τῆς ἐμῆς ψυχῆς τὸ τριμερές, ἁμαρτίαις ζοφωθέν, λάμπρυνον δέομαι.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ως πανταδύναμος Λόγε ἀγγελικάς, ὑπεστήσω φάλαγγας, ἀσωμάτων λειτουργῶν, ἐπ' ἐσχάτων δὲ τὸν Βαπτιστήν, σαρκοφόρον ἐπὶ γῆς, ἄγγελον ἔκτισας.

Πεπορωμέναις βολίσι τῶν ἡδονῶν, καὶ πυρφόροις ἄνθραξι, τῶν παθῶν ἐρημικοῖς, κεκαυμένον δρόσισόν με νῦν, ἀπαθείας δροσισμῷ ἐρήμου βλάστημα.

Ρερυπωμένην καρδίαν καὶ λογισμόν, μολυσμοῖς σπιλούμενον, ἀκαθάρτων ἐννοιῶν, κεκτημένος δέομαι ῥοαῖς, κατανύξεως θερμῆς, πλῦνον με Πρόδρομε.

**Θεοτοκίον**

Ὁ κατοικῶν Θεὸς Λόγος ἐν οὐρανοῖς, ὁ ἐν ἀρχῇ ἄναρχος, οὐρανόν σε λογικόν, ἐπὶ γῆς δειμάμενος ἁγνή· μὴ λιπὼν τοὺς οὐρανοὺς ἐν σοὶ ἐσκήνωσεν.

**Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.**

Δακρύων χύσιν δαψιλῆ, ὄμβρησόν μοι Προφῆτα, τῶν παθῶν μου τὴν ῥύσιν, τὴν πικρὰν καὶ θολεράν, ξηραίνουσα παντελῶς, καὶ τὴν λύσιν τῶν κακῶν μου δίδου μοι.

Ροαῖς ὁ λούσας ποταμοῦ, ποταμὸν τῆς εἰρήνης, καὶ πηγὴν τῆς σοφίας, καὶ χειμάρρουν οἰκτιρμῶν, αὐτὸν δυσώπει σοφέ, τὸν χειμάρρουν τῆς τρυφῆς ποτίσαι με.

Οὐ σθένει γλῶσσα γηγενῶν, εὐφημῆσαι ἀξίως, τὸν ἐπέκεινα πάσης, εὐφημίας ἀληθῶς, ἐν γεννητοῖς γυναικῶν, μείζων γάρ σου, μάκαρ οὐκ ἐγήγερται.

Μερὶς καὶ κλῆρος ἡ ἐλπίς, ἐν ἐμοὶ σωτηρίας οὐχ' ὑπάρχει ἐξ ἔργων, διὰ τοῦτο πρὸ τῶν σῶν, προκυλινδοῦμαι ποδῶν, δυσωπῶ σε, σῶσόν με Χριστοῦ Βαπτιστά.

Πλατυτέρα οὐρανῶν, ὡς τῆς γῆς ἀνωτέρα, ὡς ἁγία ἁγίων, Χερουβὶμ καὶ Σεραφίμ, ὡς ὑπερτέρα σεμνή, ἀσυγκρίτως, τὸν Θεὸν ἐχώρησας.

Κάθισμα. **Ἦχος πλ. β'. Ἐλπὶς τοῦ κόσμου.**

Παθῶν με ζάλη καὶ δεινή, τρικυμία πταισμάτων, εἰς ἀπογνώσεως βυθὸν κατεπόντισε Σῶτερ, ἀλλ' ἔκτεινον τὴν κραταιάν μοι δεξιάν, καὶ σῶσόν με ὥσπερ τὸν Πέτρον ἱεραῖς πρεσβείαις τοῦ Προδρόμου, ἐκ βάθους τῶν δεινῶν Λόγε ἀνομιῶν μου.

**Δόξα καὶ νῦν. Θεοτοκίον.**

Τὸν πρὸ αἰώνων ἐκ Πατρός, πλὴν μητρὸς γεννηθέντα, Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, ἐπ' ἐσχάτων τῶν χρόνων, ἐκύησάς σε σαρκωμένον ἐξ ἁγνῶν αἱμάτων σου, Θεοκυῆτορ πλὴν ἀνδρός, ὃν αἴτησαι δωρήσασθαι ἡμῖν ἁμαρτιῶν ἄφεσιν πρὸ τοῦ τέλους.



**Ὠδὴ δ'. Χριστός μου δύναμις.**

Δεινῶς χειμάζει με σαρκὸς ὀρέξεων, ἀνυπόστατος κλύδων τυφωνικαῖς, αὔραις κυμαινόμενος, ὃν εἰς γαλήνην βαθεῖαν, Βαπτιστὰ Χριστοῦ μετάβαλε.

Ἐξ ἀμελείας μοι, κακὴ συνήθεια, ἐκ δὲ τῆς συνηθείας οὐκ ἀγαθή, ἕξις προσεγένετο, ἥτις τῷ χρόνῳ παγεῖσα, ὡς δευτέρα φύσις ἄγχει με.

Ἡ τῆς πρεσβείας σου, ἀξίνη Πρόδρομε ἀποτέμνοι ῥιζόθεν, τὴν ἐν ἐμοὶ θάλλουσαν πικρὰν ἡδονήν, καὶ στήσοι ταύτης τὴν νομήν, ψυχολέτειραν ὡς γάγγραιναν.

Στενά μοι πάντοθεν, πάντα καὶ ἄπορα, καὶ μετὰ κατηφείας καὶ ὀδυρμοῦ, καὶ δακρύων ἄξια, γνήσιε φίλε τοῦ Χριστοῦ, εἰς χαρὰν τὸ πένθος τρέψον μου.

**Θεοτοκίον**

Ἰδού σε Δέσποινα θεομακάριστε, μακαρίζουσι πᾶσαι αἱ γενεαί, τὴν ἀειμακάριστον, ὡς μακαρίους ποιοῦσαν, τοὺς ἀεί σε μακαρίζοντας.

**Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου.**

Νεκροῖς ἀνάστασιν καὶ ζωήν, σὲ τὴν ἐνυπόστατον ζωήν, ὁ Βαπτιστής σου ἐκήρυξεν, οὗ ταῖς ἱκεσίαις νενεκρωμένον με, ἀνάστησον ζωώσας αὐτοζωὴ Ἰησοῦ.

Ἐν θρήνοις Λόγε καὶ στεναγμοῖς, σὲ τὸν ἀμνησίκακον Θεόν, ἐκδυσωπῶ καὶ Σωτῆρά μου, σῶσόν με δεήσεσι τοῦ Προδρόμου σου, καὶ ῥῦσαι τῶν ἐν Ἅδου τιμωριῶν ἀγαθέ.

Καλάμου δίκην διηνεκῶς, αὔραις ῥιπιζόμενον παθῶν, καὶ σαλευόμενον Πρόδρομε, στήριξον τὸν νοῦν μου· αὐτὸς γὰρ κάλαμος, οὐκ ἔφυς ὑπὸ πνεύματος σαλευόμενος.

Τῆς βασιλείας τῶν οὐρανῶν, θεῖος εἰσηγήτωρ γεγονὼς καὶ μετανοίας διδάσκαλος, ἔργα μετανοίας ἀξίωσόν με ποιεῖν, δι' ὧν ἡ βασιλεία τῶν οὐρανῶν ὠνητή.

**Θεοτοκίον**

Ἡ καλλονὴ τοῦ Ἰακώβ, ἡ ἐκλελεγμένη τῷ Θεῷ πρὸ τοῦ γενέσθαι τὰ σύμπαντα, ἡ ἁγιωσύνην καὶ καθαρότητα, ἀσύγκριτον πλουτήσασα χαῖρε Δέσποινα.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ὠδὴ ϛ΄. Τοῦ βίου τὴν θάλασσαν.**

Νεφέλη σκιάζουσα, ἀναψύχουσα πνοή, αὔρα λεπτὴ δροσίζουσα, διασυρίζον πνεῦμα ψυχαγωγοῦν, γενοῦ μοι μακάριε, ἡδονῶν ἐν καμίνῳ φλεγομένῳ δεινῶς.

Πηγὴν χαριτόβρυτον, εὐσπλαγχνίας ποταμόν, φιλανθρωπίας πέλαγος, ἀγαθωσύνης ἄβυσσον Βαπτιστά, βαπτίσας διάσωσον, ἐν βορβόρῳ, παθῶν με ἐμπτιζόμενον.

Ῥεόντων τὴν ἄστατον, καὶ ῥοὰν περιφοράν, παραδραμὼν ἀκύμαντος, οὐ παρεσύρθης ῥοίζῳ τῶν ἡδονῶν, ἀλλ᾽ ὤφθης ἀσάλευτος, ὡς ἀνήλατος ἄκμων καὶ ἀτύπωτος.

Οἰκίαν αἰώνιον, ἐκ Θεοῦ οἰκοδομήν, σκηνὴν ἀχειροποίητον, ἐν οὐρανοῖς νῦν ἔσχηκας Βαπτιστά, ἐπὶ κατελύθη σου, ἡ τοῦ σκήνους οἰκία ἡ ἐπίγειος.

**Θεοτοκίον**

Σκηνὴ θεοχώρητε, ὄρος ἅγιον Θεοῦ, χρυσοῦν θυμιατήριον, πύρινε θρόνε πάγχρυσε κιβωτέ, λυχνία πολύφωτε, ἀδιόδευτε πύλη χαῖρε Δέσποινα.

**Ὠδὴ ζ΄. Δροσοβόλον μέν.**

Φερωνύμως Ἰωάννης προσηγόρευσε, Πρόδρομε χαριτώνυμε, οὐρανόθεν γάρ, καταπτὰς ὁ μέγας Γαβριήλ, πρὶν ἢ συλληφθῆναί σε, γαστρὶ ἔσται φησὶν Ἰωάννης αὐτοῦ τὸ ὄνομα.

Ἑωσφόρος φεγγοβόλος ἀνατέταλκας, ἥλιον προμηνύων ἡμῖν, τὸν ἐκλάμψαντα ἐκ νεφέλης Κόρης καθαρᾶς, οὗ νῦν ἐλλαμφθείην, ταῖς αὐγαῖς τῆς φωτοχύτου καλλονῆς καὶ ὡραιότητος.

Ῥαθυμίας ἐπὶ κλίνης με κοιμώμενον, ἔγειρον σαῖς ἀγρύπνοις εὐχαῖς, καὶ ἀγρυπνεῖν με, νοερῶς ἐνίσχυσον σοφέ, ὡς ἄγρυπνος φύλαξ τῶν πιστῶν, καὶ κατακοίμησον παθῶν ἄγρια κύματα.

Ὥσπερ ἄγγελος ἀσώματος ἐν σώματι, ὡς ἄϋλος ἐν ὕλῃ σαρκός, πεπολίτευσαι, Βαπτιστὰ καὶ Πρόδρομε Χριστοῦ διό με παθῶν σωματικῶν, καὶ ὑλικῶν περισπασμῶν δεῖξον ἀνώτερον.

**Θεοτοκίον**

Οὐκ ἰσχύει τὸ μυστήριον τοῦ τόκου σου, διερμηνεῦσαι γλῶσσα βροτῶν· τὸν γὰρ ἄναρχον, καὶ ἀόρατον καὶ ἀναφῆ, καὶ πάσης ἐπέκεινα φωνῆς, σάρκα γενόμενον ἐκ σοῦ, Δέσποινα τέτοκας.

**Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.**

Ἀσελγῆ βασιλέα Ἡρώδην ἤλεγξας τὸν συγχέαντα νόμους καὶ θεσμοὺς φύσεως, λέγων πρὸς αὐτόν, ὡς οὐκ ἔξεστιν ἔχειν σε, τὴν τοῦ ἀδελφοῦ σου γυναῖκα τοῦ Φιλίππου.



Ὑπερβὰς τὴν τῶν ὄντων δυάδα Πρόδρομε, τῆς ἁγίας Τριάδος αὐτόπτης γέγονας, καὶ τὴν ὑλικὴν ἐκφυγὼν περιπέτειαν, ἄϋλος ἀΰλοις ἀγγέλοις ἠριθμήθης.

Τὴν οὐράνιον πόλιν πατρίδα ἔσχηκας, ἐπειδὴ τὴν ἐνταῦθα οὐκ ἐπεπόθησας, πόλιν γὰρ ἀεὶ ἐξεδέχου μακάριε, τὴν τοὺς θεμελίους ἔχουσαν ἀσαλεύτους.

Ὁ ἐκ πέτρας ἀνίκμου, πηγάσας ὕδατα, ἐξ ἀγόνων λαγόνων σὲ ἀναδέδωκε, καὶ στειρωτικῶν ἐξ ὠδίνων παρήγαγεν, ὁ ἐκ τοῦ μὴ ὄντος παραγαγὼν τὰ πάντα.

**Θεοτοκίον**

Σελασφόρον λαμπάδα καὶ χρυσαυγίζουσα, φωτοφόρον παστάδα καὶ πορφυρίζουσαν, στάμνον γλυκασμοῦ, κιβωτὸν ἁγιάσματος, ἔγνωμέν σε Κόρη ὑπερευλογημένη.

**Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις.**

Ἰδοὺ πρὸς πρόσωπον βλέπεις πρόσωπον, τὴν τριφεγγῆ τριάδα καὶ τρισήλιον Πρόδρομε, τῶν ἐμφάσεων καὶ τῶν σκιῶν λυθεισῶν, καὶ περιαιρεθέντος παραπετάσματος, παντὸς ὑλικοῦ τοῦ τὴν αὐγὴν διατειχίζοντος.

Ὡς νόμου πλήρωμα καὶ κεφάλαιον, ὡς ἀρχηγὸν Χριστὸν τελειωτὴν τε τῆς πίστεως, καταγγείλας Προφῆτα γεγένησαι, νόμου σφραγὶς καὶ τέλος, ἀρχὴ δὲ χάριτος, καὶ τῆς προφητείας εὐκλεὲς ὄντως συμπέρασμα.

Ἀγγέλων βίον ἀναλαβόμενος, ἀγγελικῶς ἐβίωσας ὁ ἔνσαρκος ἄγγελος, κἂν γὰρ ἧς ἠλαττωμένος πρότερον, βραχύ τι παρ᾽ ἀγγέλοις ἀλλὰ τὸ δάνειον, τὸν χοῦν τῷ χοῒ νοῦ ἀποδοὺς ὤφθης ἰσάγγελος.

Νοὸς εὐθύτητι προορώμενος, τὴν τῶν ἐθνῶν γλυκεῖαν προσδοκίαν τὸν Κύριον, φυγαδεύων παιδόθεν ἐμάκρυνας Πρόδρομε, ἐν ἐρήμοις αὐλιζόμενος, Χριστὸν ἐθεάσω τὸν Θεὸν ὃν προσεδέχου ἀεί.

Νομίμων θείων σὺ ἀντεχόμενος, διακενῆς Ἡρώδην ἀνομοῦντα διήλεγξας, παρρησίᾳ ἐν νόμῳ χρησάμενος· ὅθεν ἀνόμῳ φόνῳ σε καθυπέβαλεν, ὁ παρανομίας ὑπουργὸς καὶ ἀνομίας υἱός.

Ἡλίου λύχνε διαφανέστατε, Λόγου φωνὴ Προφῆτα καὶ τῆς χάριτος Πρόδρομε, τοῦ νυμφίου Χριστοῦ φίλε γνήσιε, πάντων ἡμῶν ἐν ὥρᾳ τῆς ἐξετάσεως, μνήσθητι καὶ πρόστηθι τῶν σὲ μακαριζόντων πιστῶς.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον**

Σκιαὶ καὶ τύποι καὶ τὰ αἰνίγματα, τὰ νομικὰ παρῆλθον, τῇ γεννήσει σου Δέσποινα, ὡς γὰρ κούφη νεφέλη ἀνέτειλας, τὸν τῆς Δικαιοσύνης ἄδυτον ἥλιον, οὗ ταῖς γλυκεραῖς μαρμαρυγαῖς καταυγασθείημεν.

---

## ΗΧΟΣ ΠΛ. Β΄.

Ἕτερος Κανὼν εἰς τὸν αὐτὸν ἦχον, οὗ ἡ ἀκροστιχὶς αὕτη.

Συνώνυμος μέλπει σε δοῦλος Δεσπότου Ἰωάννης. Ἀμήν.

**Ὠδὴ α΄. Ἦχος πλ. β΄. Κύματι θαλάσσης.**

Σὲ τὸν ἐκ τοῦ πάντων, Θεοῦ καὶ Δεσπότου, Προφήτην μείζονα ἐν γεννητοῖς γυναικῶν μαρτυρηθέντα ὑμνῆσαι, τὶς ἰσχύσει θεῖε Πρόδρομε, τὶς ἐγκωμιάσει δέ, ὃν ὁ Χριστὸς εὐφήμησεν.

Ὕμνος ἀνθρωπίνου, ἐκ στόματος μάκαρ, οὐδεὶς προέρχεται, τῆς σῆς ἐπάξιος, ὑπεροχῆς τε καὶ δόξης, ὃν γὰρ φρίττουσι τὰ πάντα Θεόν, Ἰορδάνου νάμασιν αὐτὸς ἐχειροθέτησας.

Νύμφης Ἐκκλησίας, Χριστοῦ νυμφοστόλος, φαιδρὸς γεγένησαι, ἅγιε Πρόδρομε, τοῦ ἑτοιμάσαι λαὸν γάρ, προαπέσταλσαι νεόλεκτον, κατεσκευασμένον τε Κυρίῳ παντοκράτορι.

Ὥσπερ ἑωσφόρος, Χριστοῦ τοῦ ἡλίου προτρέχεις Πρόδρομε, ἐκ γῆς ἀλήθεια, προανατείλας καὶ πᾶσιν, οὐρανόθεν διακύπτουσαν, εὐαγγελισάμενος δικαιοσύνην Κύριον.

**Θεοτοκίον**

Νόμοι ἐν σοὶ Κόρη, τῆς φύσεως ὄντως, κεκαινοτόμηνται κυοφορούσῃ Χριστόν, τὸν νομοδότην καὶ νόμου, ποιητὴν τὸν ἐπιστρέφοντας, δικαιοῦντα χάριτι τοὺς πρὶν ἀνόμους ἅπαντας.

**Ὠδὴ γ΄. Σὲ τὸν ἐπὶ ὑδάτων.**

Ὕδατα τῶν παθῶν μου, καὶ ῥεύματα ῥεούσης ἁμαρτίας, ἀνάστειλον Προφῆτα, ὁ Ἰορδάνου τοῖς ὕδασι, Θεὸν ἐλέους ἄβυσσον, λούσας σταλάζοντα ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Μίαν ἐν Ἰορδάνῃ, θεότητα τρισὶ μεριζομένην, προσώποις ἀμερίστως, ἑνιζομένην δὲ φύσεως ὑπερφυεῖ ταυτότητι, μεμυσταγώγησαι, Ἰωάννη πανᾳοίδιμε.

Ὅλως ἀπεγνωσμένος, κατάκριτος ὅλον ἀπηλπισμένος, ἐκ πλήθους τῶν κακῶν μου, ἐπὶ τὴν σὴν καταπέφευγα δραστικωτάτην Πρόδρομε, πρεσβείαν ῥῦσαί με, ἀπὸ πάσης περιστάσεως.



Στένῳ κατανοῶν μου, τὴν ἄμετρον πληθὺν τῶν ἐγκλημάτων, ἐν ὥρᾳ καὶ ἡμέρᾳ τῆς φοβερᾶς ἐξετάσεως, μὴ με παρίδῃς δέομαι Κυρίου Πρόδρομε, ἀλλὰ σῶσόν με τὸν δοῦλόν σου.

**Θεοτοκίον**

Μόνη μετὰ τὸν τόκον, μεμένηκας ὥσπερ ἧς πρὸ τοῦ τόκου, πανάμωμος Παρθένε, καὶ ἀδιάφθορος μόνη ἐν σοί, καινοπρεπῶς συνέδραμον τόκος ἀπόρρητος, παρθενία τε παράδοξος.

Κάθισμα. **Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.**

Τῆς μετανοίας γεγονὼς θεῖος κῆρυξ, μετανοεῖν με ἐκ ψυχῆς καθεκάστην, ἐκδυσωπῶ σε Πρόδρομε ἐνίσχυσον, ὅπως ἀποθέμενος ἁμαρτίας τὸ βάρος, χαίρων ἐποφθήσομαι τῷ κριτῇ τῶν ἁπάντων, καὶ διὰ σοῦ γεένης τοῦ πυρός, καὶ αἰωνίου ῥυσθῶ κατακρίσεως.

**Δόξα καὶ νῦν. Θεοτοκίον**

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Ὠδὴ δ΄. Τὴν ἐν σταυρῷ σου θείαν.**

Ἐν τῇ ἐτάσει τῇ φρικώδει με, ὅταν μέλλω γυμνὸς καὶ τετραχηλισμένος, ἐν τρόμῳ σοὶ παρίστασθαι, σῶσον ὁ Θεός, εὐπροσδέκτοις δεήσεσι τοῦ Προδρόμου σου.

Λογοθεσίου δεινοῦ σῶσόν με, φορολόγων πικρῶν τελωνῶν τοῦ ἀέρος, καὶ ἐκ τοῦ κοσμοκράτορος, ῥῦσαι Βαπτιστά, τὴν ψυχήν μου, ὁπόταν τῆς γῆς μεθίσταται.

Παλαιωθεῖσαν πλημμελήμασι, τὴν ψυχήν μου πολλοῖς νεοποίησον μάκαρ, ὁ νέας ὄρπηξ χάριτος, ὁ ἐκ παλαιᾶς, στειρευούσης νηδύος ἀναθηλήσας καινῶς.

Ἐν τῇ ἀξίνῃ ἐκτμηθῆναί με, τῆς ὀργῆς τοῦ Θεοῦ, ὥσπερ ἄκαρπον δένδρον, πυρὸς δὲ παρανάλωμα τοῦ ἀειφλεγοῦς, γεγονέναι εὐχαῖς σου Πρόδρομε κώλυσον.

**Θεοτοκίον**

Ἰσχὺν καὶ σθένος καὶ κραταίωμα, προσφυγὴν βοηθὸν ὀχύρωμα καὶ τεῖχος, ἀντίληψιν παράκλησιν, καὶ μετὰ Θεόν, προστασίαν καὶ σκέπην σε ἔχω Δέσποινα.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**ᾨδὴ ε΄. Πρὸς σὲ ὀρθρίζω.**

Στενάζοντά με μὴ ἀποποιήσῃς, Βαπτιστὰ τοῦ Κυρίου, μηδὲ μου τῶν δακρύων, ῥοὰς παρίδῃς Ἰορδάνου ῥοὰς ὁ βαπτίσας Θεόν, ἀειρρόους χειμάρρους τὸν ποιήσαντα.

Ἐνώπιόν σου τῆς ἐμῆς καρδίας νοῦν ἐκχέω Προφῆτα, τὴν δέησιν καὶ ταύτης, προσαπαγγέλω μετ᾽ ὀδύνης τὴν θλίψιν καὶ κράζω σοι, ὥσπερ οἶδάς με σῶσον τὸν οἰκέτην σου.

Δακρύων μάκαρ, τῶν ἐν τῇ γεέννῃ, ῥῦσαι τοὺς ὀφθαλμούς μου, δακρύων τῶν ἐνταῦθα, τῇ χορηγίᾳ καὶ ψυχῆς μου τοὺς πόδας συντήρησον, ἐκ τοῦ τῆς ἁμαρτίας ὀλισθήματος.

Ὅταν λαμβάνῃς Δέσποτα τῆς γῆς με, ἐκ χειρὸς τοῦ παμφάγου, καὶ ὄντως ἀκορέστου, λύτρωσαι Ἅδου τὴν ψυχήν μου, λιταῖς τοῦ Προδρόμου σου, ὁ τὸν Ἅδην σκυλεύσας καὶ τὸν θάνατον.

**Θεοτοκίον**

Ὑπέρκειταί σου Πάναγνε τὸ θαῦμα, ἀνθρωπίνης σοφίας, καὶ γνώσεως ἀγγέλων, καὶ ὑπερβαίνει κατὰ κράτος τῶν λόγων τὴν δύναμιν, ἐγκωμίων γὰρ νόμον οὐχ ὑπόκεινται.

**ᾨδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.**

Λουτρῷ μετανοίας με, καὶ δακρύων προχοαῖς, ζεούσαις θέρμῃ πνεύματος, ὁ Ἰορδάνου πάλαι ταῖς προχοαῖς, ἐλέους τὴν ἄβυσσον, Βαπτιστὰ καταδύσας νῦν ἀπόπλυνον.

Ὁ θείας ἀψάμενος, τῇ χειρί σου κορυφῆς, τοῦ ἁπτομένου ὥς φησιν ἡ γραφή· τῶν ὀρέων καὶ καπνισμῷ, αὐτὰ ὑποβάλλοντος, τὴν αὐτὴν ἆρον χεῖρα πρὸς Θεὸν δι᾽ ἐμέ.

Σὲ ὅνπερ εὐφήμησε, τοῦ Χριστοῦ μου τὸ σεπτόν, στόμα καὶ πλῆρες πνεύματος, παρ᾽ οὗ πᾶν στόμα λόγον τε καὶ πνοήν, ἐμπνέεται Πρόδρομε, εὐφημῆσαι ἀξίως τὶς ἰσχύσειεν.

Διεξόδους ξήρανον, τῆς ῥεούσης ἐν ἐμοί, ὑδατηρᾶς μακάριε, ἁμαρτίας ἡδύτητα τῷ ἐχθρῷ, πολλὴν καὶ ἀπόλαυσιν, προξενούσης ἐμοὶ δὲ πῦρ ἀκάματον.

**Θεοτοκίον**

Ἐλέους ἀκτῖνά μοι, τότε φᾶνον ἡ τὸ φῶς, τεκοῦσα τὸ ἀΐδιον, ἐξ ἀστραπῆς τῆς θείας αἱ ἀστραπαί, ὅτε τούτου φάνωσι, πάσῃ τῇ οἰκουμένῃ καὶ κλονεῖται ἡ γῆ.



**ᾨδὴ ζ΄. Ἄφραστον θαῦμα.**

Σὲ τῆς ψυχῆς μου, τὸν ἀντιλήπτορα ἴδοιμι, παρεστῶτα τότε δεξιά, ὅτε ἐξ ἐμοῦ, ἐκλείπει τὸ πνεῦμά μου, τοὺς ἐκζητοῦντας, Πρόδρομε τὴν ψυχήν μου, ἐκδιώκοντα ῥάβδῳ τῆς σῆς σκέπης.

Πολλαῖς ἀκάνθαις, βιωτικῶν περιστάσεων, μεριμνῶν τε, Βαπτιστὰ Χριστοῦ, καὶ τῶν σαρκικῶν μᾶλλόν με ὀρέξεων συμπεπνιγμένον καὶ οὐ τελεσφοροῦντα, νῦν προφθάσας, διάσωσον εὐχαῖς σου.

Ὁ ἀνασπάσας, ἀπὸ ῥιζόθεν ἐλέγχων σου, τῇ μαχαίρᾳ μῖσος μοιχικόν, καὶ τὴν ἐν ἐμοὶ παιδόθεν βλαστήσασαν, νῦν δὲ κομῶσαν, ποικίλην ἁμαρτίαν, σὺ προθέλυμνον ἔκτιλλον Προφῆτα.

Τὴν ζωὴν πᾶσαν, ἐν ἀμελείᾳ παρῆλθέν μου, ἀλλὰ δός μοι κἂν ἐν τελευτῇ, θεῖε Βαπτιστά, καρποὺς ἐπιδείξασθαι τῆς μετανοίας, ἀξίους ἐκήρυξας, πρῶτος πάντων μετάνοιαν ἐν κόσμῳ.

**Θεοτοκίον**

Ἡ φλογοφόρος λαβίς, ἡ ἄνθρακα φέρουσα, τοῦ ἀΰλου κόλποις σου πυρός, ἄνθρακας ἐμῶν, παθημάτων δρόσῳ σου, τῆς εὐσπλαγχνίας, κατάσβεσον Παρθένε, καὶ ἀνθράκων ἀσβέστων λύτρωσαί με.

**ᾨδὴ η΄. Ἔκστηθι φρίττων οὐρανέ.**

Νῦν ἀναλόγισαι ψυχή, τὰ πεπραγμένα σοι ἐν κρυφῇ καὶ φανερῶς, καὶ γνῶθι τὰς ἐκεῖ μενούσας σοι ἀτελευτήτους ποινάς, βασάνους κολάσεις τιμωρίας, καὶ πρόσδραμε τῷ Κτίστῃ, ἐν θερμῇ μετανοίᾳ, διὰ τοῦ Προδρόμου, οἰκτιρόν με βοῶσα.

Ἵλεως ἔσομαι Σωτήρ, ἡνίκα μέλλω σου, παραστῆναι τῷ φρικτῷ, ὁ τάλας καὶ ἀστέκτῳ βήματι, καὶ εὐμενῶς ἐπ᾽ ἐμέ, ἐπίβλεψον ὄμματι ἰλέῳ, καὶ μή με τὸν θυμώδη, ἐν θυμῷ σου ἐλέγξας, μή με τὸν ὀργίλον παιδεύσας ἐν ὀργῇ σου.

Ὥραν ἐκείνην τὴν φρικτήν, τῆς ἐξετάσεως, ὅταν λάβω κατὰ νοῦν, θορύβου καὶ δειλίας πίμπλαμαι καὶ ἀγωνίας Χριστέ, ἐν ᾗ προκαθίσεις Κριτὴς μέγας, πνοῆς ἁπάσης ἔργα, διευθῦναι δικαίως, καὶ ἀνταποδοῦναι ἑκάστῳ κατ᾽ ἀξίαν.

Ἄρας ἀξίνην τμητικήν, τῆς ἀντιλήψεως καὶ τῆς σκέπης σου σοφέ, Προφῆτα προθέλυμνον ἔκκοψον, ὡς γεωργὸς ἀγαθός, τὸ δένδρον ἐν ἐμοὶ τὸ βλαστῆσαν, παρὰ τὰς διεξόδους, τῆς ὑγρᾶς ἁμαρτίας, καὶ καρποφορῆσαν καρποὺς θανατηφόρους.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον**

Νοῦν ὑπερήφανον ὁ σός, τόκος πανάχραντε ἐταπείνωσεν εἰς γῆν, καὶ τύφον τοῦ ἐχθροῦ κατέσπασε καὶ ἐπηρμένην ὀφρῦν, πιστῶν ὑποτάξας ποσὶ τοῦτον, ὡς τὴν ὀλεθροτόκον, κεφαλὴν συμπατοῖτο, καὶ τὴν μιαιφόνον συντρίβοιτο καρδίαν.

**Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.**

Νοῆσαι μόλις ὅ ἠδυνήθησαν, συμβολικῶς προφῆται τοῦ Θεοῦ σὺ ἑώρακας, ὀφθαλμοῖς καὶ χερσί σου ἐκράτησας, ἄϋλον πῦρ ἐν ὕλῃ σώματος, ὅθεν μου τῶν ἁμαρτημάτων τὴν ὕλην, σοφὲ κατάφλεξον.

Ἡδὺ τοῖς φίλοις φίλων αἰτήματα, ἀποπληροῦν οὐκ ἔστι γὰρ πιστοῦ φίλου ἀντάλλαγμα, Ἰωάννη, τῶν ὄντων οὐδὲν ἀτεχνῶς, σὺ δὲ Κυρίου φίλος εἶ γνησιώτατος, ὅθεν αἴτησαι σωθῆναί με, καὶ γὰρ οὐ παρακούσει σου.

Στενά μοι πάντοθεν καὶ ἐπώδυνα, καὶ στεναγμῶν πολλῶν τὰ ἐν ἐλπίσιν ἐπάξια, τῆς γεέννης καὶ γάρ μοι ἐνέχυρον, πλῆθος τὸ τῶν κακῶν μου ἀπαράλόγιστον, ταύτην μοι ἐχέγγυον ἐκεῖ ταμιευόμενον.

Ἀστέκτῳ θρόνῳ ὁ παριστάμενος, σεραφικὸς οἷά τις παραστάτης ἐμοῦ καὶ προστάτης γενοῦ, καὶ ὑπερασπιστής μου, ὅτε τοῦ σώματος, ἡ πολυαμάρτητος ἐμὴ ψυχὴ χωρίζεται.

Μετάνοιάν μοι παράσχου Πρόδρομε, καὶ στεναγμὸν καὶ πένθος καὶ κλαυθμὸν καὶ κατάνυξιν, καὶ δακρύων πηγὴν ἀνεξάντλητον, καὶ συντριβὴν καρδίας καὶ νοῦ ταπείνωσιν, ἵνα μου θρηνήσω τὴν πληθύν, τῶν ἀμετρήτων κακῶν.

Ἡ γέεννά μοι παρετοιμάζεται, τῆς τελευτῆς ἀξίνη τμητικὴ παραθήγεται, τὴν τομὴν ἀκαρπία μνηστεύεται, Πρόδρομε ταῖς εὐχαῖς σου σβέσον τὴν κάμινον, θήλυνον τὸ ξίφος, τὴν τομὴν ἐπέσχες κώλυσον.

**Θεοτοκίον**

Νοὸς ἐκ πένητος διανοίας τε, ἐξ ἐμπαθοῦς ἡλίκον σοι προσοίσω ἐγκώμιον, τῇ Θεὸν πλουτησάσῃ ἀρρήτως υἱόν, ἄχραντε Θεοτόκε· ὅθεν τὴν πρόθεσιν, ὅσῃ καὶ τὴν πίστιν, τὴν ἐμὴν εἰδεῖα σῶσόν με.



# ΗΧΟΣ ΒΑΡΥΣ

Ἕτερος Κανών, οὗ ἡ ἀκροστιχὶς αὕτη

Ἐν ἑβδόμῳ σοι προσλαλῶ μάκαρ μέλει, τὸ ἔπος Ἰωάννου.

**Ὠδὴ α'. Ἦχος βαρύς. Νεύσει σου.**

Ἔγνωσε ὁ γινώσκων, πρὸ τοῦ γενέσθαι τὰ πάντα, καὶ πρὸ τοῦ πλασθῆναί σε, ἡγίασέ σε Πρόδρομε, ἔτι ἐκ μητρὸς κοιλίας, Πνεύματος ἁγίου ἐμπλήσας καὶ χάριτος.

Νόμοις οὐχ' ὑποπίπτει, βροτοπρεπῶν ἐγκωμίων, ἡ δόξα σου Πρόδρομε, ἡ θεία καὶ ἀσύγκριτος, ὅθεν τὸν πάντων Δεσπότην, ἐγκωμιαστὴν ἐπαξίως εὐτύχησας.

Ἔσχες ἐν ὀστρακίνῳ, συγκαλυπτόμενον σκεύει, τῷ σώματι Πρόδρομε, τὸν θησαυρὸν τοῦ Πνεύματος, κρύπτων σαρκὸς ἐν ἐλύτρῳ τὸν λευκοφαῆ μαργαρίτην τῆς χάριτος.

Βέλη τῆς ἁμαρτίας, τὴν βεβλημένην ψυχήν μου, θεράπευσον Πρόδρομε, φαρμάκῳ τῆς πρεσβείας σου, καὶ τὸν τὴν ἐμὴν καρδίαν, τρώσαντα βελίαρ κυρίως ἀντίτρωσον.

**Θεοτοκίον.**

Δόξα τῷ ἐν ὑψίστοις, θεοπρεπῶς ὑμνουμένῳ, πυρίνοις ἐν στόμασι, καὶ φλογεροῖς ἐν χείλεσιν, ὅτι ἐκ Παρθένου Κόρης, διὰ τὴν ἡμῶν σωτηρίαν σεσάρκωται.

**Ὠδὴ γ'. Ὁ κατ' ἀρχὰς τοὺς οὐρανούς.**

Ὁ κατενώπιον Θεοῦ, παρεστηκὼς ἐν ὑψίστοις, τῶν ἀγγέλων ἄρχων Γαβριήλ, ἑστὼς δεξιὰ τοῦ θυμιάματος, ὤφθη σοφὲ τῷ σῷ πατρί, ἐν τῷ ναῷ θυμιῶντι, τὴν σὴν προμηνύων θείαν σύλληψιν.

Μνήμη δικαίων ἱερῶς, μετ' ἐγκωμίων τελεῖται, ἀλλ' ἡ μνήμη Πρόδρομε ἡ σή, ἐπαίνου παντὸς ὑπερανέστηκε, καὶ ἐγκωμίων ἀτεχνῶς, ὑψηλοτέρα ὁρᾶται, πάσης εὐφημίας γὰρ ὑπέρκειται.

Ὡς παλαιᾶς τε καὶ καινῆς, Προφῆτα θεῖος μεσίτης, μεσιτείαις σου ταῖς ἱεραῖς, πεπαλαιωμένον με καινούργησον, ἀνακαινίσας ψαλμικῶς, ὡς ἀετοῦ παραδόξως, μάκαρ τῆς ψυχῆς μου τὴν νεότητα.

Στεῖραν καὶ ἄγονον ψυχήν, καὶ ἀτεκνοῦσαν καρδίαν, κεκτημένος Πρόδρομε Χριστοῦ, πρὸς σὲ τὸ τῆς στείρας γλυκὺ βλάστημα, καταφυγὼν ἐκδυσωπῶ, τὴν χερσωθεῖσαν ψυχήν μου, δράγμασιν ἐνθέοις δεῖξον γόνιμον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον.**

Ο πλήρης ὢν καθὸ Θεός, ἐν ἀκενώτῳ κενώσει ἐκενώθη Δέσποινα ἐν σοί, καὶ πάντες ἡμεῖς σαφῶς ἐλάβομεν, ἐκ τοῦ πληρώματος αὐτοῦ, καὶ ἀντὶ χάριτος χάριν, ἐκ σοῦ γὰρ ὁ Λόγος σὰρξ ἐγένετο.

Κάθισμα. **Ἦχος βαρύς. Ὁ καρπὸς τῆς.**

Ὡς ἡ πόρνη προσπίπτω σοι φιλάνθρωπε, εἰ καὶ δακρύων ὅλως ἀπορῶ κατανύξεως, πρεσβείαις τοῦ Προδρόμου, ὡς ἐκείνην κατάνυξον ὁ Θεός μου καὶ σῶσόν με.

**Δόξα καὶ νῦν. Θεοτοκίον.**

Προστασία θερμὴ καὶ ἀντίληψις, χριστιανῶν ὑπάρχεις Θεοτόκε πανύμνητε, διὸ σὺν τῷ Προδρόμῳ τὸν Υἱόν σου δυσώπησον, τοῦ εὑρεῖν ἡμᾶς ἔλεος.

**Ὠδὴ δ΄. Ὁ πατρικοὺς κόλπους.**

Ἰσοσθενῆ Λόγον τῷ Πατρί, ἐν ἀσθενείᾳ τῆς σαρκὸς γενόμενον, ὁ βαπτίσας κατοικτείρησον, τὴν ἐμὴν ἀσθένειαν, ὅτι ἀσθενὴς καὶ πτωχὸς εἰμι.

Περιπεσὼν βρόχοις ἡδονῶν, καὶ ἐμπεσὼν εἰς ψυχοφθόρων χεῖρας ληστῶν, ἐξεδύθην τὸ οὐράνιον τῆς ἁγνείας ἔνδυμα, ἀλλὰ σύ με σκέπασον Πρόδρομε.

Ῥάβδος ἡμῖν μάκαρ ἐκ Θεοῦ, τοῖς ἀσθενοῦσι ψυχικῶς δεδώρησαι, καὶ ἰσχύος καὶ δυνάμεως, διὸ πάντας στήριξον, βακτηρία σῆς ἀντιλήψεως.

Ὁ προδραμὼν μάκαρ τοῦ Χριστοῦ, τῆς ἐπὶ γῆς καὶ ὑπὸ γῆν καθόδου φρικτῆς καὶ κηρύξας τοῖς ἐν ᾅδῃ ζωήν· ζωῆς με ἀξίωσον, τῆς ἐν τῷ αἰῶνι τῷ μέλλοντι.

**Θεοτοκίον.**

Σοῦ τὴν σεπτὴν σκέπην καὶ θερμήν, μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ πανύμνητε, βοηθὸς δέ μοι τῷ πένητι, γενοῦ καὶ προσφύγιον, ἐν ταῖς εὐκαιρίαις καὶ θλίψεσιν.

**Ὠδὴ ε΄. Κύριε ὁ Θεός μου.**

Λόγου φωνὴ Προφῆτα, τὰς ἐμὰς φωνὰς τὰς ἱκετηρίους δεξάμενος ἄξιον, εὐχαῖς σου με ποίησον τῆς εὐκταίας φωνῆς ἀκοῦσαι, τῆς πρὸς βασιλείαν καλούσης Θεοῦ.

Ἄλαλα γενηθήτω, τοῦ πικροῦ τυράννου καὶ μισανθρώπου, τὰ χείλη τὰ δόλια, καιρῷ τῆς ἐξόδου μου, καὶ μὴ εὕρῃ λόγον λαλῆσαι, κατ' ἐμοῦ τοῦ δούλου σου Πρόδρομε.



Λύχνος ὢν τοῦ Ἡλίου, τῆς δικαιοσύνης, σὺ φωτιεῖς μου τὸν λύχνον πανεύφημε, καὶ γὰρ φῶς ταῖς τρίβοις μου, καὶ ποσὶν ἐμοῖς λύχνος φαίνων, ἡ πρὸς σὲ ἐλπὶς καὶ πεποίθησις.

Ὥσπερ ἐν ἀκυμάντῳ, Βαπτιστὰ λιμένι, προσέδραμόν σοι, ἐκ τῆς πολυκύμονος θαλάσσης τοῦ βίου φυγών, δός μοι νοῦν βεβηκότα, καὶ ἀπερικτύπητον ἔννοιαν.

**Θεοτοκίον.**

Μήτηρ ἐν ταῖς παρθένοις, καὶ παρθένος ὤφθης ἐν ταῖς μητράσιν, ἀπείρανδρε Δέσποινα, Θεὸν γὰρ ἐγέννησας, τὸν καινοτομοῦντα τὰς φύσεις, καὶ μεταποιοῦντα τῷ νεύματι.

**Ὠδὴ ϛ΄. Ναυτιῶν τῷ σάλῳ.**

Ἀληθῶς οὐκ ἔφυς, κατὰ τὸν σωτήριον λόγον, εὐρίπιστος κάλαμος Ἰωάννη, ὑπὸ ἀνέμου παντὸς σαλευόμενος, ἀλλὰ στηριγμὸς ἡμῶν καὶ βάσις τῶν σαλευομένων πονηρίας πνεύμασιν.

Κεκμηκὼς ὁ νόμος, καὶ καταγηράσαν τὸ γράμμα, ἐλθούσης τῆς χάριτος ἀπεπαύθη, καὶ τῆς ἡμέρας φανείσης, παρῆλθεν ἡ νύξ, τὰ γὰρ προσκιάσματα τοῦ νόμου, ὁ τῆς ἀληθείας χαρακτὴρ ἐπέχρωσεν.

Ἀνῃρέθης μάκαρ, διὰ τὸν θεόσδοτον νόμον, καὶ σοῦ μὲν τὸ τίμιον ἡ γῆ, αἷμα· ὁ δὲ Ἡρώδης τὸ κρῖμα ἐδέξατο, καὶ ὁ τῶν πνευμάτων βασιλεύων Ἰησοῦς Χριστός, τὸ πνεῦμα προσελάβετο.

Ῥυπαρῶν χειλέων, καὶ μεμολυσμένης καρδίας, τὴν δέησιν Πρόδρομε μὴ ἀπώσῃ, ἀλλὰ εὐσπλάγχνως τῆς ποίμνης σου μνήσθητι, τῆς συναγωγῆς σου ἧς ἐκτήσω, καὶ λύτρωσαι ῥάβδῳ τὴν κληρονομίαν σου.

**Θεοτοκίον.**

Μακαρία ὄντως, σοῦ ἡ μακαρία κοιλία, Χριστὸν ἡ βαστάσασα τὸν σωτῆρα, θεομακάριστε Κόρη πανάμωμε, καὶ εὐλογημένοι οἱ μαστοί σου, οὓς ὁ τρέφων ἅπασαν πνοὴν ἐθήλασεν.

**Ὠδὴ ζ΄. Κάμινον παῖδες.**

Ἔθετο πάντων, Χριστὸς προφητῶν σε, καὶ κορυφὴν καὶ ἀκρότητα, καὶ γὰρ προφήτην οὐδένα σοῦ μείζονα προέφησε Πρόδρομε, ἐγηγέρθαι σαφῶς ἐν γεννητοῖς γυναικῶν.

Λῦσον δεσμοῦ με, παθῶν καὶ τῷ φόβῳ, Χριστοῦ ἀλύτως με σύνδεσον, ὁ τῆς μητρὸς διαλύσας τὴν στείρωσιν, πατρός τε τὴν κώφωσιν, καὶ αὐτῷ ἀποδοὺς ἣν ἀφῃρέθη φωνήν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἔθου εἰς δίψαν, ὑδάτων ἐξόδους καὶ ποταμούς, εἰς ἐρήμωσιν, κατακλεισμὸν ἀσεβείας εἰργάσω γάρ, πλημμύρᾳ τῆς χάριτος, βαπτιστά, καὶ βροχῇ τοῦ κηρύγματος.

Ἴθυνον μάκαρ, τοῦ Πνεύματος αὔραις, πρὸς τὸν λιμένα τὸν ἄκλυστον, τὴν ναυτιῶσαν ψυχήν μου τοῖς πάθεσι, καὶ ὅρμῳ προσόρμισον, μετανοίας αὐτὴν ἐνηχομένην κακοῖς.

**Θεοτοκίον.**

Τίς ποτὲ εἶδεν ἢ ἤκουσεν ὅλως Κόρην Παρθένον ἐγκύμονα, ἄνευ ἀνδρὸς συλλαβοῦσαν καὶ τέξασαν, ἐν σοὶ μόνῃ Δέσποινα, τὰ ἀνήκουστα ἤκουσται καὶ πέπρακται.

**Ὠδὴ η'. Ἄφλεκτος πυρί.**

Οἶκος ἱερός, ἀνεδείχθης Ἰωάννη, τὰς ἀρετὰς καὶ χάριτας συγχορευούσας ἔχων ἔνδοθεν, καὶ θάλαμος μυστικός, ἁγιωσύνης ἀκραιφνοῦς καὶ καθαρότατος, καὶ πανευώδης, λειμὼν παρθενίας καὶ ἁγνείας, ἀείζωα φέρων φυτὰ καὶ τεθηλότα.

Ἔκτεινον τὴν σὴν δεξιὰν Προφῆτα χεῖρα, ἣ κορυφῆς ἐψήψατο, τοῦ ἁπτομένου τῶν ὀρέων Χριστοῦ, καὶ τρέμοντα ψαλμικῶς φόβῳ, δεικνύοντος αὐτὰ καὶ καπνιζόμενα, καὶ διὰ ταύτης τῇ σῇ με σημείωσον σφραγίδι, μήπως ἅψηταί μου, φονία χεὶρ δολία.

Ποίαν σε ᾠδήν, ὁ φτωχὸς ἐγὼ καὶ πένης τῇ σῇ μεγαλειότητι προσοίσω Πρόδρομε κατάλληλον, ἀλλ' ὅμως φίλε Χριστοῦ, ἐπείπερ φίλον καὶ Θεῷ τὸ κατὰ δύναμιν, ὥσπερ ἐκείνος, τὰ δύο λεπτὰ τῆς πάλαι χήρας, οὕτω σύ μου δέξου τὸν ὕμνον καὶ τὸν αἶνον.

Ὅτε μητρικῆς ἐκ νηδύος ἡγιάσθης, ὤφθης παθῶν ἀμέτοχος, καὶ ἀπαθείας θείας μέτοχος, συμμέτοχός τε Χριστοῦ καὶ βασιλείας τῆς αὐτοῦ, κοινωνὸς Πρόδρομε, ἧς μετασχεῖν με, τὸν μέτοχον πάσης ἁμαρτίας, διὰ μετανοίας ἀξίωσον εὐχαῖς σου.

**Θεοτοκίον.**

Σὲ τὸ καθαρὸν ἐνδιαίτημα τοῦ Λόγου, τὸ λογικὸν παλάτιον, τοῦ βασιλέων Βασιλέως Χριστοῦ, τὸν ἔμψυχον οὐρανόν, τὴν θεοδόχον κιβωτόν, καὶ θεοφόρον σκηνήν, ἅπας ὁ κόσμος, Παρθένε, μετὰ τῶν ἐγκωμίων, καὶ ὑπερκοσμίων ὑμνοῦσι παγκοσμίως.



**Ὠδὴ θ'. Μὴ τῆς φθορᾶς.**

Ἱερατεύοντι πάλαι τῷ ἱερῷ ἱερεῖ, ὁ ἱερὸς οὐρανόθεν ἐπιφοιτᾷ Γαβριήλ, καὶ μὴ φοβοῦ φησὶ Προφῆτα Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου, ὅθεν τέξεταί σοι ἡ Ἐλισάβετ υἱόν.

Ὡς οὐρανὸς Ἰωάννη, ἐπὶ τῆς γῆς λογικός, τὴν ἀδιήγητον δόξαν ἐκδιηγῇ τοῦ Θεοῦ, καὶ πρὸς ἐπίτευξιν αὐτοῦ τῆς βασιλείας, καὶ πρὸς ἐπιτυχίαν αὐτοῦ τῆς μετουσίας, ἀναφλέγεις τὰς τῶν ἀνθρώπων ψυχάς.

Ἀπὸ ἐρήμων ὀρέων, ἀπὸ ἀβάτων κρημνῶν, ἀπὸ ἀνύδρων βαράθρων, τῶν ἀκαθάρτων παθῶν, πρὸς μετανοίας δροσώδεις πεδιάδας, καὶ τόπους χλοηφόρους, ἰθύνας ἐπὶ πόαν κατανύξεως μάκαρ ἔκθρεψον.

Νομοθετῶν ἀνομοῦσι λαοῖς μετάνοιαν, τὸν νομοδότην ὡς νόμου σφραγὶς ἐκήρυττες, δὸ μάκαρ αἴτησαι, τὰς ἐμὰς ἀνομίας εἰς τέλος ἐξαλεῖψαι, καὶ τῆς τῶν σωζομένων, μέτοχόν με ποιῆσαι στάσεως.

Νυμφαγωγὸν ἱερόν σε, καὶ νυμφοστόλον εἰδώς, τῆς ἐξ ἐθνῶν ἐκκλησίας ἣν ἐνυμφεύσατο, ὁ ἐπουράνιος Νυμφίος καὶ Δεσπότης· ἐν πίστει δυσωπῶ σε, Χριστοῦ νυμφίου φίλε, ἀξιῶσαί με τοῦ νυμφῶνος αὐτοῦ.

Ὁ τὸν χειμάρρουν βαπτίσας τῶν οἰκτιρμῶν Βαπτιστά, τοὺς θολεροὺς τῶν κακῶν μου χειμάρρους ξήρανον, βορβόρῳ τῶν παθῶν μου, ἀνέλκυσον καὶ σῶσον, ἐκτείνας μοι τὴν χεῖρα, τὴν βαπτίσασαν τὸν Σωτῆρά μου.

**Θεοτοκίον.**

Ὑπὸ ἐλέους ἀπείρου κατακαμπτόμενος, ὁ θελητὴς τοῦ ἐλέους, οὓς περιεῖδεν ἡμᾶς, εἰς ᾅδου βάραθρον, κατώτατον πεσόντας ἐκ σοῦ δὲ φιλανθρώπως ἁγνὴ ἐνανθρωπήσας, ἀπωσμένους ἀνεκαλέσατο.

---

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΗΧΟΣ ΠΛ. Δ΄.

῞Ετερος Κανὼν οὗ ἡ ἀκροστιχὶς αὕτη.

Αὕτη ἡ δέησις ὀγδόη τῷ Προδρόμῳ. Οὗτος πύματος ὕμνος ἐξ Ἰωάννου.

**᾿Ωδὴ α΄. ᾿Ηχος πλ. δ΄. ῾Υγρὰν διοδεύσας.**

Ἄγγελον οὐράνιον ἐσχηκώς, τοῦ θείου σου τόκου, προσημάντορα εὐκλεῆ, ἐπίγειος ἄγγελος ἐδείχθης, καὶ ἐπουράνιος ἄνθρωπος Πρόδρομε.

Ὕψει πολιτείας ὑπερφυοῦς, οὐρανὸς ὤφθης, καὶ στερέωμα λογικόν, Χριστὸν μὲν ὡς ἥλιον ἐν μέσῳ, τὰς ἀρετὰς δὲ ὡς ἄστρα κτησάμενος.

Τίμιος ὁ θάνατός σου σοφέ, ἔναντι Κυρίου, τοῦ τυθέντος ὑπὲρ ἡμῶν, ὡς πρόβατον ἄμωμον, καὶ ἄρσεν, καὶ ὡς ἀμνὸς λογικὸς ἐνιαύσιος.

Ἤκουσεν Ἡρώδης τὴν ἀκοήν, Ἰησοῦ καὶ εἶπε· τοῖς παισὶν αὐτοῦ· δεδιώς, ἐκ νεκρῶν ἀνέστη Ἰωάννης, καὶ ἐν αὐτῷ ἐνεργοῦσι δυνάμεις πολλαί.

Δακρύων ἀπείρων ἐπιρροήν, πα άσχου μοι μάκαρ, προσδεξάμενος τὴν ἐμήν, ὀλίγην λιβάδα, τῶν δακρύων· καὶ τῶν ἐν ᾅδου δακρύων με λύτρωσαι.

Θεοτοκίον.

Ἐν σοὶ κατοικήσας ὁ λυτρωτής, ἐξῴκισε Κόρη, τὴν οἰκήσασαν ἐν ἡμῖν, πολύδακρυν ὄντως ἁμαρτίαν, καὶ Παραδείσου οἰκήτορας ἔδειξεν.

**᾿Ωδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Ἡ χρυσήλατος σάλπιγξ, καὶ λιγυρὸν ᾄδουσα, ἡ πνευματοχάλκευτος ὄντως καὶ θεοκρότητος, ἡ διηχήσασα, τῆς οὐρανῶν βασιλείας, μέλος ἐναρμόνιον σῶσόν με Πρόδρομε.

Στειρευούσης νηδύος, πολυανθὲς βλάστημα, τὴν ἐστειρωμένην ψυχήν μου, δεῖξον πολύγονον, καλῶν βλαστήμασιν, ἄμπελον οἷα κομῶσαν, ἀρετῶν περκάζουσι γλυκεροῖς βότρυσιν.

Ἱερᾶς ὄντως ῥίζης, καὶ ἱεροῦ σπέρματος, ἱερογενὲς ἀνεφύης ὡραῖον στέλεχος, καὶ τὸν ἐκφύντα Χριστόν, τῆς Ἰεσσαὶ θείας ῥίζης, ζωηφόρον ὄρπηκα μάκαρ ἐβάπτισας.

Στεναγμοὺς ἀσιγήτους, καὶ συνεχὲς δάκρυον, καὶ συντετριμμένην καρδίαν, καὶ πνεῦμα μέτριον, δός μοι πανεύφημε, καὶ ἐνδιάθετον πένθος, καὶ θερμὴν κατάνυξιν καὶ πόνον ἔμμονον.



Οὐρανὸν ὁ τανύσας ἐπ᾿ οὐδενὸς πήγματος, κλίνας οὐρανοὺς σαρκοφόρος· ἡμῖν ὡμίλησε, καὶ σοὶ ὑπέκλινε, τὴν κορυφὴν αὐτοῦ μάκαρ, κορυφὴν δεικνύων σε τοῦ χριστωνύμου λαοῦ.

**Θεοτοκίον.**

Γηγενοῦς ἐκφυεῖσα, ῥίζης ἁγνὴ Δέσποινα, τὸ ἀειθαλὲς καὶ ὡραῖον, ἔρνος τῆς φύσεως, Χριστὸν ἐξήνθησας, τὸ τῆς θεότητος ἄνθος, ἡ ἀαρωνῖτις γὰρ ῥάβδος ἐτύπου σε.

Κάθισμα. **᾿Ηχος πλ. δ΄. Τὸ προσταχθέν.**

Τῆς φοβερᾶς σου καὶ φρικτῆς καὶ ἀδεκάστου, κρίσεως Δέσποτα Χριστὲ ἐν ᾧ λαμβάνων, τὴν ἡμέραν καὶ ὥραν τρέμω ὡς κακοῦργος· αἰσχύνης ἔργα καὶ πράξεις ἔχων δεινάς· ἃς μόνος διεπραξάμην ἐπιμελῶς· ὅθεν φόβῳ προσπίπτω σοι, ἀναβοῶν ὀδυνηρῶς· πρεσβείαις τοῦ Προδρόμου σου, πολυέλεε ἡμᾶς τότε οἴκτειρον.

**Δόξα καὶ νῦν. Θεοτοκίον.**

Τῶν Ἀσωμάτων σου Χριστὲ καὶ τοῦ Προδρόμου, τῶν μαθητῶν καὶ προφητῶν καὶ τῶν μαρτύρων, καὶ ἁγίων ἁπάντων καὶ τῆς Θεοτόκου· πρεσβείαις τῆς ἀπειράνδρου καὶ ἀγαθῆς, Μητρός σου ἐκδυσωπούμενος δίδου ἡμῖν, τῷ φωτί σου πορεύεσθαι, καὶ καταξίωσον ἡμᾶς, τυχεῖν τῆς βασιλείας σου, διὰ σπλάγχνα ἐλέους σου.

**᾿Ωδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε σύ μου.**

Διὰ παντός, σοί μοι μάκαρ φῶς ἀδιάκοπον, ἀνατέλλει, οὐχ ὑποστελλόμενον νυκτεριναῖς ἐν περιδρομαῖς, οὐδὲ περιόδους, ἡμεριναῖς συμμετρούμενον, τομῆς καὶ συστολῆς γάρ, καὶ ὑφέσεως πάσης, ἀπειράκις ἀπείρως ὑπέρκειται.

Οὐχ ἱκανοί, στόμα βροτῶν εὐφημῆσαί σε, ὃν τὸ στόμα τοῦ Χριστοῦ εὐφήμησε, τὸ γλυκερὸν καὶ μελισταγές, καὶ ζωὴν ἐμπνέον, καὶ λόγον πᾶσι δωρούμενον, πλὴν δέξαι μου τὸν ὕμνον, συγγινώσκων τῷ πόθῳ, ἡ αὐτοῦ τυραννὶς καὶ γὰρ ἄφυκτος.

Ἡ καθαρά, ὤφθη καρδία σου Πρόδρομε, μυροθήκη τοῦ ἁγίου πνεύματος, ἀρωματίζουσα ἀρετάς, μυρίζουσα γνῶσιν, εὐωδιάζουσα χάριτας, μακάριοι γοῦν ὅσοι, καθαροὶ τῇ καρδίᾳ, τὸν Θεὸν γὰρ αὐτοὶ φησὶν ὄψονται.

Τὴν ἐκτομήν, τὸ τῆς ἀξίνης ὑπόγειον, ἐγγυᾶται καὶ διαμαρτύρεται, ὅτι πᾶν δένδρον τὸ μὴ ποιοῦν καλὸν καρπόν, ἐκ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πήσεται καὶ ῥιφήσεται, εἰς πῦρ τὸ τῆς γεένης, διὸ φρίξον ψυχή μου, καὶ καρποὺς μετανοίας προσένεγκαι.

Ὡς ἐσχηκώς, ἐν οὐρανοῖς τὸ πολίτευμα, ἐξεδέχου τὴν πόλιν τὴν ἔχουσαν, τοὺς θεμελίους τοὺς ἀρραγεῖς, πόλιν γὰρ ἐνταῦθα, οὐκ ἐπεπόθησας μένουσαν, τὴν Ἱερουσαλὴμ δέ, τὴν σαφῶς ἐλευθέραν, τὴν μητέρα τοῦ Παύλου τὴν ἄνω Σιών.

**Θεοτοκίον.**

Πίστις θερμή, ἡγείσθω καὶ μὴ ἀπόδειξις, τοῦ φρικώδους Κόρη μυστηρίου σου, κατανοούμενον γὰρ αὐτό, ἄφραστον ἐστί πως καὶ θεωρούμενον ἄληπτον, ἑστὼς γὰρ παρατρέχει, καὶ ληφθὲν διαφεύγει, καὶ φανέντι μικρὸν ἀποκρύπτεται.

**Ὠδὴ ε΄. Ἵνα τί μὲ ἀπώσω.**

Ῥητορεύουσα γλῶσσα, καὶ τῷ διατόρῳ βροντῶσα τῶν λέξεων, καὶ ῥημάτων ὄγκῳ, καὶ ῥυθμῷ καὶ συνθήκῃ βρενθύουσα, καὶ κεκροτημένῃ, ὑψηγορίᾳ νοημάτων, εὐφημεῖν σε ἀξίως οὐ δύναται.

Ὀμβροτόκον νεφέλην, ὕδωρ ἐπιρραίνουσαν τῆς ἐπιγνώσεως, καὶ τοὺς ἐκτακέντας, ἀγνωσίας φλογμῷ καὶ ἐκλείποντας, ἀναψύχουσάν τε, καὶ δροσερῶς ἀνακτωμένην, ὁ Χριστός σε ἀνέδειξε Πρόδρομε.

Δωρεαῖς ἀκηράτοις, καὶ εὐεργεσίαις ἐνθέοις καὶ χάρισι, καταπλούτισόν με, τὸν πτωχεύοντα καὶ γυμνιτεύοντα, ἀρετῆς ἁπάσης, καὶ τὴν σὴν σκέπην ἔνδυσόν με, σωτηρίου ὡς θεῖον ἱμάτιον.

Ῥυπαρὰς ἐνθυμήσεις, καὶ φθοροποιοὺς λογισμοὺς ἐκβλαστήσασα, ἡ ψυχή μου μάκαρ, τῶν παθῶν ταῖς ἀκάνθαις κεχέρσωται, ἣν ὁλομανοῦσαν, τῶν προσευχῶν πυρὶ καθάρας, φόβον θεῖον αὐτῇ ἐγκατάσπειρον.

Οὐρανόθεν φοιτήσας, ὁ τὴν ὑψηλὴν καὶ οὐράνιον ἄντυγα, κατοικίαν ἔχων, Ἰωάννη μακάριε Πρόδρομε, ὡς ἀεροπόρος, νεφελοδρόμος ὑψιπέτης, ἀετὸς καὶ σκεπάσαις τὴν σὴν νοσιάν.

**Θεοτοκίον.**

Κυριώνυμε Κόρη, πόλις περιώνυμε τοῦ Βασιλέως Χριστοῦ, ἡ εὐφραινομένη, τοῖς ὁρμήμασι τοῦ νοητοῦ ποταμοῦ, ἔνθα πάντων, εὐφραινομένων κατοικία, τὴν ἀθλίαν ψυχήν μου κα-ν.



**Ὠδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.**

Ὡς ἄσαρκος Βαπτιστὰ καὶ ἄϋλος, μελετῶν ἀθανασίαν ἀΰλων ἐν τῇ θνητῇ καὶ ὑλώδει σαρκί σου, φιλοσοφίαν τε ἄκραν ὠράθης ἀσκῶν, καὶ γέγονας ἀγγελικῆς, καὶ βροτείας οὐσίας μεθόριον.

Ὁ θάλαμος, τῆς εὐώδους ἁγνείας, ὁ λειμὼν τῆς εὐανθοῦς παρθενίας, τῶν ἀρετῶν, ὁ εὐτόρευτος κύκλος, ὁ τῶν χαρίτων χρυσόπλοκος στέφανος, ὁ Πρόδρομος ὁ τοῦ Χριστοῦ, ἱερεῖς εὐφημείσθω ἐν ᾄσμασιν.

Ὑπέρλαμπρος ἐν τοῖς ἄστροις ἥλιος, ἐν ταῖς ὥραις δὲ γλυκύτατον ἔαρ, τοῦ δὲ παντὸς τῶν ἁγίων συλλόγου, οὐ ὡς ἀστέρων ὑπέρκεισαι ἥλιος, ἀσύγκριτον ὑπεροχήν, κατὰ πάσης πλουτήσας τῆς φύσεως.

Τῆς φύσεως τὸ ἐξαίρετον ἄνθος, τὴν κοινὴν φιλοτιμίαν τοῦ Κτίστου, τῶν γηγενῶν, τὸ περίπυστον κλέος, τὸ λογικόν τε καὶ ἔμψυχον ἄγαλμα, ὃ ἔξεσαν χεῖρες Θεοῦ, οἱ πιστοὶ εὐφημοῦμέν σε Πρόδρομε.

Ὁ μέγας χριστιανῶν ἀντιλήπτωρ, ὁ θερμὸς ἁμαρτωλῶν παρακλήτωρ, τῆς οὐρανῶν βασιλείας ὁ ῥήτωρ, ὁ εἰσηγήτωρ τοῦ θείου Βαπτίσματος, ὁ κῆρυξ τοῦ μετανοεῖν, μετανοίας με τρόποις βελτίωσον.

**Θεοτοκίον.**

Σὺ κλῖμαξ οὐρανομήκης Δέσποινα, ἀπὸ γῆς εἰς οὐρανὸν τεταμένη, σὺ ἀληθῶς, ἀδιόδευτος πύλη, θεοδιόδευτος μᾶλλον δὲ γέφυρα, ἀνάγουσα πρὸς οὐρανόν, καὶ ζωῆς τὰς εἰσόδους ἀνοίγουσα.

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Προφητῶν κορωνίδα, Ἀποστόλων σφραγῖδα, καὶ ἀσκητῶν κορυφήν, ἀκρότητα δικαίων, στερρότητα μαρτύρων, σὲ Χριστὸς μάκαρ ἔδειξεν, ἡ ἀληθὴς κεφαλὴ πάσης τῆς Ἐκκλησίας.

Ὑπερβὰς διανοίας, τὴν ὑλώδη δυάδα, τῶν ὁρωμένων σοφὲ τὸν ἕνα τῆς Τριάδος, ἐβάπτισας φωνῆς τε τῆς πατρῴας ἠκηκοώς, ἑωρακὼς τὸ Πνεῦμα περιστερᾶς ἐν εἴδει.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Μυστικὸν πᾶσι νέκταρ, κατανύξεως θείας, πηγάζεις Πρόδρομε, καὶ γλεῦκος μετανοίας, παθῶν ἐξαῖρον μέθην, σωφροσύνης μητέρα δέ, μέθην μεθύσκον πιστούς, αὐτοῦ τῇ μεταλήψει.

Ἀπὸ μητρὸς κοιλίας, ἐνεπλήσθης ἁγίου Πνεύματος Πρόδρομε, καὶ σίκερα καὶ οἶνον, οὐκ ἔπιες ὡς ἔφη, τῷ πατρί σου ὁ Ἄγγελος, ὅθεν ἐκλήθης μέγας ἐνώπιον Κυρίου.

Τῶν παθῶν μου τὴν ὕλην, μετανοίας ἀξίνη, καθάρας Πρόδρομε, ὡς θεῖος ὑλοτόμος, ψυχῶν κεχερσωμένων, ἀρετῶν ἐμφυτεύσαις μοι τὰ τεθηλότα φυτά, καὶ εὐθαλῆ στελέχη.

Ὁ βαπτίσας ἀνθρώπους, ἐν πυρὶ καὶ ἁγίῳ Πνεύματι πρότερον, πυρὶ γεένης μόνῳ, βαπτίσει τελευταῖον, τοὺς αὐτῷ ἀπειθήσαντας, ὧν τοῦ πικροῦ βαπτισμοῦ Βαπτιστὰ λύτρωσαί με.

Θεοτοκίον.

Στάμνος ἄψυχος πάλαι, σὲ τὴν ἔμψυχον στάμνον ἐδήλου Δέσποινα, ζωῆς γὰρ μάννα φέρεις, Χριστὸν τὸν τοῦ θανάτου τὴν πικρίαν ἀμβλύναντα, τὸν ἀληθῆ γλυκασμόν, καὶ φωτισμὸν τοῦ Κόσμου.

**Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.**

Ὕδωρ γλυκὺ καὶ πότιμον, ἀπειθεῖ καὶ ἀγνώμονι, ἔβλυσε λαῷ Ἰσραηλίτῃ ῥάβδου πληγῇ· ἡ πέτρα ἡ ἄνικμος, ἡ στερεὰ ἀκρότομος, ἐκ στειρωτικῶν δέ, καὶ ἀγόνων λαγόνων, ἡμῖν ἀνεστομώθη, ποταμὸς ἰαμάτων, πηγή τε χαρισμάτων, ὁ Πρόδρομος ὁ μέγας.

Μετ᾽ ἐγκωμίων Πρόδρομε, ἐκτελοῦσι τὴν μνήμην σου, σύλλογος Δικαίων Προφητῶν κατάλογος, Μαρτύρων στρατεύματα, καὶ ἀσκητῶν συστήματα, τάγματα ὁσίων, Ἀποστόλων χορεῖαι, πληθὺς Ἀρχιερέων, καὶ ἁγίων ἁπάντων, μνήμη γὰρ τῶν Δικαίων, ὄντως μετ᾽ ἐγκωμίων.

Νέος Μωσῆς γεγένησαι, ὁ Μωσέως ἐπέκεινα, τέμνων ἀθεΐας ἐρυθραῖον πέλαγος, καὶ στύλος πυρίμορφος, τοῦ ἐξ ἐθνῶν πιστοῦ Ἰσραήλ, προοδοιπορῶν καὶ προηγούμενος μάκαρ, καὶ τὸν ἐμβιβάζων, εἰς ὁδὸν ἀπαθείας, εἰς τρίβον σωτηρίας, εἰς γνωσίας.



Ὁ οὐρανὸς ὁ ἔμψυχος, ἀρεταῖς ὁ κατάστερος, ὁ χρυσοφαὴς καὶ χρυσαυγίζων ἥλιος, ὁ λύχνος τῆς χάριτος, ὁ θησαυρὸς τοῦ Πνεύματος, ὁ τῆς βασιλείας διαπρύσιος κῆρυξ, ὁ ῥήτωρ ὁ πυρίπνους, ἡ βροντόφωνος γλῶσσα, ἡ σάλπιγξ ἡ μεγάλη, ὁ Πρόδρομος ὑμνείσθω.

Στείρας ἐκ γῆς ἀνέδραμες, τῆς ἁγνείας τὸ στέλεχος, ὁ νεοθαλής, τῆς παρθενίας ῥάδαμνος, λειμὼν ὁ μυρίπνοος, ὁ εὐθαλὴς παράδεισος, ὁ τῶν ἀρετῶν καὶ τῶν χαρίτων τοῖς κλάδοις, καταπεπυκασμένος, καὶ ταῖς συνηρεφέσι, κομῶν ἀναδενδράσι, τῶν λογικῶν βοτρύων.

Ἐν τῷ τῆς Ἐκκλησίας σε, μυστικῷ διαδήματι, λίθον ὡς λυχνίτην ὁ Χριστὸς κατέπηξεν, ὡς ἕνα πολύτιμον, σπινθηροβόλον ἄνθρακα, ὡς λευκοφαῆ καὶ διαυγῆ μαργαρίτην, πυρσεύοντα τὴν κτίσιν, λευκοπύρσοις ἀκτῖσι, καὶ ταῖς ἀστραπηβόλοις, αὐγαῖς καὶ φωτοχύτοις.

Θεοτοκίον.

Ξένα καὶ πέρα πίστεως, τὰ φρικτὰ διηγήματα, τοῦ ξενοπρεποῦς καὶ παραδόξου τόκου σου, Μαρία πανύμνητε, τὸν γὰρ τῆς δόξης Κύριον, τὸν τοῖς Χερουβὶμ καὶ Σεραφὶμ ἐφεστῶτα, τὸν ἕνα τῆς Τριάδος, ἀσυγχύτως ἀτρέπτως, ἐγέννησας ἀσπόρως ἐκ σοῦ σεσαρκωμένον.

**Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τοῦτο.**

Ἰδού σοι τῷ Δεσπότῃ μου καὶ θερμῷ, τῆς ψυχῆς τῆς ἐμῆς ἀντιλήπτορι, τὴν πενιχρὰν ταύτην προσενήνοχα προσφοράν, τὸ δουλικὸν λειτούργημα, μάκαρ εὐγνωμόνως ἀποπληρῶν, ἣ πρόσχες ἀγαπήσας, τὴν γνώμην πρὸ τῶν ἔργων, καὶ πρὸ τοῦ δώρου τὴν προαίρεσιν.

Ὡς νάρδου πολυτίμου καὶ πιστικῆς, λίτραν μύρου, πρὸς δὲ καὶ θυμίαμα, ὡς ἐκλεκτὸν οὐκ ἐξ ἀρωμάτων μυρεψικῶν, συντεθειμένον Πρόδρομε, ἀλλ᾽ ἀπὸ ῥημάτων ᾀσματικῶν, τὸν ὕμνον τοῦτον δέξαι, καὶ δός μοι τῶν κακῶν μου, λύσιν τελείαν καὶ συγχώρησιν.

Ἀνάγνων ἐκ χειλέων καὶ ῥυπαρῶν, τῆς πανα[illegible]νου Παρθ[illegible] τὸν πάναγνον, σὲ συγγενῆ μάκαρ ἱκετεύω καὶ [illegible]

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐναγὴς καὶ βέβηλος, καὶ μεμολυσμένος ταῖς ἡδοναῖς, καθάρισον τὸ σῶμα, καθάγνισον τὸ πνεῦμα, καὶ τὴν ψυχήν μου καθαγίασον.

Νυμφῶνος οὐρανίου νυμφαγωγέ, τοῦ νυμφίου Χριστοῦ φίλε γνήσιε, ὁ ἑστηκώς, καὶ φωνῆς ἀκούων χαροποιοῦ, τῆς τοῦ νυμφίου ἄξιον, δεῖξον τῆς εὐκταίας φωνῆς κἀμέ, τῆς τοὺς εὐλογημένους, εἰς κλῆρον βασιλείας, Θεοῦ καλούσης ἀναφαίρετον.

Ναμάτων ψυχοτρόφων ζωοποιῶν, ποταμὸν καὶ πηγήν σε χρυσόρρειθρον, ἐπεγνωκώς, βόρβορον ἐκπλύνουσαν ψυχικόν, ἐκδυσωπῶ σε Πρόδρομε, πλῦνόν με τοῦ ῥύπου τῶν ἡδονῶν, καὶ δεῖξον τὴν ψυχήν μου, χιόνος λευκοτέραν, κρυστάλλου δίκην ἀπαστράπτουσαν.

Οὐ σθένων τὰς μεγάλας σου δωρεάς, ὁ σὸς δοῦλος δι' ἔργων ἀμείψασθαι, τὸν λογικόν, ἔπλεξά σοι στέφανον τουτονί· ὡς μὲν ἡ χεὶρ ἠπίστατο, πλὴν τῆς σῆς οὐκ ἄξιον κεφαλῆς, ἀλλ' ὅμως Χριστοῦ φίλε, εὐμενῶς δέξαι τοῦτον, καὶ σωτηρίας με ἀξίωσον.

### Θεοτοκίον

Ὑπέραγνε Παρθένε Μῆτερ Θεοῦ, τοῦ ἀΰλως φλογίζοντος ἄνθρακος, ὕλην ψυχῶν, ἔμψυχε πυράγρα σεραφική, καὶ φλογοφόρον ὄχημα, τοῦ ἐποχουμένου τοῖς Χερουβίμ, τὴν ὕλην τῆς ψυχῆς μου, πυρὶ ἀΰλῳ φλέξον, καὶ τοῦ ἀσβέστου πυρὸς ῥῦσαί με.

---



## Βιβλία


Εὑρισκόμενα παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Σχοινᾷ ἐν Βόλῳ, Κοραῆ 47 καὶ ἀποστελλόμενα **ἐλεύθερα ταχυδρομικῶν τελῶν**.

**Θέατρον Πολιτικὸν** ὑπὸ Ν. Μαυροκορδάτου, σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον Δραχ. 75.—

πανόδετον » 100.—

δερμάτινον » 125.—

(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

**Ἐγκόλπιον Χριστιανοῦ** ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα » 15.—

**Συμβουλευτικὸν ἐγχειρίδιον** ὑπὸ Νικοδήμου Ἁγιορείτου ἄδετον » 50.—

πανόδετον » 70.—

**Ἱστορία Βαρλαὰμ καὶ Ἰωάσαφ** ὑπὸ Ἰωάν. Δαμασκηνοῦ ἄδετον » 40.—

πανόδετον » 60.—

**Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 15.—

**Ἀκολουθία τοῦ Ἁγίου Γερασίμου** τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου καταγομένου καὶ ἐν τῇ Ἱ. Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος »

**Ἱστορικὴ μελέτη τῆς Ι. Μονῆς Ἁγίου Παντελεήμονος** ὑπὸ Δανιὴλ μοναχοῦ »


Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ἀντιρρητικόν.** Βιβλίον ἀσχολούμενον μὲ τὰ ἡμερολογιακά, ὑπὸ Δωροθέου Καρακαλλινοῦ μοναχοῦ » 3.—

**Ἐκκλησιαστικοὶ Νόμοι.** Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ, χρησιμώτατον δι' ὅλους τοὺς Ἐκκλησ. ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια » 45.—

**Ἑρμηνεία.** τῶν 14 ἐπιστολῶν καὶ τῶν 7 Καθολικῶν τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον » 250.—

δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 400.—

**Κυριακοδρόμιον Εὐαγγελίων, Ἀποστόλων μετὰ Εορτοδρομίου** τοῦ αὐτοῦ· τόμοι 3 » 150.—

Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 300.—

**Ἡ Ἐκκλησία καὶ ἡ ἀναγκαιότης τοῦ τακτικοῦ ἐκκλησιασμοῦ,** Ν. Π. Γιαννίου, ἔργον πρωτότυπον » 28.—

**Ἡ Εὐτυχία ἐν τῇ ἀρετῇ.** ὑπὸ Στεφάνου Παπαδημητρίου » 25.—

**Ἡ πορεία τοῦ Χριστιανοῦ ἀποδημητοῦ,** Ι. Βουνιάνου » 25.—

**Ἡ πορεία τῆς Χριστιανῆς ἀποδημητρίας** » 20.—

**Ἡ ὀρφανὴ ἀπὸ τὸ Λόουντ·** Πφάϊφφερ - Παπαχατζῆ, δρᾶμα ἠθικὸν σελ. 200 περ. » 15.—

δεδεμένον » 25.—

| | | | |
|---|---|---|---|
| **Μαργαρῖται Χρυσοστόμου** | ἄδετον | » | 60.— |
| | πανόδετον | » | 80.— |
| | δερμάτινον | » | 105.— |
| **Ἀποστολικὴ Σαγήνη** | ἄδετον | » | 65.— |
| | πανόδετον | » | 85.— |
| | δερμάτινον | » | 110.— |
| **Ἀσκητικὰ Ἐφραὶμ τοῦ Σύρου** | ἄδετον | » | 75.— |
| | πανόδετον | » | 95.— |
| | δερμάτινον | » | 120.— |

..λα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρη..ὰ βιβλία

Athos Library
Αγιορειτική Βιβλιοθήκη

"ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,,
ΕΤΟΣ Α.΄ ΑΡΙΘ. 10

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ
# ΣΥΜΕΩΝ ΤΟΥ ΘΕΟΔΟΧΟΥ

Ἀντιγραφεῖσα ἐξ ἀρχαίου Κώδικος τῆς ἐν τῷ ἁγίῳ Ὄρει Ἄθῳ Ἱερᾶς Μονῆς τῆς Μεγίστης Λαύρας ὑπὸ τοῦ μοναχοῦ

ΣΠΥΡΙΔΩΝΟΣ ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

Ὅστις ἀπέστειλεν ἡμῖν καὶ

1) Κανόνα ψαλλόμενον ἐπὶ ἐγκλήματι παρακοῆς τοῦ ἰδίου πατρός.

2) Κανόνα πάνυ ὡραῖον, ἐκ προσώπου ἀνθρώπου μὴ ὁρῶντος.

3) Κανόνα Παρακλητικὸν εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐπὶ προσδοκίᾳ βαρέος πολέμου.

4) Κανόνα παρακλητικὸν εἰς τὸν τίμιον Πρόδρομον ψαλλόμενον ἐπὶ ἀσθενοῦντα, ποιήματα Ἰωάννου Ἀρχιεπισκόπου Εὐχαΐτων κ. λ. π, ἅτινα κατεχωρήθησαν πάντα μετὰ τὴν ἀκολουθίαν.

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται
ΥΠΟ
ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ

ΙΟΥΛΙΟΣ 1937



1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀπαγορεύεται αὐστηρῶς ἡ ἀνατύπωσις κατὰ τὸν νόμον 2387.

ΤΩι
ΠΝΕΥΜΑΤΙΚΩι ΠΑΤΡΙ
ΤΗΣ ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΔΗΜΗΤΡΙΑΔΟΣ
ΜΗΤΡΟΠΟΛΙΤΗι Κ. Κ. ΙΩΑΚΕΙΜ
ΤΩ ΑΝΑΓΕΝΝΗΣΑΝΤΙ
ΚΑΙ ΑΝΑΣΤΗΛΩΣΑΝΤΙ ΠΝΕΥΜΑΤΙΚΩΣ
ΑΠΑΝ ΤΟ ΧΡΙΣΤΕΠΩΝΥΜΟΝ ΠΛΗΡΩΜΑ
ΤΗΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΜΑΣ,
ΔΕΟΜΕΝΟΣ ΟΠΩΣ Ο ΚΥΡΙΟΣ ΕΠΙΜΗΚΥΝΗι
ΤΗΝ ΕΝ ΤΩι ΠΑΡΟΝΤΙ ΒΙΩι ΠΟΛΥΤΙΜΟΝ ΑΥΤΟΥ ΖΩΗΝ
ΕΠ' ΑΓΑΘΩι ΤΟΥ ΑΦΩΣΙΩΜΕΝΟΥ ΑΥΤΩι ΠΟΙΜΝΙΟΥ
ΤΟ ΠΑΡΟΝ ΤΕΥΧΟΣ ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΕΚΔΟΤΗΣ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΦΕΒΡΟΥΑΡΙΟΥ Γ΄.

Μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου καὶ δικαίου Συμεὼν τοῦ Θεοδόχου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς ἑορτῆς γ΄. καὶ τοῦ ἁγίου γ΄.

**Τῆς ἑορτῆς. Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τοῦ παραδόξου θαύματος· ὁ τοῦ Νόμου δοτήρ, νόμῳ ὑποτέτακται, καὶ Νόμον νῦν ἐκπληρῶν, Ναῷ προσφέρεται, χερσὶ δὲ πρεσβυτικαῖς, ὑπὸ Παρθένου Μητρὸς ἐπιδίδοται, ὃν ἐν ἀγκάλαις λαβών, ὁ Συμεὼν ἐξαιτεῖται ἀπόλυσιν, κραυγάζων. Οἱ ὀφθαλμοί μου εἶδον τὸ σωτήριόν σου, τὸ κεχρηματισμένον, ἐν ἐμοὶ ὑπὸ τοῦ Πνεύματος.

Σήμερον ἡμῖν ἀνοίγονται, οὐρανῶν αἱ πύλαι, ὁ γὰρ πάντων Κύριος, Υἱὸς καὶ Λόγος Θεοῦ, ἀρχὴν λαβὼν χρονικήν, ὡς βρέφος ἐν τῷ Ναῷ, ὑπὸ Μητρὸς ἀπειράνδρου εἰσάγεται, καὶ ἐν χερσὶ γηραιαῖς, ὁ Συμεὼν ὁ πρεσβύτης εἰσδέχεται, κράζων: Νῦν με ἀπόλυσον· εἶδον γάρ σε Δέσποτα, τὴν ζωὴν τῶν ἁπάντων, καὶ λαοῦ σου τὸ σωτήριον.

Δεῦτε εὐσεβῶν ὁμήγυρις, ἐν Ναῷ Κυρίου, ἀθροισθέντες σήμερον, τὴν θείαν Ὑπαπαντήν, Χριστοῦ τιμήσωμεν, προσφέρεται γὰρ Πατρί, νῦν ὡς τεσσαρακονθήμερος νήπιον, ὁ Νόμον δοὺς τῷ Μωσῇ, ἐν τῷ Σιναίῳ, Θεὸς προαιώνιος, καὶ ὁ Συμεὼν ὁ πρέσβυς, χαίρων ὑποδέχεται, ὃν πιστῶς προσκυνοῦμεν, ὡς πιστοῦ λαοῦ σωτήριον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Τοῦ Ἁγίου. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δίκαιος καὶ ἄμεμπτος, καὶ κατὰ πάντα ἀοίδημος, χρηματίζων θεόπνευστε, Θεὸν μόνον δίκαιον, εἰς τὸ δικαιῶσαι, τὸν Κόσμον ἐλθόντα, καθυπεδέξω ταῖς χερσί, σωματωθέντα καὶ ἀπολέλυσαι, τοῦ σώματος βοῶν αὐτῷ. Νῦν ἀπολύεις τὸν δοῦλόν σου, ἐν εἰρήνῃ Φιλάνθρωπε, ὅτι εἶδόν σε σήμερον.

Νεάζων τῷ πνεύματι, προβεβηκὼς δὲ τῷ σώματι, Συμεὼν δ' ἐχρηματίσαι, μὴ ὄψεσθαι θάνατον, ἕως ἴδῃς βρέφος, νέον τὸν προόντα, πρὸ τῶν αἰώνων ποιητήν, Θεὸν τῶν ὅλων σάρκα φορέσαντα, ἰδὼν δὲ ἀνεσκίρτισας, καὶ τῆς σαρκὸς λύσιν ᾔτησας, πρὸς τὰ θεῖα σκηνώματα, μεταβὰς ἀγαλλόμενος.

Ἄννα ἡ θεόπνευστος καὶ Συμεὼν ὁ πανόλβιος, προφητείᾳ λαμπόμενος, ἐν Νόμῳ τε ἄμεμπτος ἀποδεδειγμένος, τὸν Νόμου δοτῆρα, βρέφος ὀφθέντα καθ' ἡμᾶς, ἰδόντες τοῦτον νῦν προσεκύνησαν. Αὐτῶν τὴν μνήμην σήμερον, περιχαρῶς, ἑορτάσωμεν, κατὰ χρέος δοξάζοντες, Ἰησοῦν τὸν Φιλάνθρωπον.

Δόξα. Ἦχος β΄.

Ἐν τῷ Νόμῳ Κυρίου, ἡμέρας καὶ νυκτὸς ἐμμελετῶν, μακάριος ὄντως γεγένησαι, καὶ ἐν πράξεσιν ἐνθέοις ἐνδιαμένων, σκεῦος δεκτικὸν τοῦ ἁγίου Πνεύματος ἀπεφάνθης. Ὅθεν παρὰ Θεοῦ χρηματισθείς, μὴ ἰδεῖν θάνατον, πρὶν ἢ τὸν Χριστὸν θεάσῃ. Τοῦτον οὖν ἐν ἀγκάλαις σου γηραιαῖς ὑποδεξάμενος, καὶ τὰ περὶ αὐτοῦ ἐσόμενα Πνεύματι ἁγίῳ θεοφορηθείς, προμυνήσας, κατὰ τὸν σὸν χρηματισμόν, τὸ τοῦ βίου πέρας ἐδέξω Συμεὼν παμμακάριστε. Διὸ νῦν οἱ πιστοὶ μακαρίζομεν συμφώνως, σὲ τὸν ὄντως μακάριον, τὸν ἀξιωθέντα βλέψαι, καὶ ἐναγκαλίσαι, Θεὸν σωματούμενον, ὅπως ἀπεργάσῃς καὶ ἡμᾶς μακαρίους, τοὺς πρὶν ἀθλίους χρηματίζοντας, ἀδειαλείπτως πρεσβεύων πρὸς Κύριον.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ὁ αὐτός.

Σήμερον Συμεὼν ὁ Πρεσβύτης, ἐν τῷ Ναῷ εἰσέρχεται χαίρων τῷ Πνεύματι, τὸν Νομοδότην Μωσέως, καὶ πληρωτὴν τοῦ νόμου, ἀγκάλαις εἰσδέξασθαι· ἐκεῖνος μέν, διὰ γνόφου καὶ φωνῆς ἀμυδρᾶς, θεόπτης ἠξίωτο, καὶ κεκαλυμμένῳ προσώπῳ, τῶν Ἑβραίων τὰς ἀπίστους καρδίας διήλεγξεν· οὗτος δέ, τὸν προαιώνιον Λόγον τοῦ Πατρός, σωματωθέντα ἐβάστασε, καὶ τῶν Ἐθνῶν ἀπεκάλυψε τὸ φῶς, τὸν Σταυρὸν καὶ τὴν Ἀνάστασιν. Καὶ Ἄννα Προφῆτις ἀναδείκνυται, τὸν Σωτῆρα λυτρωτὴν τοῦ Ἰσραὴλ κηρύττουσα. Αὐτῷ βοήσωμεν· Χριστὲ ὁ Θεὸς ἡμῶν, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.



Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς.

Τῆς ἐξόδου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΒ΄ 51 Ἐλάλησε Κύριος πρὸς Μωσῆν τῇ ἡμέρᾳ ἐκείνῃ, ᾗ ἐξήγαγε τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου, λέγων· ἁγίασόν μοι πᾶν πρωτότοκον πρωτογενές, διανοῖγον πᾶσαν μήτραν ἐν τοῖς υἱοῖς Ἰσραήλ. Εἶπε δὲ Μωϋσῆς πρὸς τὸν λαόν. Μνημονεύετε τὴν ἡμέραν ταύτην, ἐν ᾗ ἐξήλθετε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγεν ὑμᾶς Κύριος ἐντεῦθεν. Καὶ φυλάξασθε τὸν νόμον αὐτοῦ. Καὶ ἔσται, ὡς ἂν εἰσαγάγῃ σε Κύριος ὁ Θεὸς εἰς τὴν γῆν τῶν Χαναναίων, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, καὶ ἀφοριεῖς πᾶν διανοῖγον μήτραν τὰ ἀρσενικὰ τῷ Κυρίῳ. Ἐὰν δὲ ἐρωτήσῃ σε μετὰ ταῦτα ὁ υἱός σου λέγων· Τί τοῦτο; καὶ ἐρεῖς αὐτῷ· Ὅτι ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ἡμᾶς Κύριος, ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. Ἡνίκα δὲ ἐσκλήρυνε Φαραὼ τοῦ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε Κύριος πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἀπὸ πρωτοτόκων ἀνθρώπων ἕως πρωτοτόκων κτηνῶν· διὰ τοῦτο ἐγὼ θύω τῷ Κυρίῳ πᾶν διανοῖγον μήτραν τὰ ἀρσενικά, καὶ πᾶν πρωτότοκον, τῶν υἱῶν μου λυτρώσομαι. Καὶ ἔσται εἰς σημεῖον ἐπὶ τῆς χειρός σου, καὶ ἀσάλευτον πρὸ τῶν ὀφθαλμῶν σου· ὅτι οὕτως ἔφη Κύριος ὁ Παντοκράτωρ· Ὅτι τὰ πρωτότοκα τῶν υἱῶν σου δώσεις ἐμοί. Καὶ ἔσται πᾶς ὃς ἂν τέξῃ παιδίον ἄρσεν, τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτεμεῖ τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ. Καὶ τριάκοντα καὶ τρεῖς ἡμέρας οὐκ εἰσελεύσεται εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ πρὸς τὸν Ἱερέα, ἕως πληρωθῶσιν αἱ ἡμέραι τῆς καθάρσεως. Καὶ μετὰ ταῦτα προσοίσει τῷ Κυρίῳ ἀμνὸν ἐνιαύσιον ἄμωμον εἰς ὁλοκαύτωμα, καὶ νεοσσὸν περιστερᾶς, ἢ τρυγόνος, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ Μαρτυρίου πρὸς τὸν Ἱερέα, ἤ, ἀντὶ τούτων, προσοίσει ἔναντι Κυρίου δύο νεοσσοὺς περιστερῶν, ἢ δύο τρυγόνας. Καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεύς· ὅτι ἀπόδομα ἀποδεδομένοι οὗτοί μοί εἰσιν ἐκ πάντων τῶν υἱῶν Ἰσραήλ· καὶ εἴληφα αὐτούς, καὶ ἡγίασα αὐτοὺς ἐμοί, ἀντὶ τῶν πρωτοτόκων τῶν Αἰγυπτίων, ᾗ ἡ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἀπὸ ἀνθρώπου ἕως κτήνους· εἶπεν ὁ Θεὸς ὁ ὕψιστος, ὁ ἅγιος Ἰσραήλ.

### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα

Κεφ. Ἐγένετο τοῦ ἔτους, οὗ ἀπέθανεν Ὀζίας ὁ Βασιλεύς,
Ϛ΄. 1. εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. Καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὰ πρόσωπα αὐτῶν, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέταντο. Καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον καὶ ἔλεγον· Ἅ γ ι ο ς, Ἅ γ ι ο ς, Ἅ γ ι ο ς Κ ύ ρ ι ο ς Σ α β α ώ θ, π λ ή ρ η ς π ᾶ σ α ἡ γ ῆ τ ῆ ς δ ό ξ η ς α ὐ τ ο ῦ. Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς, ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐνεπλήσθη καπνοῦ. Καὶ εἶπον· Ὢ τάλας ἐγώ! (ὅτι κατανένυγμαι·) ὅτι ἄνθρωπος ὤν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ, καὶ τὸν Βασιλέα Κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. Καὶ ἀπεστάλη πρός με ἓν τῶν Σεραφίμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ Θυσιαστηρίου. Καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν· Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. Καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος· Τίνα ἀποστείλω; καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπον. Ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με. Καὶ εἶπε. Πορεύθητι, καὶ εἰπὲ τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς. Καὶ εἶπα· ἕως πότε Κύριε; Καὶ εἶπεν: Ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ καταληφθήσεται ἔρημος. Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ ἐγκαταλειφθέντες ἐπὶ τῆς γῆς.

### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς
ΙΘ΄. 1. Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς.



Καὶ ταραχθήσεται τὸ πνεῦμα αὐτῶν ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω, καὶ παραδώσω τὴν Αἴγυπτον εἰς χεῖρας κυρίων σκληρῶν, τάδε λέγει Κύριος Σαβαώθ. Καὶ πίονται οἱ Αἰγύπτιοι ὕδωρ τὸ παρὰ θάλασσαν, ὁ δὲ ποταμὸς ἐκλείψει καὶ ξηρανθήσεται. Τάδε λέγει Κύριος· Ποῦ εἰσι νῦν οἱ σοφοί σου; καὶ ἀναγγειλάτωσάν σοι, καὶ εἰπάτωσαν. Τί βεβούλευται Κύριος Σαβαὼθ ἐπ᾿ Αἴγυπτον; Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ Αἰγύπτιοι, ὡς γυναῖκες, ἐν φόβῳ καὶ τρόμῳ ἀπὸ προσώπου τῆς χειρὸς Κυρίου Σαβαώθ, ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς. Καὶ ἔσται Θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων, καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ Κυρίῳ. Καὶ ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα Κυρίῳ ἐν χώρᾳ Αἰγύπτου· ὅτι κεκράξονται πρὸς Κύριον, καὶ ἀποστελεῖ αὐτοῖς ἄνθρωπον, ὃς σώσει αὐτούς. Καὶ γνωστὸς ἔσται Κύριος τοῖς Αἰγυπτίοις· καὶ γνώσονται οἱ Αἰγύπτιοι τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ποιήσουσι θυσίαν καὶ δῶρον, καὶ εὔξονται εὐχὰς τῷ Κυρίῳ, καὶ ἀποδώσουσι.

### ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελον ἓν τῆς ἑορτῆς. Ἦχος α΄.

Σήμερον ὁ πάλαι τῷ Μωσῇ, ἐν Σινᾷ Νόμον ἐπιδούς, τοῖς νομικοῖς ὑποκύπτει θεσμοῖς, δι᾿ ἡμᾶς ὡς εὔσπλαγχνος, καθ᾿ ἡμᾶς γεγονὼς νῦν ὁ καθαρὸς Θεός, ὡς παιδίον ἅγιον, μήτραν διανοῖξαν ἁγνήν, ἑαυτῷ ὡς Θεῷ προσκομίζεται, τῆς τοῦ Νόμου κατάρας ἐλευθερῶν, καὶ φωτίζων τὰς ψυχὰς ἡμῶν.

### Τοῦ Ἁγίου. Ὁ αὐτός.

Μέγα σοι Πρεσβύτα τὸ ἐγκώμιον, καὶ πολύς σου ὁ θεῖος πλοῦτος, ποικίλα σου τὰ κατορθώματα, καὶ μείζονα τὰ χαρίσματα. Δίκαιος γὰρ καὶ εὐλαβὴς μεμαρτύρησαι, καὶ παράκλησιν τοῦ Ἰσραὴλ προσεδέχου, καὶ Πνεῦμα Ἅγιον ἦν ἐπὶ σέ, χρηματίζόν σε μὴ ἰδεῖν θάνατον, πρὶν ἂν ἴδῃς Χριστὸν Κυρίου. Ὃν καὶ ἠξιώθης ἰδεῖν, καὶ ἀγκαλίσασθαι τεσσαρακονθήμερον νήπιον, Συμεὼν παμμακάριστε, τοῦτον οὖν ἱκέτευε σωθῆναι τοὺς πίστει εὐφημοῦντάς σε.

### Ἦχος β΄.

Τὰ τῆς μακαρίας σου ψυχῆς αὐχήματα, καὶ τὴν ἄνωθεν εὔκλειαν, καὶ τὸ προφητικόν σου ἀξίωμα, τίς ἄν, ἀξίως διηγήσεται, Συμεὼν πανχοίδιμε; σὺ γὰρ ἔτι κατ᾿ ἐξαίρετον δώρημα, ἐπλούτισας, μακρότητος ἡμερῶν ἐμπλησθῆναι, καὶ θεάσασθαι τοῖς ὀφθαλμοῖς σου, τοῦ Θεοῦ τὸ σωτήριον· ὃ πολλοὶ Προφῆται

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ Βασιλεῖς, ἐπεθύμησαν ἰδεῖν, καὶ οὐκ εἶδον· ἐντεῦθεν καὶ τὸ τῆς λειτουργίας ὑπέρτιμον, τό γε τελευταῖον ὄντα, τῶν τῆς Παλαιᾶς Δικαίων, πρῶτον ἀποδειχθῆναι τῶν τῆς Νέας Ἁγίων, καὶ Ἀποστόλων γενέσθαι Χριστοῦ, καὶ πρόδρομον διὰ θανάτου, καὶ κηρύξαι τοῖς ἀπ' αἰῶνος πιστοῖς τῶν ἐλπιζομένων τὴν ἔκβασιν, καὶ τοῦ Σωτῆρος Θεοῦ τὸ μέγα ἔλεος.

**Ἦχος γ'.**

Ἄνθρωπος τὴν φύσιν, ὑπῆρχες ἐν Ἱερουσαλήμ, καὶ Ἄγγελος τὴν ἀξίαν, ἄνθρωπος ἀληθινός, εὐθὺς καὶ τέλειος, ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ὡς ὁ Νῶε Ἀβραάμ τε καὶ Ἰώβ, οἱ πρὸς Θεοῦ μαρτυρούμενοι· Ἄνθρωπον ἐν πραότητι καὶ σοφίᾳ σεμνυνόμενος, Συμεὼν ἐκέκλησο, καὶ τὴν πρᾶξιν ἡ κλῆσις ἐκήρυττε, ὑπακοὴν τὴν διὰ βίου παντὸς ἐπισημαίνουσα, δίκαιος ὢν καὶ εὐλαβής, καὶ πᾶσαν μετιὼν ἀρετήν, προσεδέχεσο δὲ καὶ τὴν τοῦ Ἰσραὴλ παράκλησιν· ὑπὲρ ὅλου τοῦ Ἔθνους εὐχὰς ἀναπέμπων τῷ Θεῷ, καὶ βοῶν συνεχῶς μετὰ τοῦ θεοπάτορος Δαβίδ· ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ Σωτηρίου Κύριε φιλάνθρωπε.

Ἦχος δ'.

Συμεὼν θεοδόχε πανεύφημε, ὁ πολυχρόνιος πρεσβύτης, καὶ πλήρης μὲν ἡμερῶν, πλήρης δὲ ἀρετῆς καὶ χαρισμάτων, ὁ ὑπὸ τοῦ ἁγίου Πνεύματος τὴν ψυχὴν φωτιζόμενος, καὶ τὸ σῶμα στηριζόμενος, εἰσῆλθες εἰς τὸ τοῦ Θεοῦ τέμενος· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ θεάνθρωπον Παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι κατὰ τὸ εἰθισμένον τοῦ Νόμου περὶ αὐτοῦ· καὶ αὐτὸς σὺ δεξάμενος εἰς τὰς ἀγκάλας σου αὐτόν, καὶ εὐλογήσας τὸν Θεόν, ἐν κατανύξει καὶ χαρᾷ ἐβόησας. Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ ὅτι εἶδον σε τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

**Ἦχος ὁ αὐτός.**

Χριστὸν τὸν θεάνθρωπον, νήπιον ἐν γηραιαῖς σου κρατῶν ἀγκάλαις, τοὺς Γονεῖς θαυμάζοντας, εὐλόγησας· καὶ τῆς μὲν εὐλογίας ἀμφοῖν μετέδωκας, τὴν δὲ ἀπόρρητον πρόρρησιν μόνον τῇ Μητρὶ προσάγεις. Ἰδοὺ οὗτος λέγων κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον· καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν λύπης διελεύσεται ῥομφαία, ὅπως ἀπο-



καλυφθῶσιν ἐκ πολλῶν καρδιῶν λογισμοί. Ἐν τῇ τοιαύτῃ σου προφητείᾳ, ἐγνώσθη ἡ μεγίστη σου ἁγιωσύνη, Συμεὼν πνευματέμφορε, διὸ ὑπὲρ ἡμῶν τῶν εὐφημούντων σε, μὴ διαλείπῃς πρεσβεύων τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. α'.**

Ὢ τῶν ἐνθέων μεγαλείων τῆς μεγίστης σου ἐναρέτου πολιτείας! ὢ τῆς ὑπερβαλλούσης σου εὐλαβείας καὶ καθαρότητος, Συμεὼν θεοφόρε τρισόλβιε. ἃ γὰρ κατὰ τὸν ἀπόστολον Παῦλον, ἐπιθυμοῦσιν Ἄγγελοι παρακύψαι, οὐ μόνον παρέκυψας, ἀλλὰ καθαρῶς ἐμβατεῦσαι, καὶ ταῦτα ψηλαφῆσαι, καὶ ἀκραιφνῶς μυηθῆναι ἠξίωσαι· ὅθεν καὶ τὸ πολὺ τῆς πρὸς Θεὸν σοῦ παρρησίας, ὁ μέγιστος ἐν Ἱεράρχαις θεῖος Νικόλαος ἀνεκήρυξε, καὶ τοῦ Ἀθωνίτου ὁσίου Πέτρου, ἡ ἐκ φυλακῆς ἀπαλλαγὴ ἐβεβαίωσε. Μέγιστος οὖν ἐν τοῖς Ἁγίοις ὑπάρχεις, καὶ μεγίστην κέκτησαι τὴν παρρησίαν πρὸς Θεόν, ὃν ἀεὶ ἱκέτευε, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν τῆς **ἑορτῆς, ὁ αὐτός.**

Ἐρευνᾶτε τὰς Γραφάς, καθὼς εἶπεν ἐν Εὐαγγελίοις Χριστὸς ὁ Θεὸς ἡμῶν, ἐν αὐταῖς γὰρ εὑρίσκομεν αὐτόν, τικτόμενον καὶ σπαργανούμενον, τιθηνούμενον καὶ γαλακτοτροφούμενον, περιτομὴν δεχόμενον, καὶ ὑπὸ Συμεὼν βασταχθέντα, οὐ δοκήσει οὐδὲ φαντασίᾳ, ἀλλ' ἀληθείᾳ τῷ κόσμῳ φανέντα· πρός ὃν βοήσωμεν. Ὁ πρὸ αἰώνων Θεὸς δόξα σοι.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

**Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.**

Χαίροις ἡ τῶν Δικαίων κρηπίς, τῶν ἀρετῶν τὸ ἱερὸν καταγώγιον, ἡ στάθμη τῆς εὐλαβείας, ὁ παρ' ὀλίγον ἐν γῇ τοῖς Ἀγγέλοις μάκαρ ἁμιλλώμενος· ἐνθέοις σου πράξεσι, καὶ καλοῖς προτερήμασιν, ὁ τῶν μελλόντων, τὰς ἐκβάσεις θεώμενος ψυχῆς ὄμμασι, καθαραῖς σου πανεύφημε· ὅθεν καὶ προσδεχόμενος, ἰδεῖν σωματούμενον τὸν Ποιητὴν τῶν ἁπάντων, ὢ Συμεὼν παμμακάριστε, αὐτὸν νῦν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

**Στίχ. Δίκαιος ὡς Φοίνιξ ἀνθήσει.**

Χαίροις ὁ ἐκλεκτὸς τοῦ Θεοῦ, καὶ εὐλαβὴς πνευματοφόρος καὶ δίκαιος ὁ πλήθει τῶν ἀρετῶν σου, χαρίτων θείων πλουτῶν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Συμεὼν παμμάκαρ κατηξίωσαι· καὶ γὰρ τὸ σωτήριον, τοῦ Θεοῦ ὅπερ ἤλπιζον, ἰδεῖν Προφῆται, Βασιλεῖς τε καὶ Δίκαιοι, σὺ ἑώρακας, καὶ χερσί σου ἐβάστασας. Ὅθεν Θεὸν εὐλογήσας, καὶ χαίρων ἐβόησας, Δέσποτα νῦν ἀπολύεις, καθὼς προεῖπας τὸν δοῦλόν σου, ἐκ τοῦδε τοῦ βίου, ὅτι τὸ σωτήριόν σου εἶδον φιλάνθρωπε.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Χαίροις τῶν ἱερῶν Προφητῶν, καὶ Προπατόρων, καὶ Δικαίων ἀγλάϊσμα, ἡ στάθμη τῶν σχολαζόντων, εἰς τὸν Θεόν καὶ σεπτόν, ἀρετῶν παντοίων ἐνδιαίτημα· ἀνὴρ ὁ μακάριος, τὸν Θεὸν ὁ φοβούμενος, ὁ ἐν τῷ Νόμῳ, μελετήσας τοῦ Πνεύματος, καὶ τά ὄμματα φωτισθεὶς τῆς καρδίας σου. Ὅθεν καὶ τὴν Πανάχραντον, Μητέρα τοῦ Κτίσαντος, ἐπευλογῶν σὺ προεῖπας, αὐτῆς τὴν θλίψιν τὴν μέλλουσαν, Συμεὼν παμμάκαρ, μεθ᾽ ἧς ἡμῖν πᾶσι Θεὸν ἱλέωσαι.

Δόξα. Ἦχος πλ. β΄.

Τὸν ἐπὶ γῆς ἰσάγγελον, καὶ πνευματέμφορον βίον σου, καὶ τὴν παρὰ Θεοῦ δοθεῖσάν σοι θεοδόχον ἀξίαν, ἀναπολοῦντες οἱ πιστοί, ἐπαξίως ἐκπληττόμεθα, Συμεὼν πανασίδημε· ὅθεν χαρμονικῶς σήμερον, τὴν μνήμην σου ἑορτάζοντες, εὐσεβοφρόνως σὲ γεραίροντες, ἐξαιτούμενοι πρεσβεύειν ἀπαύστως πρὸς Κύριον, ὃν ἐν τῷ Ἱερῷ ἑώρακας, σεσαρκωμένον ὡς νήπιον, καὶ ἐν ἀγκάλαις σου ἐβάσταξας, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν τῆς ἑορτῆς, ὁ αὐτός.

Ὁ ἐν χερσὶ πρεσβυτικαῖς, τὴν σήμερον ἡμέραν, ὡς ἐφ᾽ ἅρματος Χερουβικοῦ, ἀνακλιθῆναι εὐδοκήσας Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, τῆς τῶν παθῶν τυραννίδος, ἀνακαλούμενος ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος α΄.

Χαίρων ἀγκάλαις ἐδέξω, γηραλέαις σου Μάκαρ, σαρκὶ νηπιάσαντα, τὸν Κύριον ἐξ Ἁγνῆς Παρθένου καὶ λύσιν ἐζήτησας, τοῦ βίου τοῦ προσκαίρου· διὸ καὶ μεταβὰς ἀγαλλόμενος, σκηνὰς πρὸς τὰς αἰωνίους, Συμεὼν θεοδόχε πανεύφημε, πρεσβεύεις ὑπὲρ ἡμῶν, τῶν ἀνυμνούντων σε.



Καὶ νῦν. Τῆς ἑορτῆς.

Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενος ἡμῖν καὶ τὴν Ἀνάστασιν.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα.

**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Ἐν Ἱερουσαλήμ, παροικῶν ὦ Πρεσβύτα, καὶ ὅλως προσδοκῶν Μυστηρίου τὴν θέαν, ἰδεῖν κατηξίωσαι, καὶ ἐδέξω ἀγκάλαις σου, τὸν ὡς νήπιον, ἐν τῷ Ναῷ εἰσαχθέντα, Χριστὸν σήμερον, ὃν μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν τιμώντων σε.

**Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς ἑορτῆς, ὅμοιον.**

Ὁ ὢν σὺν τῷ Πατρί, ἐπὶ θρόνου ἁγίου, ἐλθὼν ἐπὶ τῆς γῆς, ἐκ Παρθένου ἐτέχθη, καὶ βρέφος ἐγένετο, χρόνοις ὢν ἀπερίγραπτος, ὃν δεξάμενος, ὁ Συμεὼν ἐν ἀγκάλαις, χαίρων ἔλεγε· Νῦν ἀπολύεις Οἰκτίρμον, εὐφράνας τὸν δοῦλόν σου.

Μετὰ τὴν β΄. Στιχολογίαν. Κάθισμα.

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Σαρκὶ νηπιάσαντα, ἐξ ἀπειράνδρου Μητρός, χερσὶ γηραλέαις σου, ἀγκαλισθεὶς Συμεών, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἔλαβες τῆς ἐξόδου, τὴν ἀπόφασιν δόξῃ, εἴληφας τῶν θαυμάτων, τὴν ἀέναον χάριν, διό σε ἀξιοχρέως πάντες γεραίρομεν.

**Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς ἑορτῆς.**

Αὐτόμελον. **Ἦχος α΄.**

Χορὸς Ἀγγελικός, ἐκπληττέσθω τὸ θαῦμα· βροτοὶ δὲ ταῖς φωναῖς, ἀνακράξωμεν ὕμνον, ὁρῶντες τὴν ἄφατον, τοῦ Θεοῦ συγκατάβασιν· ὃν γὰρ τρέμουσι, τῶν οὐρανῶν αἱ Δυνάμεις, γηραλέαι νῦν, ἐναγκαλίζονται χεῖρες, τὸν μόνον φιλάνθρωπον.

Μετὰ τὸν Πολυέλαιον. Κάθισμα.

**Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

Θεοδόχε Συμεών, τί ἐθαμβήθης, θεωρῶν, τὸν ὡς βρέφος τῷ ναῷ συνεισερχόμενον Θεόν, τὸν βροτωθέντα δι᾽ οἶκτον φι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λανθρωπίας. Οὗτος ὃν ἐγώ, φησὶ προσδέχομαι, τέλειος ἐστὶ Θεὸς καὶ ἄνθρωπος, καὶ οὗτος κεῖται πολλῶν τε εἰς πτῶσιν, ἐν Ἰσραὴλ καὶ Ἀνάστασιν, καὶ εἰς σημεῖον οὗτος ὑπάρχει, ἀληθῶς τὸ ἀντιλεγόμενον.

**Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς ἑορτῆς, ὅμοιον.**

Ἐν τῷ ὄρει τῷ Σινᾷ, πάλαι κατεῖδε Μωϋσῆς, τὰ ὀπίσθια Θεοῦ, καὶ ἀμυδρῶς θείας φωνῆς, κατηξιώθη ἐν γνόφῳ τε καὶ θυέλλῃ· νῦν δὲ Συμεών, τὸν σαρκωθέντα Θεόν, ἀτρέπτως δι' ἡμᾶς ἐνηγκαλίσατο· καὶ γεγηθὼς ἠπείγετο τῶν τῇδε, πρὸς τὴν ζωὴν τὴν αἰώνιον· διὸ ἐβόα· Νῦν ἀπολύεις, τὸν δοῦλόν σου Δέσποτα.

Οἱ ἀναβαθμοί. Τὸ πρῶτον Ἀντίφωνον τοῦ δ'. ἤχου.

**Τὸ Προκείμενον.**

Δίκαιος ὡς φοῖνιξ ἀνθίσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον τῆς ἑορτῆς τοῦ ὄρθρου.

**Δόξα ταῖς τοῦ Θεοδόχου. Καὶ νῦν, ταῖς τῆς Θεοτόκου.**

Στιχ. Ἐλέησόν με ὁ Θεὸς κ.λ.π. καὶ τὸ Ἰδιόμελον.

**Ἦχος β'.**

Τὸν Κτίστην οὐρανοῦ καὶ γῆς, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας, Συμεὼν τρισόλβιε, διὸ καὶ ἐν Πνεύματι ἁγίῳ ἔλεγες· Νῦν ἠλευθέρωμαι· εἶδον γὰρ τὸν Σωτῆρά μου.

Εἶτα οἱ Κανόνες· ὁ τῆς ἑορτῆς καὶ τοῦ Ἁγίου.

Ὁ Κανὼν τοῦ Ἁγίου. Ποίημα Γερμανοῦ Πατριάρχου.

**Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.**

Ἀκτῖσι φιλάνθρωπε, σῆς φωτοδότιδος χάριτος, καταύγασον δέομαι, τὴν σκοτεινήν μου ψυχὴν καὶ χαρίτωσον, τὸν νοῦν μου πανοικτίρμων, ὅπως σοι ἐπάξιον ᾄσω μελῴδημα.

Βροτὸς ὁ παντέλειος, δι' ἀγαθότητα γίνεται, καὶ πάντα προσίεται, ὁ ἀναμάρτητος, καὶ συνέχεται, πρεσβυτικαῖς ὠλέναις, καὶ ὁρᾶται νήπιος, ὁ πάντων Κύριος.

Εὐφράνθητε ἅπασαι, φυλαὶ τῆς γῆς καὶ σκιρτήσατε, καὶ χεῖρας κροτήσατε, καὶ ἀλαλάξατε, ὁ δεσπόζων γάρ, μορφὴν δούλου ὑπέδυ, καὶ ναῷ προσάγεται, βρέφος ὁ εὔσπλαγχνος.



Ὢ ξένου θεάματος! ὁ χερουβὶμ ἐποχούμενος, φρικτῶς ἐποχεῖται νῦν, πρεσβυτικαῖς ἐν χερσὶν ἀνακτώμενος, τὴν πάλαι συντριβεῖσαν, ἀπάτῃ τοῦ ὄφεως, εἰκόνος θείαν μορφήν.

Καταβασία : **Χέρσον ἀβυσσοτόκον.**

**Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.**

Ἀγάλλεται σήμερον ἡ Εὔα, σκιρτᾷ καὶ χορεύει ὁ Ἀδάμ, ὁρῶντες πλαστουργούμενον, τὸν πλαστουργὸν τῆς Κτίσεως, ναῷ τε προσαγόμενον, καὶ τοὺς μακρὰ οἰκειούμενον.

Ἀγκάλαις εἰσδέχεται ὁ Πρέσβυς, ὡς βρέφος τὸν πάντων Ποιητήν, καὶ πόθῳ ἀνεκραύγαζε, ἀπόλυσόν με Δέσποτα, τοῖς ὀφθαλμοῖς γὰρ σήμερον, τὸ σὸν κατεῖδον σωτήριον.

Τὸ πάλαι θρυλλούμενον τοῖς μύσταις, καὶ θείοις Προφήταις σκιωδῶς, νῦν προφανῶς τεθέασαι, Πρεσβύτα Τρισμακάριστε, ἀπόρρητον μυστήριον, διό σε πάντες γεραίρομεν.

Ἀνθομολογοῦσα τῷ Κυρίῳ, ἡ Ἄννα ἡ ἄμεμπτος σεπτῶς, ἐνδίκως μακαρίζεται, οἷα Προφῆτις ἔνθεος, συνδοξαζέσθω ταύτῃ δέ, καὶ Συμεὼν ὁ πανθαύμαστος.

Καταβασία : **Τὸ στερέωμα.**

Κοντάκιον τοῦ Ἁγίου. **Ἦχος δ'. Ὁ ὑψωθείς.**

Ἱερουργὸς σὺ ἀπεφάνθης ἐν Κόσμῳ· ὃν δὲ ὁ Νόμος ἀνεκήρυξε πᾶσιν, ὡς βρέφος ἐν χερσὶν ἑώρακας παμμάκαρ Συμεών· ὅθεν οὖν τὴν μνήμην σου ἱεραῖς εὐφημίαις, νῦν ἐγκωμιάζομεν οἱ πιστοὶ κατὰ χρέος, ἐκδυσωποῦντες ῥυσθῆναι τῶν δεινῶν, ταῖς σαῖς πρεσβείαις θεόφρον πρὸς Κύριον.

**Ὁ οἶκος.**

Ὁ τῷ σώματι προβεβηκώς, τῷ πνεύματι δὲ νεάζων, Συμεὼν πανεύφημε, ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου κεχρημάτισαι, μὴ ἰδεῖν θάνατον, ἕως ἂν ἴδῃς βρέφος νέον τὸν προόντα πρὸ τῶν αἰώνων, Θεὸν τῶν ὅλων, καὶ ποιητὴν τῶν ἁπάντων, τὸν σαρκὶ πτωχεύσαντα, ὃν ἰδὼν ἀνεσκίρτησας καὶ τῆς σαρκὸς τὴν λύσιν ᾔτησας· πρὸς δὲ τὰ θεῖα σκηνώματα, μεταβὰς ἀγαλλόμενος, σῴζεις τοὺς σὲ τιμῶντας, ταῖς σαῖς πρεσβείαις θεόφρον πρὸς Κύριον.

Εἶτα τὸ Κάθισμα. **Ἦχος γ'. Τὴν ὡραιότητα.**

Ἐκ τῆς Παρθένου σε, σωματωθέντα Χριστέ, χαίρων ἐδέξατο, ὁ ἱερὸς Συμεών, Νῦν ἀπολύεις ἐκβοῶν τὸν δοῦλόν σου Δέ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

οποτα. Ἄννα δὲ ἡ ἄμεμπτος, ἡ Προφῆτις καὶ ἔνδοξος, τὴν ἀνθομολόγησιν, καὶ τὸν ὕμνον προσῆγέ σοι· Ἡμεῖς δὲ ζωοδότα βοῶμέν σοι· Δόξα τῷ οὕτως εὐδοκήσαντι.

Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Ως ἀνεξιχνίαστος Λόγε Θεοῦ, σοῦ ἡ πρὸς ἡμᾶς συγκατάβασις, ἣν μετὰ δέους, ὁ πρεσβύτης Συμεών, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε.

Ὥσπερ ὀκταήμερον περιτομήν, δι' ἐμὲ ὑπήνεγκας εὔσπλαγχνε, ὡσαύτως Σῶτερ, κατεδέξω τῷ Ναῷ, προσενεχθῆναι νήπιος· Δόξα τῇ δυνάμει σου Κύριε.

Θείαν μυροθήκην σε ὡς ἀληθῶς, μῦρον τὸ οὐράνιον φέρουσαν, ὁ θεῖος Πρέσβυς, ὡς ἐπέγνω προφανῶς, προσφόρως ἀνεκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε.

Ὢ μεγαλειότητος ὑπερφυοῦς, ὢ ὑπερβαλλούσης ἀξίας σου· καὶ γὰρ κατεῖδες, καὶ ἐβάστασας χερσὶ τὸν τῶν ἁπάντων Κύριον, Συμεὼν παμμάκαρ ὡς νήπιον.

Καταβασία : **Ἐκάλυψεν οὐρανούς.**

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ὡς ἔβλεψαν Δέσποτα, δυνάμεις αἱ οὐράνιαι, σὲ τὸν συνοχέα τῶν ἁπάντων, σεσαρκωμένον καὶ συνεχόμενον, ἀγκάλαις Πρεσβύτου ταῖς σεπταῖς, ἔφριξαν τὴν ἄφατον, σοῦ φρικτὴν συγκατάβασιν.

Ποικίλοις αἰνίγμασι, καὶ τυπικαῖς ἐμφάσεσι, πόρρωθεν Ἁγνὴ προεσημάνθη, τοῦ τοκετοῦ σου, σεπτὸν μυστήριον· ὁ κατανοήσας Συμεών, φόβῳ προσεκύνησε, καὶ πιστῶς ἐμεγάλυνεν.

Οἰκτίρων Φιλάνθρωπε, τὸν πλανηθέντα ἄνθρωπον, σάρκα ἐκ Παρθένου προσελάβου, καὶ παρεγένου ἐν τῷ Ναῷ τοῦ Θεοῦ, ὅθεν Συμεών σε κατιδών, μέγα ἀνεβόησε· Σὺ Θεός μου καὶ Κύριος.

Ἀπόλυσον κράζει σοι, τῷ Ποιητῇ τῆς Κτίσεως, ἀγκάλαις κατέχων σε ὁ Πρέσβυς, καὶ γάρ σε ἔγνων τὸ προαιώνιον φῶς, ἔγνων τὸν ἐμὸν δημιουργόν, σύμμορφον καὶ σύνθρονον, τῷ Πατρὶ καὶ τῷ Πνεύματι.

Καταβασία : **Ὡς εἶδεν Ἡσαΐας.**



Ὠδὴ ς'. Τὴν θείαν ταύτην.

Βουλὴν πατρῴαν φιλάνθρωπε, πληρῶσαι βουληθεὶς μήτραν, ᾤκησας, σὰρξ ἐχρημάτισας, ἐν τῷ Ναῷ προσενήνεξαι, καὶ πάντα ὑπομένεις ὁ ἀναμάρτητος.

Τὸν πάντα ῥήματι φέροντα, χερσὶ περιφερόμενον βλέπων σε, διὰ τὸν ἄνθρωπον, ὅνπερ χερσί σου διέπλασας, ὁ Πρέσβυς πανοικτίρμων, ὕμνει τὸ κράτος σου.

Τῷ πρέσβει Δέσποτα σπεύδοντι, κομίσαι τῷ Ἀδὰμ εὐαγγέλια τῆς παρουσίας σου, ᾧ προσενέχθης βοῶντί σοι, ἀπόλυσόν με Λόγε Θεοῦ τὸν δοῦλόν σου.

Ὁ φύσει ὢν ἀπερίγραπτος, σαρκὶ περιγραφῆ βουλόμενος, σῶσαι τὸν ἄνθρωπον, ὃν Συμεὼν ὥσπερ νήπιον, χαίρων καὶ τρέμων ἅμα περιεπτύξατο.

Καταβασία : **Ἐβόησέ σοι.**

Κοντάκιον. Ἦχος α'.

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς Χριστὲ ὁ Θεός. Ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον Βασιλεῖς οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

Ὁ Οἶκος.

Τῇ Θεοτόκῳ προσδράμωμεν, οἱ βουλόμενοι κατιδεῖν τὸν Υἱὸν αὐτῆς, πρὸς Συμεὼν ἀπαγόμενον· ὅν περ οὐρανόθεν οἱ Ἀσώματοι βλέποντες, ἐξεπλήσσοντο λέγοντες· Θαυμαστὰ θεωροῦμεν νυνὶ καὶ παράδοξα, ἀκατάληπτα, ἄφραστα· ὁ τὸν Ἀδὰμ δημιουργήσας βαστάζεται ὡς βρέφος· ὁ ἀχώρητος χωρεῖται ἐν ἀγκάλαις τοῦ Πρεσβύτου· ὁ ἐπὶ τῶν κόλπων ἀπεριγράπτως ὑπάρχων τοῦ Πατρὸς αὐτοῦ, ἑκὼν περιγράφεται σαρκί, οὐ Θεότητι, ὁ μόνος φιλάνθρωπος.

Συναξάριον.

Τῇ Γ'. τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου καὶ δικαίου Συμεὼν τοῦ Θεοδόχου καὶ Ἄννης τῆς Προφήτιδος.

Στίχοι.

Ἤγγειλε νεκροῖς Πρέσβυς, ὡς Θεὸς Λόγος.
Ἄνθρωπος ὀφθείς, μέχρι καὶ τούτων φθάσει.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Οὐ γῆς ἀπῆρεν ἡ Φανουὴλ θυγάτηρ.
Ἕως ἐπ' αὐτῆς τὸν Θεὸν εἶδε βρέφος.
Τῇ τριτάτῃ δεσμοῖο βίοιο λύθη Συμεώνης.

**Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.**

Τῇ ἀφάτῳ σου, κενώσει ἀνεκαίνισας, πάντα φιλάνθρωπε, καὶ πρὸς τὸ πρῶτον ἡμᾶς, κάλλος ἐπανήγαγες, καὶ ὑπερύψωσας, καὶ ἐθέωσας, καὶ κληρονόμους ἔδειξας, οὐρανίου βασιλείας. (δίς.)

Ἐπιπνοίᾳ, τοῦ ἁγίου Σῶτερ Πνεύματος, τὴν παρουσίαν σου, τὴν ἐν τῷ Ναῷ τοῦ Θεοῦ, ὁ Πρέσβυς ὡς ᾔσθετο, προκατέλαβετο, καὶ ἐβόα σοι, θαμβητικῶς ὡς εἶδε σε, ὁ Θεὸς εὐλογητός σοι.

Ἱκεσίαις, τῶν ἐνδόξων θεραπόντων σου, εὔσπλαγχνε Κύριε, τοῦ Ἱεροῦ Συμεὼν καὶ Ἄννης τῆς σώφρονος, ῥῦσαί με δέομαι, πάσης θλίψεως, πάσης δεινῆς συμπτώσεως, καὶ μελλούσης καταδίκης.

Καταβασία: **Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.**

**Ὠδὴ η'. Παῖδας εὐαγεῖς.**

Ὁ βρέφη ἐν μήτρᾳ διαπλάττων, ὡς βρέφος περικρατεῖται καὶ συνέχεται, καὶ Ναῷ προσάγεται, καὶ ἀνθομολόγησιν, παρὰ τῆς Ἄννης δέχεται καὶ ἀγκαλίζεται, χερσὶ τοῦ Συμεὼν καὶ Πρεσβύτου, ὑπὲρ τῆς ἁπάντων ζωῆς καὶ σωτηρίας.

Ἰσχύσατε χεῖρες ἀνειμμέναι, καὶ γόνατα παρειμένα ἀνορθώσατε, Συμεὼν ἐφθέγγετο πόθῳ ἐπειγόμενος, πρὸς τὸν Ναὸν τὸν ἅγιον τὸν τῶν ἁγίων Θεόν, ἰδεῖν καὶ περιπτύξασθαι φόβῳ, ὅθεν καὶ τοῦ πόθου, διήμαρτεν οὐδόλως.

Σκιρτήσατε ὄρη τε καὶ νάπαι, ἀγάλλου ὁ οὐρανὸς ἡ γῆ εὐφράνθητι, καὶ συνεπαγάλλεσθαι, γένους οἱ Προπάτορες, καὶ γὰρ ἦλθεν ἐφάνη ἡ προσδοκία ἡμῶν, ἐβόα ἐν ἀγκάλαις κατέχων, Συμεὼν ὁ Πρέσβυς, τὸν πάντων εὐεργέτην.

Ἡ πάνσεπτος Ἄννα καὶ Προφῆτις, ἡ σώφρων ὡς ἀληθῶς καὶ ἀξιάγαστος, πόθῳ προσεδρεύουσα, τῷ Ναῷ ἀείποτε, καὶ τῷ Θεῷ λατρεύουσα, ζεούσει πίστει ἀεί, ἰδεῖν κατηξιώθη ὃν πάλαι, ἄγαν ἐπεπόθουν, δικαίων αἱ χορεῖαι.

Καταβασία: **Ἀστέκτῳ πυρί.**



**Ὠδὴ θ'. Ἅπας γηγενής.**

**Ἄγγελοι, ἀνύμνησαν τὸν Δεσπότην, ὁρῶντες ἀφικόμενον, εἰς ναὸν ὥσπερ βρέφος, ὑπὸ Μητρὸς ἀπειράνδρου.**

Φύσιν τὴν ἡμῶν, δι' οἶκτον ἐφόρεσας, ὁ φύσει εὔσπλαγχνος, σῶσαι θέλων ἅπαντας, διό σου Λόγε, τὴν συγκατάβασιν, καὶ τὴν ἀπερινόητον οἰκονομίαν σου, καὶ τὸ πλῆθος, τῆς μεγαλωσύνης, σου προσκυνοῦμεν πιστῶς καὶ δοξάζομεν. δίς

**Ἄνθρωποι, τὴν ἄφατον καθορῶντες, Θεοῦ τὴν συγκατάβασιν, ἀνακράξωμεν ὕμνον, ἰδοὺ γὰρ ἐν ναῷ προσηνέχθη.**

Τὸ αὐτό.

**Ἄναρχον, ὁ Πρέσβυς ἐνηγκαλίσω, Λόγον τὸν νηπιάσαντα, καὶ Ναῷ εἰσαχθέντα, τεσσαρακονθήμερον βρέφος.**

Θάμβει συσχεθείς, ὑπότρομος ἵστατο, ἡνίκα ἔβλεψε, σὲ τῶν πάντων Κύριον, βρεφουργηθέντα, ὁ θεῖος Πρέσβυς Χριστέ, διό σε καὶ δεξάμενος ἐν ταῖς ἀγκάλαις αὐτοῦ, ἀνεβόα, ὅλως ἐξιστάμενος, κεκμηκότα με Σῶτερ ἀπόλυσον.

**Ἄννα δὲ ἡ Προφῆτις ἐπιστᾶσα, Χριστὸν ἀνθωμολόγησε, περὶ αὐτοῦ καὶ ἐλάλει τὴν λύτρωσιν τῶν ἀνθρώπων.**

Λόγε τοῦ Θεοῦ, σεπταῖς παρακλήσεσι τῶν θεραπόντων σου, Ἄννης τῆς θεόφρονος, καὶ τοῦ πανσέπτου καὶ ἱεροῦ Συμεών, πάντας ἡμᾶς ἐξάρπασον, πειρατηρίων δεινῶν, καὶ παντοίας, βλάβης ἐλευθέρωσον, καὶ τῆς σῆς βασιλείας ἀξίωσον.

**Δόξα.**

**Ἄναρχε, Πάτερ Υἱὲ καὶ Πνεῦμα, Τριὰς ἡ ὁμοούσιος σῶζε τοὺς σὲ ὑμνοῦντας, καὶ δοξολογοῦντας τὸ κράτος.**

Δέσποτα Χριστέ, ἱλέῳ σου ὄμματι πρόσχες μοι δέομαι, καὶ μὴ παρίδῃς μου, ὃν σοὶ θαρρήσας, ὕμνον ἐξύφανα, καὶ σοὶ προσανατέθηκα ζεούσῃ Σῶτερ ψυχῇ, ἀλλ' εὐσπλάγχνως, τοῦτον προσδεξάμενος, τῶν πταισμάτων τὴν λύσιν μοι δώρησαι.

**Καὶ νῦν.**

**Ἄχραντε, Παρθένε καὶ Θεοτόκε, πρέσβευε πρὸς Κύριον μετὰ τοῦ Συμεὼν καὶ τῆς Ἄννης, τοῦ οἰκτειρῆσαι πάντας καὶ σῶσον.**

Δέσποινα ἁγνή, ῥομφαία διῆλθέ σου τὴν παναγίαν ψυχήν, ὅτε προσπηγνύμενον, Σταυρῷ κατεῖδες τὸν σὸν Υἱὸν καὶ Θεόν, καθὰ σοι διὰ τοῦ Πνεύματος προανηγόρευσεν, ὁ Πρεσβύτης, Συμεὼν καὶ δίκαιος, μεθ' οὗ πάντες ἀεὶ σὲ δοξάζομεν.

Καταβασία: **Θεοτόκε ἡ ἐλπίς.—Ἐν νόμῳ σκιᾷ.**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἐξαποστειλάρια : **Γυναῖκες ἀκουτίσθητε**

Θεὸν ἐνανθρωπήσαντα, ἐκ τῆς ἁγνῆς θεόπαιδος, καὶ τῷ Ναῷ κατὰ Νόμον, προσενεχθέντα ἐδέξω, Συμεὼν ἐν ἀγκάλαις σου, καὶ χαίρων ἀνεβόησας· Νῦν ἀπολύεις Δέσποτα, τὸν δοῦλόν σου ἐν εἰρήνῃ· ὅθεν πιστοὶ σὲ τιμῶμεν.

**Τῆς ἑορτῆς ὅμοιον.**

Ἀτρέπτως καθ' ὑπόστασιν, ἐν σοὶ Θεογεννήτρια, σαρκὶ ἑνοῦται ἀσπόρως, καὶ νηπιάζει ὁ Λόγος· ὃν ἐν ἀγκάλαις φέρουσα, Χερουβικὸς ὡς θρόνος νῦν, Θεῷ Πατρὶ προσήγαγες· καὶ Συμεὼν ὁ πρεσβύτης, χαίρων ἐδέξατο τοῦτον.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος α'. Πανεύφημοι Μάρτυρες**

Δεδόξασται σήμερον Χριστόν, Συμεὼν ὡς ἄνθρακα, θεοπρεπῶς εἰσδεξάμενος καὶ περιπτύσσεται, καθαρθεὶς τὰ χείλη, ἀνθομολογεῖται δέ, καὶ χαίρων ἐξαιτεῖ τὴν ἀπόλυσιν· αὐτὸν οὖν ἅπαντες, εὐσεβῶς νῦν μακαρίζοντες, ἀσιγήτοις ἐν ὕμνοις τιμήσωμεν.

Διδάσκαλος ἄριστος ὀφθείς, καὶ τοῖς ἑβδομήκοντα, προχειρισθεὶς συναρίθμιος, νεύσει τῇ κρείττονι, τοῦ μεθερμηνεῦσαι, τὴν Γραφὴν τρισόλβιε, ἡρμήνευσας καὶ ἔγνως σαφέστατα, Θεοῦ τὴν σάρκωσιν, ἣν ἰδεῖν πρὸ τοῦ θανάτου σου, ἠξιώθης, Συμεὼν ὡς ἄμεμπτος.

Σαυτὸν ἀπετέλεσας ναὸν, τοῦ Θεοῦ πανάγιον, μελέτῃ Νόμου, καὶ πράξεσιν, ἐνθέοις ἔνδοξε ἐν Ναῷ τῷ θείῳ, τὸν Θεὸν σαρκούμενον, ἰδὼν ἐνηγκαλίσθης γηθόμενος· ὅθεν ἀνέδραμες, Συμεὼν πρὸς τὰ σκηνώματα, τῶν Ἁγίων, μεθ' ὧν ἡμῶν μέμνησο.

Χριστὸν ὃν κατεῖδες ἐν σαρκί, καὶ ἐν ταῖς ἀγκάλαις σου, ἐν Ἱερῷ ὃν ἐβάστασας, ἀεὶ ἱκέτευε, Συμεὼν θεόφρον, μετὰ τῆς Προφήτιδος, Ἄννης τῆς σεμνῆς καὶ παμμάκαρος, ἡμῖν τὴν ἄφεσιν, τῶν πταισμάτων νῦν δωρήσασθαι, τοῖς τιμῶσιν ὑμῶν τὴν πανήγυριν.

**Δόξα. Ἦχος πλ. α'.**

Συμεὼν πρεσβύτα δίκαιε, προφῆτα καὶ θεόπτα, σὺ ταῖς ἱεραῖς πράξεσιν ὑψωθείς, καὶ ἐν Νόμῳ ἱερουργὸς γενόμενος, νοὸς καθαρότητι, Θεῷ τῷ Παντοκράτορι, καθάπερ ἄγγελος, ἐλειτούργησας, καὶ ἐναίμοις θυσίαις ἥγνισας, πάλαι τὸν λαὸν Ἰσραήλ, αἷμα τὸ σωτήριον προδηλούσαις τρανώτατα· διὸ καὶ τῷ μὲν γήρει ὑπερήκμαζες, τῇ δὲ πίστει ἐνέαζες προσδεχόμενος τοῦ Κυρίου τὸν Χριστὸν ἰδεῖν· ὃν καὶ προσβλέψαι ἀξιωθεὶς ἐν Ναῷ ἁγίῳ μετὰ σαρκός, καὶ ἰδίαις χερσὶν ἐναγκαλισθείς, χαίρων ἐβόησας· Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα· καὶ νῦν δικαίων σκηνώμασιν αὐλιζόμενος τὸν δίκαιον Κύριον, δίκαιε, αἴτησαι, δικαιῶσαι ἡμᾶς τοὺς τὴν θείαν σου ἐκτελοῦντας πανήγυριν.



**Καὶ νῦν τῆς ἑορτῆς, ὁ αὐτός.**

Ὁ παλαιὸς ἡμερῶν, νηπιάσας σαρκί, ὑπὸ Μητρὸς Παρθένου, τῷ Ἱερῷ προσάγεται, τοῦ οἰκείου Νόμου, πληρῶν τὸ ἐπάγγελμα· ὃν Συμεὼν δεξάμενος ἔλεγε. Νῦν ἀπολύεις τὸν δοῦλόν σου, ἐν εἰρήνῃ κατὰ τὸ ῥῆμά σου· εἶδον γὰρ οἱ ὀφθαλμοί μου, τὸ Σωτήριόν σου Ἅγιε.

Δοξολογία μεγάλη καὶ τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικὰ καὶ οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ ἁγίου ἡ γ'. καὶ ἡ ς'.

**Μεγαλυνάρια**

Ὡς ἐδέχθης βρέφος ἐν Ἱερῷ, τὸν Θεὸν τῶν ὅλων, δικαιότατε Συμεών, οὕτως ἐκδυσώπει, αὐτὸν ἐν παρρησίᾳ, ὑπὲρ τῶν πίστει ἀνευφημούντων σε.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἐν δὲ τῷ Κώδικι Γ', 74 φυλ. 48 β' εὕρηνται καὶ τάδε τὰ Ἰδιόμελα.

EIΣ THN ΥΠΑΠΑΝΤΗΝ

**Ἦχος πλ. β'.**

Ὡς ἐν νεφέλῃ τὸν ἥλιον φέρεις τῆς δικαιοσύνης ἀειπάρθενε, ὡς δῶρον ἁγιάσματος ἐν τῷ Ναῷ, αὐτὸν ὁ ἱερεὺς ὑποδέχεται· ἡμεῖς δὲ τῷ φωτὶ τοῦ προσώπου αὐτοῦ ἐλλαμφθέντες κραυγάζομεν· Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη.

**Μεθέορτα. Ἦχος α'.**

Τί ὁρῶν Πρεσβύτα Συμεὼν ἐβόας· νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα;—Χριστὸν Κύριον ἰδὼν ἐν χερσὶ Παρθένου· φῶς τῶν ἐν σκότει Θεὸν προαιώνιον.—Ἄσατε πᾶσαι γενεαὶ ἀνθρώπων, ὅτι ἐπέστη τὸ φῶς τῶν ψυχῶν ἡμῶν.—Χαίροις πρεσβύτα Συμεὼν βαστάσας βρέφος ἐν ἀγκάλαις, ὃν τρέμει τὰ σύμπαντα. Τὸν ἐν κόλποις τοῦ Πατρὸς ἀχώριστον νῦν, καὶ ἐν ἀγκάλαις τῆς Μητρὸς Θεὸν ἀληθινὸν Συμεὼν ὁ πρεσβύτης καθορῶν τῷ πνεύματι· χαίρων ἐβόα πρὸς αὐτόν· ἦλθε τὸ φῶς τὸ ἀληθινόν· ἐπέφανας ἡμῖν τοῖς ἐν σκότει καὶ σκιᾷ καθημένοις· καὶ ἔσωσας ἡμᾶς, δόξα τῇ οἰκονομίᾳ σου μόνε φιλάνθρωπε.

**Ἦχος δ'.**

Ὁ τοῦ Θεοῦ ἐνυπόστατος Λόγος, καὶ Υἱὸς ὁμοούσιος, ἐκ σοῦ Θεοτόκε, σάρκα προσελάβετο, καὶ ὡς ἐν θρόνῳ Χερουβικῷ ἐποχούμενος ταῖς ἀγκάλαις σου, ἧκεν ἐν τῷ Ναῷ καὶ διὰ σοῦ τῷ Συμεὼν ἀπεδόθη τεσσαρακονθήμερον, ἔθιμον νόμον ἀποπληρῶν. Ὢ τοῦ θαύματος! ὁ τοῦ νόμου δοτήρ, τὰ τοῦ Νόμου ἐκπληροῖ· ὁ τοῖς Σεραφεὶμ ἀθεώρητος ὑπὸ χειρῶν αἴρεται πηλίνων· ὁ ἐκ γῆς διαπλάσας τὸν ἄνθρωπον, βρέφος ἀγκαλοφορούμενος δείκνυται· διὰ τὸ σῶσαι ἡμᾶς ὡς θαυμαστὰ τὰ ἔργα σου Κύριε δόξα σοι.

**Ἦχος πλ. α'.**

Τὸ ἄπειρον ἐκεῖνο φῶς τῆς θεότητος, ἀγκάλαις γηραλέαις ἐδέξαντο καὶ τῷ ἀστέκτῳ τοῦ πυρὸς οὐ κατεφλέχθησαν, ὁ ἀφράστως ἐνανθρωπήσας Κύριε δόξα σοι.

Τὸν τοῦ Πατρὸς σύνθρονον Υἱόν, ταῖς μητρικαῖς ἀγκάλαις ὀχούμενον, ὡς ἐκ λαβίδος ἄνθρακα ὁ πρεσβύτης Συμεὼν ἐν τῷ Ναῷ ὑπεδέξατο, καὶ μυστικῶς φθεγγόμενος· Νῦν ἀπολύεις ἔλεγεν· ἀλλ' ὡς ἐκεῖνον οἰκτίρμων πρὸς ὕψος ἀνήγαγες, κἀμὲ ἀπεγνωσμένον οἰκτείρησον, καὶ ἐλέησόν με ὡς μόνος πολυέλεος.



ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΣΥΜΕΩΝ

**Ἦχος πλ. α'.**

Πάλαι Μωϋσῆς ὁ νομοθέτης τοῦ Ἰσραὴλ ἐν τῷ ὄρει Σινᾷ πλάκας θεοχαράκτους χερσὶν ἐδέξατο· Σὺ δὲ ὦ Πρεσβύτα Συμεὼν ἐκείνου γέγονας ὑπέρτιμος, ἀγκαλισάμενος ἐν σαρκί, τὸν Λόγον τοῦ ἀοράτου Πατρός, καὶ χαίρων ἐκραύγαζες· νῦν ἀπολύεις ἐν εἰρήνῃ τὸν δοῦλόν σου· διὸ τὸν ἐνθένδε ἀπολυθείς· χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅδῃ τὴν ἀπολύτρωσιν. Ἀλλὰ καὶ ἡμᾶς τοὺς πιστῶς ἐκτελοῦντας, τὴν ἁγίαν σου μετάστασιν, τῇ πρὸς Θεὸν μεσιτείᾳ σου τῶν ἁμαρτιῶν ἐλευθέρωσον καὶ σῶσον ἡμᾶς.

**Ἦχος πλ. β'.**

Τὸ πάλαι κηρυχθὲν μυστήριον, ὦ τρισόλβιε Συμεών, σοὶ προδήλως ἐμφανισθέν, τὴν ἐν τῷ νηπίῳ δόξαν ἔγνως τῆς θεότητος· τίς οὗτος, κατηξιώθη χερσὶν ὑποδέξασθαι σωματικαῖς, Θεὸν τὸν ἀσώματον; ἀληθῶς ὡς μεγάλη σου ἡ εὔκλεια, αἴτησαι ἡμῖν τοῖς τιμῶσι τὴν ἁγίαν σου κοίμησιν ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἐκ τοῦ Κώδικος Ι 77 φυλ. 277

## ΚΑΝΩΝ

Ψαλλόμενος ἐπὶ ἐγκλήματι παρακοῆς τοῦ ἰδίου πατρός, οὗ ἡ ἀκροστιχίς:

Παρακοῆς βόθρου με ῥῦσαι Παρθένε· Ἰωάννην μοναχόν.

Ποίημα Ἰωάννου τοῦ Μαυρόποδος Εὐχαΐτων ἐπισκόπου.

### Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Παρακοῆς με πεπτωκότα Δέσποινα, πρὸς βαθὺ βάραθρον, καὶ τοῖς ἐχθροῖς οἴμοι, γέλωτα προκείμενον, μὴ ὑπερίδῃς δέομαι, ἀλλ' ἀνάστησον ῥάβδῳ, καὶ βακτηρίᾳ στηρίζουσα, τῆς ὑπακοῆς ἀπερίτρεπτον.

Ἁμαρτιῶν τῷ δυσαχθεῖ βαρούμενος, φορτίῳ Πάναγνε, καὶ πρὸς τὴν γῆν ὅλος κεκηφὼς οὐ κέκτημαι ἀνάνευσιν ἢ ἄνεσιν, τῆς ἀθλίας ψυχῆς μου, ἐν τῷ θανάτῳ, ἀλλ' ἄνες μοι, τὸν βαρὺν κλοιὸν ἀφελοῦσά μου.

Ῥεῖθρον ζωῆς ἡ τετοκυῖα ῥεῖθρά μοι, δὸς κατανύξεως, καὶ ψυχικὸν πένθος, καὶ κλαυθμὸν καὶ δάκρυα, ζεούσης ἀναβλύζοντα, ἐκ πηγῆς τῆς καρδίας, καὶ μολυσμὸν ἀποσμήχοντα, τὸν παρακοῇ προστριβέντα μοι.

Ἀπροσεξίας νυσταγμῷ τὰ ὄμματα, περισχεθεὶς τῆς ψυχῆς, παρακοῆς ὕπνον, ὕπνωσα βαρύτατον διό με νῦν ἀφύπνισον, ἡ τεκοῦσα τὸν Λόγον, λόγῳ νεκροὺς τὸν ζωώσαντα, καὶ ὥσπερ ἐξ ὕπνου ἐγείραντα.

Καλῶς ἰδέαις τὴν ψυχήν μου κάλλυνον, ἡ καλλονὴ Ἰακώβ, ἣν ὁ Θεὸς Λόγος, ὡς καλὴν καὶ ἄμωμον, ἠγαπηκὼς ἐσκήνωσε, καὶ παθῶν εἰδεχθείας τὸ δυσειδές μου χιτώνιον, διὰ ἀπαθείας ἀπόδυσον.

### Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος

Ὀλεθρίως πειθήσας, τῷ παλαιῷ δράκοντι, καὶ ὡς κηδεμόνι συμβούλῳ, τούτῳ χρησάμενος, ἐν τῇ Ἐδὲμ ὁ Ἀδάμ, παρακοὴν ἀπεκύει, δι' ἧς κἀγὼ πέπτωκα καὶ καταβέβλημαι.

Ἡ τοῦ νοῦ ῥαθυμία, καὶ τῆς ψυχῆς χαύνωσις, οἷα συνεργάτιδες δύο χεῖρες γενόμεναι, τῷ παλαμναίῳ λῃστῇ, παρακοῆς με πρὸς βόθρον, τὸν βαθὺν ἠκόντισαν, φεῦ μοι τοῦ πτώματος.



Σκυθρωπάζων καὶ στένων, περιπαθῶς ἄχραντε, ὅλην τὴν ἡμέραν πορεύομαι ὁ ταλαίπωρος, ὅτι ἐπλήσθησαν, παρακοῆς ἐμπαιγμάτων, τῆς ψυχῆς αἱ ψόαι μου διό με ἴασαι.

Βασιλέως θυγάτηρ, καὶ ἀληθῶς Δέσποινα, καὶ παμβασιλέως Δεσπότου Μήτηρ ὑπάρχουσα, τὴν βασιλεύουσαν παρακοὴν τῆς ψυχῆς μου, οἷα δούλην ἄτιμον μακρὰν ἐξόρισον.

Οὐρανὸν ὁ τανύσας, ἐπ' οὐδενὸς πήγματος, καὶ ἐπὶ ὑδάτων ἑδράσας τὴν γῆν ἀκλόνητον, τὴν σὴν ἁγίαν νηδύν, τὰς οὐρανίους ἁψῖδας, μὴ λιπὼν κατῴκησε Κόρη θεόνυμφε.

### Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Θεῖος ποτέ, Θεοῦ Προφήτης κατάβρωμα, θηρὸς ὤφθη, λέοντος καὶ τρόπαιον παρακοῆς θείας ἐντολῆς, βρῶσις γὰρ κἀκεῖνον, ὡς τὸν Προπάτορα πέπεικε· Θεοῦ καταφρονῆσαι, δι' ἣν γέγονε βρῶμα, ὠμοφάγου θηρὸς κἂν ἠπάτηται.

Ῥύμη φθορᾶς, ἀκατασχέτου φερόμεναι, τῶν παθῶν μου, χείμαρροι καὶ ὅλον με ἐν ἑαυτοῖς, βίᾳ τῆς ὁρμῆς, περιειληφότες ὑπέσυραν πρὸς κατώτατον, χωρίον τῆς κακίας, παρηκόου γὰρ ἅλμης, τὴν ψυχήν μου ἀθλίως ἐνέπλησαν.

Ὄντως οὐδέν, παρακοῆς πάθος χείριστον, καὶ γὰρ αὕτη, μόνη τὸν Πρωτόπλαστον, τὸν τῇ χειρὶ πάλαι τοῦ Θεοῦ, καὶ τὸν κατ' εἰκόνα, τετιμημένον ἀπόβλητον εἰργάσατο τῆς θείας, τοῦ Θεοῦ θεωρίας, καὶ τρυφῆς Παραδείσου ἐξώρισεν.

Ὕδωρ ἁγνή, τὸ ἀνυπόστατον πράϋνον, τῶν κακῶν μου, ὕδωρ ἡ ὀμβρήσασα τὸ τῆς ζωῆς, κόσμῳ καὶ πηγήν, δὸς τοῖς ὀφθαλμοῖς μου, δακρύων καὶ κατανύξεως, ὕδωρ τῇ κεφαλῇ μου, ἀποπλῦνόν με ὅλον, τοῦ βορβόρου τῶν ἔργων μου ἄνωθεν.

Μόνη ἐν σοί, Δέσποινα νόμοι τῆς φύσεως, ἀπρακτοῦσι, μόνη τίκτεις ἄσπορον ὑπερφυῶς, βρέφος τὸν Θεόν, ἐκ τῶν παναχράντων, αἱμάτων σου χρηματίσαντα, Παιδίον πρὸ αἰώνων, ἐκ Πατρὸς γεννηθέντα, καὶ ἀνάρχως αὐτῷ συννοούμενον.

### Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ἐν ἐμοὶ τῷ δυστήνῳ, νῦν ἡ τοῦ Προπάτορος φευκτὴ παράβασις, ἐγκαινιζομένη, ἀναθάλλειν καὶ αὔξειν ἀπάρχεται, τῆς λυμαντικῆς γάρ, παρακοῆς κἀμὲ τὸ βέλος, περιπεῖραν θανάτῳ παρέκαμψε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ράβδος ἡ ἐκφυεῖσα, τῆς τοῦ θεοπάτορος Ἰεσσαὶ ῥίζης ἁγνή, καὶ ὡραῖον ἄνθος, ἐξανθήσασα Χριστὸν τὴν ἄκανθον, τῆς ἀναφυείσης, παρακοῆς ἐν τῇ ψυχῇ μου, οἰκτιρμῶν σου μαχαίρᾳ ἐκρίζωσον.

Ὑποτάξαι τὴν σάρκα, Δέσποινα παράσχου μοι νόμῳ τοῦ πνεύματος, καὶ ἡγεμονίαν, τὴν τοῦ χείρονος δοῦναι τῷ κρείττονι, τὴν παρακοὴν δέ, ὑπακοῆς ζυγῷ δουλῶσαι, καὶ πικρίας ἀλλάξαι γλυκύτητα.

Στερεὰν ἐπὶ πέτραν, στῆσον παναμώμητε, ψυχῆς τοὺς πόδας μου, καὶ κατεύθυνόν μου, τὰ κρυπτὰ διαβήματα, δοῦσά μοι ἀνυποσκελίστως ἐν τῇ ὁδῷ τῶν μαρτυρίων, τοῦ Υἱοῦ σου ὁδεύειν καὶ τέρπεσθαι.

Ἁγιάσματος ὤφθης, Κιβωτὸς χωρήσασα, Θεὸν τὸν ἅγιον, τῆς ἁγιωσύνης, τὴν πηγὴν ὡς ἁγία ὁ Ὕψιστος· σὲ γὰρ ἁγιάσας, ᾤκησε μέσον σου ἀρρήτως, μὴ σαλεύσας τὰς κλεῖς τῆς ἁγνείας σου.

### Ὠδὴ ϛ΄. Τὴν δέησιν.

Ἰλύος, ἀπὸ πηλοῦ ἀνάγαγε, καὶ ἐκ λάκκου με τῆς ταλαιπωρίας, εἰς γὰρ βυθόν, ἐγκλημάτων ὁ τάλας, ἐξεκυλίσθην καὶ ᾅδου πρὸς πέταυρον, καὶ ἔδυ μου ἡ κεφαλή, εἰς σχισμὰς τῶν ὀρέων Πανάχραντε.

Παρθένε, τὸ φαεινὸν παλάτιον, τὸ εὐῶδες τῆς ἁγνείας ταμεῖον, ὁ ὑψηλός, οὐρανὸς καὶ ὡραῖος, ὁ λογικὸς τοῦ Δεσπότου παράδεισος, ἡ ἔμψυχος Θεοῦ σκηνή, οὐρανίων σκηνῶν με ἀξίωσον.

Ἀκάνθας, ἀντὶ βοτρύων ἔφυσε, χερσωθεὶς ὁ ἀμπελὼν τῆς ψυχῆς μου, ἀντὶ πυροῦ, καὶ κριθῆς δὲ ἡ χώρα, βάτον καὶ κνίδην ἀθλίως ἀνῆκέ μοι, γεώργησόν μου τοῦ νοός, τὰς ἀρούρας, ὦ γῆ ἀγεώργητε.

Ῥοθίῳ, τῷ θαλαττίῳ δίδοται, καὶ θηρίῳ ἐναλίῳ παλαίει, ὁ Ἰωνᾶς, παρακούσας εὐχῇ δέ, ἀπὸ τοῦ κήτους τριταῖος ἀνάγεται, ἐμὲ δὲ ἡ παρακοή, ψυχοφθόρῳ θηρὶ παραδέδωκεν.

Θαλάσσῃ με, τῶν παθῶν νηχόμενον, καὶ ποντούμενον πταισμάτων τῷ σάλῳ, καὶ πονηρῶν, ἀντιπνοίαις πνευμάτων, ἀλλ' ἐπαλλήλως με κλυδωνιζόμενον, κυβέρνησον πρὸς τὴν ζωήν, κυβερνήτην Χριστὸν ἡ κυήσασα.



### Ὠδὴ ζ΄. Παῖδες ἑβραίων.

Ἔλαφος οἷα τετρωμένος, παναμώμητε βολίσιν ἰοβόλοις, τοῦ ἐλέους τοῦ σοῦ, διψῶ πιεῖν ῥανίδα, ὡς τὸν ἰὸν ἐκκρούσωμαι, τὸν πικρὸν θανατηφόρον.

Νέφη παθῶν ἐσκοτισμένος, οὐ δεδύνημαι τρανῶς ἐνατενίσαι, τῷ ἐκ τῆς φωτεινῆς νεφέλης, σου Παρθένε, ὑπερφυῶς ἀνίσχοντι, ἡλίῳ δικαιοσύνης.

Εὗρε γενέσθαι Θεὸς Λόγος, τὸ γενέσθαι θνητὸς πάλαι καὶ μὴ θέλων, παραβὰς ὁ Ἀδάμ, παρακοῆς φυτοῦ δέ, καρπὸν πικρὸν ἐτρύγησε, τὴν φθορὰν καὶ τὴν κατάραν.

Ἴσχυσε ξύλου πικρᾷ βρώσει, δηλητήριον ὁ φθόνος μοι κεράσαι, παγγενῆ δι' ἑνός, ἀνθρώπου παρηκόου, οὗ ἀπὸ τῆς ποιότητος, ἐμεθύσθη βροτῶν φύσις.

Ὥριμον στάχυν ἀφθαρσίας, ἀνεβλάστησας ἁγνὴ ἀγεωργήτως, διὸ θρέψον κἀμέ, τροφῇ τῇ ἀμβροσίᾳ, τὸν τῆς φθορᾶς λιμώττοντα, τῇ ποικίλῃ πανδαισίᾳ.

### Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ἀδαμιαίου κράματος, μετασχὼν καὶ φυράματος, καὶ τῆς πατρικῆς παρακοῆς μετείληφα ὡς κλῆρος γὰρ ἄνωθεν, προγονικὸς ἡ πτῶσις αὐτοῦ, κατὰ γενεάν, καὶ εἰς ἐμὲ τὸν ἐκείνου, ἀπόγονον διέβη, παρηκόου με λύμης, ἐμπλήσασα καὶ νόσου, δεινῆς θανατηφόρου.

Νῦν ἐπ' ἐμοὶ στενάξατε, καὶ σταλάξατε δάκρυα, ὑπὸ συμπαθείας ἀδελφοὶ συλλέξαντι, πικρῶν σπόρων δράγματα, παρακοὴν καὶ θάνατον, οὐ σωματικόν, ψυχικὸν δὲ καὶ χείρω, κακὴν ἐπικαρπίαν, οὐ καλῶν ὄντως πόνων, καὶ τῆς κατηραμένης γενήματα φευκτέα.

Νέα καθάπερ ἄτακτος, ἀπειρόζυγος δάμαλις, περιπλανωμένη ἡ ψυχή μου πάντοτε, παροίστρησε Πάναγνε, καὶ εἰς κρημνὸν ὠλίσθησε, τῆς παρακοῆς, τὸν ἀχανῆ καὶ πετρώδη, διὸ ὑπακοῆς με, τοῖς πτεροῖς ἐκ τοῦ βάθους, τοῦ πτώματος ἐν τάχει, ἀνέλκυσον Παρθένε.

Ἡ ῥυσαμένη Δέσποινα, τὸν Ἀδὰμ ἐκ τοῦ πτώματος, τῆς παρακοῆς καὶ τοῦ δεινοῦ συντρίμματος, Χριστὸν ὡς γεννήσασα, τὸν τῷ Πατρὶ ὑπήκοον, διὰ τὴν αὐτοῦ, παρακοὴν γεγονότα, μέχρι σταυροῦ θανάτου, ἐπινεύσει σου θείᾳ, κἀμὲ τοῦ ὀλεθρίου, λύτρωσαι τούτου πάθους.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Νοός ἐμοῦ τὰ πίονα, καὶ πρωτότοκα θρέμματα, ἐστεατωμένα πιμελῇ τῆς πίστεως, ἐκ πόθου προσάγω σοι, πενιχρὰν ὁλοκαύτωσιν, εὐεργεσιῶν, ἀντὶ πολλῶν καὶ μεγάλων, ὧν πάλαι νηπιόθεν, παραπήλαυσα Κόρη, ἐκ τοῦ θεογεννῆτορ τῆς Κεχαριτωμένης.

**Ὠδὴ θ΄. Ἐξέστη ἐκ τούτῳ.**

Μακάριος ὁ φέρων ἐν ἑαυτῷ, χριστομίμητον καὶ ἀνυπόκριτον ὑπακοήν, ἄδολον ἀνόθευτον καθαράν, ὑψοποιόν ταπείνωσιν εἰλικρινεστάτην ὑποταγήν, οὗτος γὰρ σὺν ἀγγέλοις, ὡς ἄγγελος χορεύει, ἐν τοῖς ὑψίστοις ἀγαλλόμενος.

Ὀδύναι μου συνέχουσι τὴν ψυχήν καὶ πικρίας πολλῆς ἐμπιπλῶσί με, πρὸ ὀφθαλμῶν, ἤδη προορώμενον τὴν ἐμήν, ἐλεεινὴν ἀπόπτωσιν, ἐκ τῆς βασιλείας τῶν οὐρανῶν, τὴν μετὰ τῶν ἐρίφων, καὶ τῶν κατηραμένων, ἐν τῇ γεέννῃ ἀποκλήρωσιν.

Νεκρῶσαί μου τὸ φρόνημα τῆς σαρκός, καὶ αὐτὸ ὑποτάξας τῷ πνεύματι, ὡς ἀγαθή, δός μοι Παναγία καὶ ἐκ ψυχῆς, τοῖς ἐν Θεῷ προστάττουσι, πείθεσθαι ὑπείκειν καὶ λειτουργεῖν, ὡς τῶν ἐπιτιμίων, τῆς ἀπηγορευμένης, παρακοῆς ἀπαλλαγήσομαι.

Ἀνθῶν ἐκ λειμόνων τῶν τῆς ψυχῆς, τῶν ᾀσμάτων τὰ ἄνθη δρεψάμενος, καὶ τῇ ῥοῇ μίξας τῶν δακρύων μου ἐν πυρί, τῷ τῆς καρδίας ἕψησα, Δέσποινα καὶ μῦρον ἐσκευακώς, τὸν ὕμνον ὡς ἡ πόρνη, τοὺς σοὺς ἀχράντους πόδας, ἐν τούτῳ βρέχω κράζων σῶσόν με.

Χαρᾶς ἀδιαδόχου χαῖρε πηγή, ἡ χαρᾶς τὴν καρδίαν πληροῦσά μου πνευματικῆς, μόνου καὶ ὀνόματος ἐκ τοῦ σοῦ, καὶ γὰρ ἀρκεῖ λαλούμενον, τοῦτο ἐνσταλάξαι μου τῇ ψυχῇ, καὶ μέλιτος ἡδίω, γλυκύτητα καὶ τέρψιν, καὶ θεσπεσίαν ἀγαλλίασιν.

Ὃν τρόπον ἐφ᾽ ὑδάτων ἐπιποθεῖ, τὰς πηγὰς ὡς διψῶσα ἡ ἔλαφος· οὕτω πρὸς σέ, ἡ ἐμὴ καρδία ἐπιποθεῖ, καὶ ἡ ψυχή μου Δέσποινα, ὅλη ἐκολλήθη σοῦ ψαλμικῶς, ὀπίσω ἀγαθὸν γάρ, ἐμοὶ τὸ προσκολλᾶσθαι. σοὶ καὶ ἐλπίζειν εἰς σὲ Πάναγνε.

Νοεῖν σου τὸν ἀπόρρητον τοκετόν, καὶ γεραίρειν ἐπίσης ἀμήχανον, ἴσον καὶ γάρ, ἐστὶν εἰ δακτύλῳ τοῦ οὐρανοῦ, ἐπιχειρεῖ τις ἅπτεσθαι, καὶ κοτύλῃ θάλασσαν ἐκμετρεῖν, διό σε Θεοτόκε, καρδίας διαθέσει, καὶ πίστει μόνῃ πάντες σέβομεν.

<u>Σημείωσις ἀντιγραφέως.</u> Ὁ Κῶδιξ οὗτος Ι 77 γράφει εἰς φύλλ. 323 «Ἐτελειώθη ἡ παροῦσα Ἱερὰ Βίβλος μηνὶ Φεβρουαρίῳ κε΄, ἡμέρᾳ Παρασκευῇ ὥρᾳ θ΄. ἔτους ζωνγ΄. (1345 μ. Χ.) ἰνδικτιῶνος ιγ΄».



**Ἐκ τοῦ Κώδικος Ι 77 φύλ. 263**

ΕΤΕΡΟΣ ΚΑΝΩΝ

Ἐκ προσώπου ἀνθρώπου μὴ δρῶντος· πάνυ ὡραῖος· οὗ ἡ Ἀκροστιχίς:

Ἅγνισον ἁγνὴ δακρύων με λιβάσιν, ἡ ᾠδὴ αὕτη Ἰωάννου.

Ποίημα Ἰωάννου τοῦ Μαυρόποδος ἐπισκόπου Εὐχαΐτων.

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Ἁγία Παρθένε Μῆτερ Θεοῦ, ἄκουσον φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ, καὶ ἐν τῷ τὰς χεῖράς μου ἐπαίρειν, πρὸς τὸν ναόν σου τὸν ἅγιον πρόσχες μοι.

Γενοῦ μοι Παρθένε καταφυγή, καὶ πρὸς ἐργασίαν, συνεργεία τῶν ἀρετῶν, καὶ βίου παντὸς χειραγωγία, καὶ ὁδηγία πρὸς θείαν κατάστασιν.

Νεόσμηκτον ἔνοπτρον δεκτικόν, ἀΰλων ἀκτίνων ἐπιλάμψεων νοερῶν, ἀπέργασαι Κόρη τὴν ψυχήν μου, καὶ τῷ φωτί σου τὸν νοῦν μου καταύγασον.

Ἰσχύν σε καὶ δύναμιν κραταιάν, στηρίζουσαν ῥάβδον, ὁδηγὸν καὶ χειραγωγόν, εὕροι με σεμνὴ καὶ βακτηρίαν, τῆς ἀσθενείας καὶ ταλαιπωρίας μου.

Σὺ τῆς ἀσθενείας μου ἡ ἰσχύς, τῆς ἀπηλπισμένης, διανοίας μου ἡ ἐλπίς, τῆς ἐσκοτισμένης μου καρδίας, σὺ εἶ τὸ φῶς ἡ ζωὴ ἡ παράκλησις.

**Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.**

Ὀμβροτόκους νεφέλας, τοὺς ὀφθαλμούς μου δεῖξόν μου, ἔμψυχε νεφέλη τοῦ ζῶντος ὕδατος Δέσποινα, καὶ καταξίωσον, θερμῶν, δακρύων λιβάδας, ὑετίζειν πάντοτε καὶ καταρδεύειν με.

Νοερῶς καθορῶν σε, διαπαντός δίδου μοι, καὶ τῷ γλυκυτάτῳ φωτί σου, περιαυγάζεσθαι, εἰς ἀνεκλάλητον, τῆς ταπεινῆς μου καρδίας, εὐφροσύνην Δέσποινα καὶ ἀγαλλίασιν.

Ἀνεξάλειπτον πένθος, διηνεκὲς δάκρυον, θεῖον ἐνδιάθετον φόβον, θερμὴν κατάνυξιν, ἁγνὴν ταπείνωσιν, καὶ συντριβὴν τῆς καρδίας, θεοτόκε Δέσποινα δός μοι καὶ σῶσόν με.

Γοερὰν ἱκεσίαν, ὀδυνηρὰν δέησιν, ἐκ συντετριμμένης καρδίας, καὶ ταπεινοῦ λογισμοῦ, προσφερομένην σοι, θεογεννήτρια δέξαι, καὶ τῆς ἀντιλήψεώς σου με ἀξίωσον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Νεαρὰν προθυμίαν, πόθον ἀεὶ ζέοντα, ἔρωτα θερμὸν μετανοίας, σπουδὴν ἀκμάζουσαν, δός μοι Πανύμνητε, ὡς ἂν πενθήσας ἐνθάδε, τύχω παρακλήσεως τῆς τῶν πενθούντων ἐκεῖ.

**Ὠδὴ δ΄. Σὺ μου ἰσχὺς Κύριε.**

Ἡ καθαρά, καὶ χρυσαυγὴς καὶ ὁλόφωτος, τοῦ ἡλίου, τοῦ ἐξανατείλαντος πρὸ ἑωσφόρου ἐκ τοῦ Πατρός, νεφέλη Παρθένε, τὸ σκότος μου φωταγώγησον, τὸν πόνον τῆς ψυχῆς μου, τῆς καρδίας τὴν θλίψιν, τῷ γλυκεῖ σου φωτὶ παραμύθησαι.

Διὰ παντός, μὴ διαλίπῃς με σκέπουσα, σὲ γὰρ ἔχω, μόνην καταφύγιον, ἐν πειρασμοῖς ὑπερασπιστήν, ῥύστιν ἐν κινδύνοις, ἐν συμφοραῖς παραμύθιον, προστάτιν ἐν ἀνάγκαις, εὐθυμίαν ἐν λύπαις, καὶ χαρὰν ἐν ταῖς θλίψεσι Δέσποινα.

Ἀντιλαβοῦ, τῆς ἀσθενείας μου Δέσποινα, ὁ πατὴρ γὰρ πάλαι καὶ ἡ μήτηρ μου, ἅμα μακρύναντες ἀπ᾽ ἐμοῦ, ἐγκατέλιπόν με· καὶ οἱ πλησίον καὶ φίλοι μου, μακρόθεν ἔστησάν μου· διὸ σὺ προσλαβοῦ με, καὶ ὡς θέλεις ἐλέησον σῶσόν με.

Κλαίειν πικρῶς, καὶ καταρραίνεσθαι δάκρυσι, καὶ στενάζειν καὶ θρηνεῖν καὶ κόπτεσθαι, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτί, λούειν μου τὴν κλίνην, καὶ τὴν στρωμνὴν διαβρέχειν μου, ἀξίωσόν με Κόρη, ἡ ὀμβρήσασα κόσμῳ τὸ ἀλλόμενον ὕδωρ Χριστὸν τὸν Θεόν.

Ῥεῖθρον ζωῆς, πηγὴν ἀκένωτον βλύσασα, νεκρουμένην, κένωσιν ἀκένωτον, ἐκκενουμένην δὲ μηδαμῶς, ἀλλ᾽ ἐν τῷ κενοῦσθαι, ὑπερχειλῆ καὶ ἀκένωτον, καὶ πλήρη δεδειγμένην, ἀπειρόγαμε Κόρη, ἀθανάτου ζωῆς με ἀξίωσον.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.**

Ὑδατόρρυτα νέφη, δεῖξόν μου τὰ ὄμματα θεογεννήτρια, θαλερῶν δακρύων, καὶ ὑδάτων θερμῶν ὑετίζοντα, θαμινὰς λιβάδας, τῷ πιεσμῷ καὶ τῇ ἐκθλίψει, ἀνηγμένας ἁγνὴ τῆς καρδίας μου.

Ὡς πολύδακρυν βίον, καὶ ὡς πολυστένακτον ἀνύων δίαυλον, δυσωπῶ σε Κόρη, εἰς παράκλησιν καὶ εἰς ἀνάψυξιν, τῆς πολυπαθοῦς καὶ πολυωδύνου μου καρδίας, ἐναργῆ τὴν σὴν μνήμην παράσχου μοι.



Νοητῆς εὐφροσύνης, καὶ ἀγαλλιάσεως καὶ σωτηρίου με, φωτεινόν χιτῶνα, καθαρόν τε ἱμάτιον ἔνδυσον, ὅπως τοῦ νυμφῶνος, μὴ ἐκβληθῶ μὴ ἔχων γάμου, Θεοτόκε ἐπάξιον ἔνδυμα.

Μὴ συνέξῃ Παρθένε, σκότος ἀπαράκλητον, τὴν ταπεινήν μου ψυχήν, τὸ γὰρ σκότος οἶδας τὸ συνέχον καὶ θλῖβον καὶ τρύχον με, ἀλλὰ φώτισόν μου, τοὺς ὀφθαλμοὺς τοὺς τῆς καρδίας, γλυκυτάτῳ φωτὶ τοῦ προσώπου σου.

Ἐν γραφαῖς καὶ εἰκόσιν, ὁ ἐσκοτισμένος ὁρᾶν σε οὐ δύναμαι, Παναγία Κόρη, ὡς τυφλώττων καὶ ἔνδον καὶ ἔξωθεν, διὸ ἀοράτως, τὴν σὴν πανάχραντον ἰδέαν, στηλογράφησον ἐν τῇ καρδίᾳ μου.

**Ὠδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.**

Λαγόνων σου ἐξ ἁγνῶν ὃν ἔτεκες, Θεὸν Λόγον Θεοτόκε δυσώπει, ἁμαρτιῶν, πρυτανεῦσαί μοι λύσιν, καὶ τῆς αὐτοῦ γλυκυτάτης μεθέξεως, καὶ στάσεως τῶν ἐκλεκτῶν, ἀξιῶσαι ἐν ὥρᾳ τῆς κρίσεως.

Ἰδοῦσά μου τὴν πολλὴν ἀσθένειαν, καὶ τὴν θλῖψιν τῆς καρδίας Παρθένε, εἰς τὴν ἐμήν, πρόσχες ταλαιπωρίαν, ἐν εὐμενεῖ καὶ ἐλέῳ σου ὄμματι, καὶ πένθος μοι χαροποιόν, εἰς χαρὰν καὶ παράκλησιν δώρησαι.

Βροχὴν ψαλμικῶς ἑκούσιον, γλυκερῶν καὶ ἑκουσίων δακρύων, ἀφοριεῖς, τῇ σῇ κληρονομίᾳ, καὶ ὡς ἠσθένησε ταύτην καταρτίσαι, Παρθένε τὴν ἐμὴν ψυχήν, σὸς γὰρ κλῆρος αὐτὴ καὶ μερὶς ἐστιν.

Ἀμόλυντε ἀπειρόγαμε Κόρη, μολυνθεῖσαν ἡδοναῖς τὴν ψυχήν μου, διὰ λουτροῦ κατανύξεως θείας, καθαρτικῶν τε δακρύων ἀπόλουσον, καὶ ῥῦσαί με τῆς φοβερᾶς, τοῦ πυρὸς τοῦ ἀσβέστου κολάσεως.

Σὲ ἔχω μετὰ Θεὸν ἀντίληψιν, σὲ προστάτην τῆς ἐμῆς ἀσθενείας, καὶ βοηθόν, καὶ φρουρὸν θεομῆτορ, καὶ τῆς ἀθλίας ψυχῆς μου παράκλησιν, αὐτή μοι καὶ πρὸς ἀρετήν, συνεργὸς καὶ συνέριθος φάνηθι.

**Ὠδὴ ζ΄. Παῖδες ἑβραίων.**

Ἵνα δοξάζω σου τὴν χάριν, εὐφρανάτωσαν αἱ σαὶ νῦν παρακλήσεις, τὴν ψυχήν μου ἁγνή, κατὰ τῶν ὀδυνῶν μου, τὸ πολὺ πλῆθος Δέσποινα, τῶν ἐν τῇ ἐμῇ καρδίᾳ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Νόσους ἡμῖν καὶ μαλακίας, τὸν ἀράμενον αὐτοῦ τιμίῳ πάθει, συλλαβοῦσα Χριστὸν ἀνερμηνεύτως Κόρη· τὰς ἀνιάτους ἴασαι, τῆς ἐμῆς καρδίας νόσους.

Ἤνοιξας πύλας Παραδείσου, ἃς ἀπέκλεισεν ἀνθρώποις ἡ Προμήτωρ· θεομῆτορ διὸ κἀμοὶ τῆς μετανοίας, πύλας ἄνοιξον πύλας μοι, ἀνοιγούσας Παραδείσου.

Ὦ πολυΰμνητε Παρθένε, ὦ Πανύμνητε πανάμωμε κυρίως, ἡ κυρίως Θεὸν καὶ Κύριον τεκοῦσα, Κυριοτόκε Δέσποινα, σῶσόν με σοὶ προσφυγόντα.

Δεῖξον τὴν σὴν φιλανθρωπίαν, ἡ γεννήσασα φιλάνθρωπον Δεσπότην, ἐπ᾽ ἐμοὶ τῷ πτωχῷ, καὶ φιλανθρώπως ἴδε, εἰς τὴν ἐμὴν ταπείνωσιν, φιλανθρώπου Θεοῦ Μῆτερ.

**Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.**

Ἡ ταχινὴ βοήθεια, ἡ ὀξεῖα ἀντίληψις, ἡ τῶν θλιβομένων ἀψευδὴς παράκλησις, ἡ μόνη γινώσκουσα τὴν φυσικὴν ἀσθένειαν, καὶ ἐπισταμένη μου τὴν σύνοικον θλῖψιν, Παρθένε Θεοτόκε, τῇ σῇ ἐπιφανείᾳ, καὶ θείᾳ ἐπισκέψει, χαρᾶς με θείας πλῆσον.

Ἁμαρτωλῶν προσφύγιον, ταπεινῶν ἱλαστήριον, καὶ ὀδυνωμένων ψυχῶν παραμύθιον, τὴν ὀδυνωμένην μου καὶ θλιβομένην Κόρη ψυχήν, καὶ διηνεκεῖ, πιεζομένην σκοτίᾳ, φωτί σου γλυκυτάτῳ, νοερᾷ παρακλήσει, ἱλάρυνον καὶ δεῖξον, γαληνιῶσαν ὅλην.

Ὑπερερρύη Δέσποινα, ὁ κρατὴρ τῆς χρηστότητος, καὶ ἡ πρὸς ἡμᾶς τῶν οἰκτιρμῶν σου ἄβυσσος, τῆς γῆς πᾶν τὸ πρόσωπον, προφητικῶς ἐκάλυψεν, ἄβυσσος οὖν, ἄβυσσον νῦν ἐπικαλεῖται, τῆς σῆς φιλανθρωπίας, ἡ τῶν ἁμαρτιῶν μου, ὡς ἂν αὐτὴν ξηράνῃς ῥοπῇ σου παναγάθῳ.

Τοῦ ποταμοῦ εὐφραίνουσι, ψαλμικῶς τὰ ὁρμήματα, σὲ τὴν λογικὴν τοῦ Θεοῦ πόλιν Δέσποινα, τὰ θεῖα χαρίσματα, τοῦ παναγίου Πνεύματος, οἶκον γὰρ αὐτῶν καὶ θησαυρὸς καὶ ταμεῖον, ὁλόφωτον ὑπάρχεις, ὧν μετάδος πλουσίως, ἐμοὶ τῷ πενομένῳ πάσης ἀγαθουργίας.

Ἡ καθαρὰ καὶ ἄμωμος, ἡ ἁγνὴ καὶ ἀμίαντος, ἡ ἀειχαρίτωτος, καὶ ἀειπάρθενος, ἡ πάντων ἀσύγκριτον, ἁγιωσύνην σύνοικον σχοῦσα καὶ τεκοῦσα, τῆς Τριάδος τὸν ἕνα, τριάδι ἀρετῶν με, τείχισον θείῳ φόβῳ, δευτέρᾳ κατανύξει, καὶ τρίτῃ ταπεινώσει.



**Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.**

Ἰλύϊ συσχεθέντα με ἡδονῶν, καὶ βορβόρῳ παθῶν ἐμπαγέντα με, ὡς ἀγαθή, ἔκσπασον ἀνέλκυσον συμπαθῶς, καὶ κατανύξει κάθαρον, πλύνασα δακρύων ἐπιρροῇ· ὡς ἂν κεκαθαρμένος, ὀφθῶ θεογεννῆτορ, τῷ τὴν ἐμὴν ζητοῦντι κάθαρσιν.

Ὡς ἄβυσσον ἐλέους καὶ οἰκτιρμῶν, ὡς πηγὴν ἀγαθότητος τέξασα, εἰς τὴν ἐμὴν ἔπιδε ἀσθένειαν εὐμενῶς, καὶ πρὸς παραμυθίαν μου, καὶ παρηγορίαν Μῆτερ Θεοῦ, ἀνθ᾽ ὧν τὴν σὴν εἰκόνα, ζοφώδης ὢν οὐ βλέπω, λάμψον μοι φέγγος παρακλήσεως.

Ἀχλὺς καὶ σκοτομήνη ἁμαρτιῶν, καὶ καπνὸς καὶ ὀμίχλη καὶ θύελλα, καταταυτόν, ἄφνω ἐπελθόντα μοι λῃστρικῶς, τοὺς τῆς ψυχῆς μὲν πρότερον, σώματος δ᾽ ἑξῆς τοὺς φωταγωγούς, ἐπήρωσαν καὶ φέγγους, ἐστέρησαν καὶ σκότει, διηνεκεῖ με κατεδίκασαν.

Νεφέλη χρυσαυγής, καὶ πορφυραυγής, ἡ τῆς δόξης Πατρὸς τὸ ἀπαύγασμα, ἡ τὸ γλυκύ, φῶς τὸ ἐκ φωτὸς τοῦ ζωαρχικοῦ, τὸν πρὸ ἡλίου Ἥλιον, ἡ ἐξανατείλασα σαρκικῶς, τὸν ζόφον τοῦ νοός μου τὸ σκότος τῆς ψυχῆς μου, γλυκεῖ φωτί σου καταλάμπρυνον.

Νοΐ καὶ διανοίᾳ καὶ λογισμῷ, καὶ ψυχῇ καὶ καρδίᾳ καὶ στόματι, ὁμολογῶ· σὲ θεογεννήτρια ἀληθῆ, καὶ δυσωπῶ σε Δέσποινα μὴ με ἀπορρίψῃς ἀπὸ τοῦ σοῦ προσώπου, ἀλλὰ δός μοι, θανόντι καθορᾶν σε, καὶ αἰωνίαν χάριν δρέπεσθαι.

Ὁρῶν σου τὴν εἰκόνα Μῆτερ Θεοῦ, τὴν ἐμοὶ γλυκερὰν καὶ παμπόθητον, εἰλικρινῶς, θρήνοις κατατήκω μου τὴν ψυχήν, βίον βιῶν ἀβίωτον, καὶ ὀδυνηρὸν καὶ βαρυπενθῆ· διό με μεταστάντα ἀξίωσον ὁρᾶν σε, καὶ παρεστάναι πρὸ προσώπου σου.

Ὑπέρφωτε λυχνία χρυσοφαής, ἡλιόμορφε Κόρη ὁλόφωτε, τὴν σὴν μορφήν, βλέπειν μὴ δυνάμενος ἐν γραφαῖς, ἐν στεναγμοῖς καὶ δάκρυσι τὴν ἐμὴν ζωὴν καταδαπανῶν, διὸ παρακαλῶ, σε ἐκεῖ παρακληθῆναι, ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

Εἰς τὴν ὑπεραγίαν Θεοτόκον τοῦ ἰδίου Πατρὸς Εὐχαΐτων, ἐπὶ προσδοκίᾳ βαρέος πολέμου κατὰ τὴν Μεγαλόπολιν ἐκ διαφόρων Ἐθνῶν τῆς Ἰταλῶν γλώσσης ἢ καὶ ἑτέρων βαρβάρων συγκροτηθησομένου, οὗ ἡ ἀκροστιχίς.

Ὑπερμάχησον τῶν Πολιτῶν σου Κόρη· ὑμνῳδία Ἰωάννου.

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**

Ὑπὸ τὴν σκέπην καὶ τὴν εὐσπλαγχνίαν σου, θεογεννήτρια, ἡμεῖς ὁ σὸς κλῆρος, πάντοτε προσφεύγοντες, τοὺς δυσμενεῖς τροπούμεθα, καὶ παντοίων κινδύνων, τὴν ζάλην διακρουόμεθα, καὶ τοὺς πειρασμοὺς ἐκτρεπόμεθα.

Πύργος ἰσχύος ὀχυρὸς καὶ ἄρρηκτος, ἀπὸ προσώπου ἐχθρῶν, καὶ στερεὰ πέτρα, ἀρραγής τε πρόβολος, γεννοῦ θεογεννήτρια, τῇ τιμώσῃ σε Πόλει, καὶ ταύτην σκέπασον ἄνωθεν, σκέπῃ τῶν ἀχράντων πτερύγων σου.

Ἐξαποστείλαις ἐξ ἁγίου Δέσποινα ἡμῖν βοήθειαν, καὶ ἐκ Σιὼν, ῥάβδον, ἀληθοῦς δυνάμεως, ᾗ κατακυριεύσομεν, τῶν ἡμᾶς πολεμούντων, ἐχθρῶν ἐν μέσῳ τῇ χάριτι, σοῦ τῇ κραταιᾷ κρατυνόμενοι.

Ῥάβδῳ παιδείας καὶ πατὴρ φιλόστοργος, υἱὸν παιδεύει μωρόν, καὶ μαστιγοῖ δοῦλον, πᾶς δεσπότης πταίοντα, εὐχαῖς οὖν τῆς τεκούσης σε, ὡς πατὴρ καὶ Δεσπότης, αὐτὸς ἡμᾶς Χριστὲ παίδευσον, καὶ μὴ παραδώῃς τοῖς ἔθνεσιν.

Μετανοεῖν ἐπὶ κακίαις Δέσποτα, μετανοούντων βροτῶν, καὶ μαρτυρεῖ πόρνη, Μανασσῆς καὶ ἄσωτος, διὸ μετανοοῦντάς σοι, καὶ ἡμᾶς τῆς δικαίας, ὀργῆς σου ῥῦσαι δεήσεσι, τῆς ὑπεραχράντως τεκούσης σε.

**Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.**

Ἅρματα νέου Φαραώ, καὶ διωκτῶν ἀλαζόνων, ἐπιλέκτους ἀναβάτας τριστάτας, καταπόντισον ἁγνή, εἰς ἀπωλείας βάραθρον, ὡς καὶ τὰ ἔθνη γνῶσι, τὸ κράτος τῆς ἐξουσίας σου.

Χωρῶν βαρβάρων ἀρχηγοί, χεῖρας ἀδίκους ἐπῆραν, καθ᾽ ἡμῶν ἀσχέτῳ ῥέοντος θράσει, οἷς ἀνάτεινον ἁγνή, τὴν χεῖρά σου τὴν ἄμαχον, ὅπως κἀκεῖνοι γνοῖεν, τὸ ὕψος τῆς βασιλείας σου.



Ἡ αἱματόφρων στρατιά, ἡ φιλοπόλεμος φάλαγξ, τῆς εἰρήνης τὸ ἀντίθετον γένος, ἦρεν ὅπλα καθ᾽ ἡμῶν, οἷς ἀντιπαράχθητι, Δέσποινα ὅπως γνῶσι, τὴν σὴν ἀήττητον δύναμιν.

Σὺ εἶ τὸ τεῖχος τῶν πιστῶν, σὺ εἶ ἰσχὺς καὶ τὰ ὅπλα, σὺ ἀκράδαντος ἀπόρθητος πύργος, σὺ ὀχύρωμα στερρεόν, σὺ καὶ περιχαράκωμα, θεογεννῆτορ Κόρη, διὸ τὴν Πόλιν σου φύλαξον.

Οὐρανίαις στρατιαῖς, περιτειχίσας κυκλόθεν, Ἐλισσαῖον τὸν προφήτην σου πάλαι, νοερᾷ παρεμβολῇ, δυνάμεων ἀΰλων Χριστέ, τῆς σῆς Μητρὸς τὴν Πόλιν, τείχισον ταῖς ἱκεσίαις αὐτῆς.

**Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.**

Νοῦς ἀλαζών, ἀνθρωποκτόνος καὶ δόλιος, βροτῶν γένει, ἄνωθεν πολέμιος, τοὺς ἀλαζόνας Πέρσας νυνί, τοὺς σκληροτραχήλους, καὶ ἰταμοὺς καὶ ὑψαύχενας, δόρασι καὶ ῥομφαίαις, πεποιθότας Παρθένε, καθ᾽ ἡμῶν τῶν σῶν δούλων ἐξήγειρεν.

Τῇ σιδηρᾷ, ῥάβδῳ τῆς σῆς ἀντιλήψεως, ὥσπερ σκεύη, κεραμέως σύντριψον, τοὺς ἐν τοῖς σκεύεσιν ἑαυτῶν, θαρροῦντας Παρθένε, καὶ πολεμοῦντας τοὺς δούλους σου, καὶ μάστιγα βαρεῖαν, ἀνυπόστατον δέος, τὸ σὸν ὄνομα τούτοις ἐπίσεισον.

Ὡς οὐρανός, ἔμψυχος θεογεννήτρια, βασιλέα, οὐρανῶν ἐγέννησας τὸν οὐρανώσαντα διὰ σοῦ, φύσιν τὴν γεώδη, ἐξ οὐρανοῦ δυναστείαν διό, ζῶσον τὸν βασιλέα, καὶ συνάσπισον τούτῳ, τῆς σῆς Πόλεως ὑπερασπίζοντι.

Νόμοι ἐν σοί, φύσεως κεκαινοτόμηνται, θεομῆτορ, πάντα ὑπὲρ φύσιν γάρ, τὰ κατὰ σὲ καὶ καινοπρεπῆ, καὶ ὑπὲρ ἐλπίδας, ἃ εἰς ἡμᾶς ἐνεδείξω χρηστά, διὸ ἐξ ἀνελπίστων, ἐλπὶς ἀπηλπισμένων, ὡς πολλάκις καὶ πάλιν στρατήγησον.

Πολεμικαὶ φάλαγγες περιεκύκλωσαν, ὡς κηρίον, μέλισσαι τὴν Πόλιν σου διὰ θαλάσσης καὶ διὰ γῆς, ἡμᾶς πολεμοῦσαι καὶ πανταχόθεν συνέχουσαι, βρόντησον οὐρανόθεν, τὴν σὴν χάριν Παρθένε, καὶ εὐθὺς τὰ λυποῦντα λυθήσεται.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.**

Οὐρανίων ἀδύτων, τὴν ὑπερνεφῆ καὶ αἰθέριον ἄντυγα, πρὸς βραχὺ λιποῦσα, πρὸς ἡμᾶς ἐπιδήμησον Δέσποινα, καὶ τῇ ἀηττήτῳ καὶ παναλκεῖ σου δυναστείᾳ, τοὺς ἐχθροὺς τοῦ λαοῦ σου κατάβαλε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Λοχαγοὶ καὶ στρατάρχαι, χάρακα πηξάμενοι κύκλῳ σῆς Πόλεως, πρὸς πολιορκίαν, ἑλεπόλεις παντοίας τεχνάζονται, θηριώδει τρόπῳ, βαρβαρικῇ φονίᾳ γνώμῃ, οὓς ἀπράκτους ἀπόπεμψον Δέσποινα.

Ἰσχυράν σε κρηπῖδα, καὶ ἀπεριδόνητον ἱερὰν ἄγκυραν, κεκτημένοι Κόρη, ὁ λαὸς σου πρὸς σὲ καταφεύγομεν· διὸ τὰς σπιλάδας, τῶν πειρασμῶν καὶ καταιγίδας, ὡς ἀφροὺς θαλαττίους διάλυσον.

Τοὺς ἡμᾶς ἀδικοῦντας, δίκαια δικάσασα νῦν καταδίκασον, καὶ τοὺς πολεμοῦντας, πολεμήσασα καταπολέμησον, ἐπιλαβοῦ ὅπλου, καὶ θυρεοῦ ἀνάστηθί τε, εἰς βοήθειαν ἁγνὴ τῶν δούλων σου.

Ὠρυόμενοι σκύμνοι, λέοντος ἁρπάζοντες λύκοι σπαράσσοντες, ὡς προβάτων μάνδραν, περιέσχον κυκλόθεν τὴν Πόλιν σου, διασπάσας ταύτην, θηριωδῶς φιλονεικοῦντες, οὓς ἀπέλασον ῥάβδῳ σου Δέσποινα.

**Ὠδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.**

Νοτίου θηρὸς ὡς πάλαι ἔσωσε, τὸν προφήτην Ἰωνᾶν ὁ Υἱός σου, καὶ Δανιὴλ ἐξ ἀλόγων λεόντων· οὕτω καὶ σὺ τὸν λαόν σου διάσωσον, ἀπήμαντον καὶ ἀσινῆ, λογικῶν ἐκ λεόντων πανάμωμε.

Σοὶ μόνῳ ὡς ἀληθῶς ἡμάρτομεν, ἀλλὰ πάλιν σοὶ λατρεύομεν μόνῳ, καὶ ἀπὸ σοῦ, οὐκ ἀπέστημεν Σῶτερ, πλὴν σου Θεὸν οὐ γινώσκομεν ἕτερον, τὸ ὄνομά σου καὶ τῆς σῆς, παναχράντου Μητρὸς ὀνομάζομεν.

Οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα, οὐ πρὸς δέησιν διᾶραι τὰ χείλη, καὶ γὰρ ἐσμὲν ὄνειδος καὶ αἰσχύνη, διὰ φαυλότητα βίου τοῖς δούλοις σου· ἀλλ᾽ οὖν μὴ προδῶς ἡμᾶς ἐχθροῖς· διὰ τῆς Θεοτόκου Χριστὲ Βασιλεῦ.

Ὑψόθεν ἐπὶ τὴν γῆν ἐπίβλεψον, ἐξ ἁγίου σου κατοικητηρίου, ἴδε σεμνὴ τοὺς υἱοὺς τῶν ἀνθρώπων, μετατραπέντας θηρῶν εἰς ὠμότητα, καὶ πόλεμον κατὰ τῶν σῶν, Πολιτῶν ἀραμένους βαρύτατον.

Κυκλώσαντες ψαλμικῶς ἐκύκλωσαν, ὡσεὶ μέλισσαι κηρίον Παρθένε, πολλῶν ἐθνῶν ἀρχηγοὶ τὴν σὴν πόλιν, οἷς εἰσελ-



θεῖν εἰς τὴν κληρονομίαν σου, μιᾶναί τε τοὺς σοὺς ναούς, τοὺς ἁγίους μὴ δώῃς πανύμνητε.

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ὁ συντρίβων πολέμους, παντοκρατορικῇ σου Λόγε Θεοῦ δεξιᾷ, διὰ τῆς Θεοτόκου, παλάμῃ κραταιᾷ σου, τοὺς βραχίονας σύντριψον, πολεμικῶς καθ᾽ ἡμῶν, τοὺς ἀνατεινομένους.

Ῥάβδος Ἀαρωνῖτις, σὲ τὴν ἔντιμον ῥάβδον ἐδήλου Δέσποινα, διό σου θείᾳ ῥάβδῳ, ἀπέλασον τοὺς λύκους, καὶ ἡμᾶς παρακάλεσον, τῇ βακτηρίᾳ τῆς σῆς, θεογεννῆτορ σκέπης.

Ἡ σὴ Πόλις βοᾷ σοι, ἐὰν σὺ μὴ φυλάξῃς πόλιν ὡς ψάλλει Δαβίδ, εἰς μάτην ὁ φυλάσσων ἠγρύπνησε, διό με, διαφύλαξον Δέσποινα, ὑπὸ τὴν σκέπην σου νῦν, τῶν ἱερῶν πτερύγων.

Ὑπερήφανον γένος, διακένῳ φρυάγματι βρενθυόμενον, φυσώμενον ἀνοίᾳ, γαυρούμενον ἰσχύϊ, καθ᾽ ἡμῶν ἐπεστράτευσεν, ἡμεῖς σὲ στρατηγόν, ἔχομεν Θεοτόκε.

Μυριώνυμε Κόρη, ἡ γεννήσασα Λόγον τὸν ἀνυμνούμενον, μυρίαις μυριάσι δυνάμεων ἀΰλων, τὴν μυρίανδρον φάλαγγα, τῶν κυκλωσάντων ἡμᾶς, κατάβαλε βαρβάρων.

**Ὠδὴ η΄. Ὁ στεγάζων ἐν ὕδασι.**

Νικητὴν διαβόητον, τροπαιοφόρον λαμπρὸν διὰ τοῦ Σταυροῦ σου, ὁ ἀναδείξας Ἰησοῦ Βασιλεῦ, τὸν ἰσαπόστολον, καὶ ἀοίδημον μέγαν Κωνσταντῖνον, δεῖξον τροπαιοῦχον καὶ τὸν Βασιλέα ἡμῶν διὰ τῆς Θεοτόκου.

Ὡς ἀσπίδα καὶ θώρακα, καὶ θυρεὸν ἀσφαλῆ περιβεβλημένη τὴν σὴν ἐλπίδα καὶ ἀντίληψιν, ἄτρωτος Δέσποινα, καὶ ἀχείρωτος, ἡ σὴ Πόλις διαμείνοι, μᾶλλον δὲ σκυλεύσοι καὶ κατατροπώσοι τοὺς ὑπεναντίους.

Διασκόρπισον Δέσποινα, τὰ τοὺς πολέμους ἀεί, μιαιφόνῳ γνώμῃ, θέλοντα ἔθνη, καὶ ἀνθρώπων σφαγαῖς ἐπιτερπόμενα, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, ἐξελοῦ καὶ ῥῦσαι, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων τὸν λαόν σου.

Ἀπὸ πάσης ἁλώσεως, ἀπαγωγῆς προνομῆς ἐθνικῆς ἐφόδου, καταδρομῆς τε, ἀλλοφύλου στρατοῦ, ῥῦσαι τὴν Πόλιν σου, Πόλις ἔμψυχε τοῦ Θεοῦ τοῦ ζῶντος τὴν ἐγκαυχωμένην τῷ ὀνόματί σου καὶ ἐναμβρυνομένην.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

'Ωδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Ἰσχὺν καὶ δυναστείαν δεῖξον τὴν σήν, καὶ τὴν ἄμαχον χεῖρά σου ἔπαρον, ἐπὶ ἐχθρῶν, ὑπερηφανείας Μῆτερ Θεοῦ, ὅσα ἐπονηρεύσαντο, καὶ ἐνεκαυχήσαντο καθ' ἡμῶν, τοῦ σοῦ λαοῦ καὶ κλήρου, ἀπόδος εἰς τὸν κόλπον, αὐτῶν αὐτοῖς ἑπταπλασίονα.

Ὦ Δέσποινα ἡ πάντων ἡμῶν ἐλπίς, μὴ σιγήσῃς μὴ καταπραΰνῃς δέ, ὅτι ἰδοὺ ἦραν οἱ μισοῦντές σε κεφαλήν, καὶ οἱ ἐχθροί σου ἤχησαν κατεπανουργεύσαντό τε βουλήν, κατὰ τῶν σῶν ἁγίων, ὥστε ἐξολοθρεῦσαι, αὐτῶν ἐξ ἔθνους τὸ ἀνάστημα.

Ἀλλόφυλοι πολλοὶ ἐπὶ τὸ αὐτό, κατὰ σοῦ διαθήκην διέθεντο, εἶπον καὶ γάρ, τὴν κληρονομίαν σου κατασχεῖν, καὶ τὸ ἁγιαστήριόν σου, κληρονομῆσαι Μῆτερ Θεοῦ, διὸ τὴν σὴν μερίδα μὴ πρόες πολεμίους, κἂν ἡμεῖς ἄξιοι παιδεύσεως.

Νῦν δεῖξον εἰς ἡμᾶς τοὺς ἁμαρτωλούς, τὰ ἀρχαῖα ἐλέη σου Δέσποινα, ὅσα ἡμεῖς ἔγνωμεν ἀκούσαντες ψαλμικῶς, οἱ δὲ ἡμῶν προπάτορες, εἶδον διηγήσαντό τε ἡμῖν, ὡς ἂν τὰ μεγαλεῖα, καὶ τὰ θαυμάσιά σου, καὶ ἡμεῖς ἄλλοις διηγώμεθα.

Νυκτός τε καὶ ἡμέρας Μῆτερ Θεοῦ, τὸ σὸν ὄνομα ἐπιβοώμεθα, σὺ γὰρ ἡμῶν, ὑπερασπιστὴς ἐν τοῖς πειρασμοῖς, προπολεμοῦσα πάντοτε, κατατροπουμένη τοὺς καθ' ἡμῶν, διὸ μὴ ἐπιλάθῃ, φωνῆς τῶν οἰκετῶν σου, ἀλλ' εἰς τὸ σῶσαι ἡμᾶς πρόφθασον.

Οὐχ ὅπλοις ἀγχεμάχοις πολεμικοῖς, οὐ ῥομφαίᾳ καὶ τόξῳ καὶ δόρατι, οὐ δὲ τειχῶν Δέσποινα θαρροῦμεν περιβολῇ, ἀλλ' ἐπὶ σοὶ πεποίθαμεν· σὺ γὰρ ἡμῶν τεῖχος καὶ θυρεός, καὶ ὅπλα καὶ ῥομφαία, ὡς χόρτον καὶ καλάμην, ἐχθρῶν τὰς φάλαγγας θερίζουσαι.

Ὑπέραγνε Παρθένε Μῆτερ Θεοῦ, ὃν ἐκτήσω λαὸν περιούσιον, καὶ ἐκλεκτόν, ἔθνος καὶ μερίδα ἀγαπητήν, κληρονομίας σχοίνισμα, ὅρος ἁγιάσματος ἱερόν, καὶ κατοικητηρίου, ἐξαίρετόν σου Πόλιν, ἕως αἰῶνος τήρει ἄτρωτον.



Ἐκ τοῦ Κώδικος Ι 77 φύλ. 316

## ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

Εἰς τὸν τίμιον Πρόδρομον, ψαλλόμενος ἐπὶ ἀσθενοῦντα, ἐξαίρετος· οὗ ἡ ἀκροστιχίς αὕτη.

Βαπτιστὰ Χριστοῦ παῦσον ἡμῶν τοὺς πόνους, Ἰωάννου.

Ποίημα Ἰωάννου μοναχοῦ τοῦ Μαυρόποδος καὶ εἶτα Ἀρχιεπισκόπου Εὐχαΐτων.

'Ωδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Βαπτιζομένους νοσημάτων κλύδωνι, καὶ τρικυμίᾳ παθῶν, καὶ πρὸς βυθὸν ᾅδου, καὶ θανάτου χάρυβδιν, ὦ Βαπτιστὰ τοὺς δούλους σου, φερομένους εὐχῶν σου, τῷ πηδαλίῳ κυβέρνησον, πρὸς ὑγείας ὅρμον ἀκύμονα.

Ἀμνὸν Θεοῦ τὴν ἁμαρτίαν αἴροντα, παντὸς τοῦ κόσμου Χριστόν, τὸν τὰς ἡμῶν νόσους, συμπαθῶς βαστάσαντα, τὸν ἅπασαν ἰώμενον, μαλακίαν καὶ νόσον, βαπτίσας τίμιε Πρόδρομε, ἴασαι νοσοῦντα τὸν δοῦλόν σου.

Πόθου θερμοῦ καὶ διαπύρου πίστεως, δεικνύων σύμβολον, τῶν λογισμῶν πᾶσαν, διψυχίαν ἄπιστον, μακρὰν ἐκτιναξάμενος, ἐν στερρᾷ πεποιθήσει, πρὸς τὴν ἀντίληψιν Πρόδρομε, σοῦ καταφυγών, σωτηρίαν αἰτῶ.

Τῆς εὐσπλαγχνίας τὴν μεγάλην ἄβυσσον, τῶν οἰκτιρμῶν τὴν πηγήν, σωματικῶς λούσας, Ἰορδάνου νάμασιν, ὡς νάματα ἰάματα, βλῦσόν μοι θεοκῆρυξ, τῶν ὀδυνῶν μου τὰ κύματα, καὶ τὴν καταιγίδα κοιμίζοντα.

Θεοτοκίον.

Ἴασαι Κόρη τὰς πικρὰς ὀδύνας μου, αἵ με συνέχουσι νῦν, ἡ τὸν Θεὸν Λόγον, ἀνωδίνως τέξασα, καὶ πάσης διαλύσασα, τὰς ὠδῖνας τῆς Εὔας, καὶ τὰ ἀνίατα τραύματα, τοῦ Ἀδὰμ ἁγνὴ ἰατρεύσασα.

'Ωδὴ γ'. Οὐρανίας ἁψῖδος

Σβέσον ἔμφυτον φλόγα, πυρκαϊὰν ἔνοικον, διαβοσκομένην τὰ σπλάγχνα καὶ τὴν καρδίαν μου, καὶ ὑποσμύχουσαν, τὰς τῶν ὀστῶν ἁρμονίας, ταῖς ῥανίσι Πρόδρομε τῆς εὐσπλαγχνίας σου.

Τῶν παθῶν τὸ χωρίον, τὴν τῶν κακῶν θάλασσαν, τοῦτον τὸν πολύδακρυν βίον, καὶ πολυστένακτον, ἀνταλλαξάμενος, τοῦ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς τρυφῆς Παραδείσου, ὡς ἀγνώμων μάστιξι νόσων ἐτάζομαι.

Ἀναφθέντες οἱ πρῶτοι, καὶ σαρκικοὶ ἄνθρακες, ἄνθρακας δευτέρους πυρφόρους, ἐρημικοὺς ψαλμικῶς, διακαῶν πυρετῶν, προσεπανῆψάν μοι μάκαρ, οὓς ἐρήμου βλάστημα, Προφῆτα μάρανον.

Χαρμονῆς παγκοσμίου, χαροποιὲ Πρόδρομε, στρέψον εἰς χαρὰν τοῦ σοῦ δούλου τὸν κοπετὸν τὸν βαρύν, καὶ περιζώσας με, ὑγιεινὴν εὐφροσύνην, τὸν τῆς ἀσθενείας μου σάκκον διάρρηξον.

**Θεοτοκίον.**

Ῥεῖθρον ἀθανασίας, ὕδωρ λαλοῦν ἄϋλον, ζῶν τε καὶ ἀλλόμενον ὄντως καὶ ἐνυπόστατον, βλύσασα Δέσποινα, τὸ ἐνυπόστατον ὕδωρ, τῶν ἐμῶν κατεύνασον πολυωδύνων παθῶν.

**Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.**

Ἰατρική, πεῖρα καὶ τέχνη καὶ μέθοδος, συνδραμοῦσαι ἐπ' ἐμοὶ ἠλέγχθησαν, σπουδὴ ματαία κενὴ τριβή, μείζων γὰρ ἡ νόσος, τῆς τῶν φαρμάκων δυνάμεως, διὸ ἐν γεννητοῖς σε γυναικῶν μείζων πάντων, εὖ εἰδὼς σοὶ προσέδραμον Πρόδρομε.

Σοῦ τῇ χειρί, καὶ τῇ παλάμῃ πανεύφημε, τὸν κρατοῦντα, τῆς ζωῆς παλάμῃ Χριστόν, οὗ ἐν χειρὶ πάντων ἡ πνοή, ὡς χειροθετήσας, χάριν ἰάσεων εἴληφας, διό μου τὰς ὀδύνας, ἀνωδύνῳ καυτῆρι, ἀναφεῖ χειρουργίᾳ θεράπευσον.

Ταῖς ἀρεταῖς, ὑπερβαλὼν πάντα ἄνθρωπον, καὶ τὸ σῶμα τὸ τῆς ταπεινώσεως, ὡς ἀληθῶς ὑπεραναβάς, ὅμως οἶδας τούτου, τὴν συγγενῆ πολυπάθειαν, ὑπόκειται γὰρ νόσων, ἀμετρήτων ἰδέαις, ὧν με νῦν ἐλευθέρωσον ἅγιε.

Ὁ πυρετός, ὑποτυφόμενος λαύρας ἐντός, τὴν νοτίδα, πᾶσαν ἀπηθάλωσε, καὶ τὴν ἰκμάδα τὴν ζωτικήν, ὅλον ὠπτημένον, ἠνθρακωμένον με, δείξας δαυλόν, ἐπίσταξόν μοι δρόσον, εὐσπλαγχνίας Προφῆτα, ἔσται γάρ μοι ἡ σὴ δρόσος ἴαμα.

**Θεοτοκίον.**

Ὑπὸ πολλῆς, σοῦ συμπαθείας Πανάμωμε, ἄνοιξόν με θύραν τοῦ ἐλέους σου, καὶ χεῖρα ὄρεξον βοηθόν, ὅτι τοῦ θανάτου πύλας ἰδοὺ προσεπέλασα, καὶ ἤγγισε τῷ ᾅδῃ ψαλμικῶς ἡ ζωή μου, ἀλλὰ σῶσόν με σὺ καὶ σωθήσομαι.



**Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.**

Παλαιᾶς ἀπὸ ῥίζης, στέλεχος ἀνέδραμες νέον τῆς χάριτος, Παλαιᾶς καὶ Νέας Διαθήκης μεσίτης γενόμενος, πολλοῖς σὺν δεινοῖς με, καὶ ἀλγεινοῖς παλαιωθέντα, νεοποίησον χάριτι Πρόδρομε.

Ἀσελγαίνων ἀθέσμως, καὶ τῶν ἡδονῶν τῷ βορβόρῳ φυρόμενος, νῦν ἐπικαρπίας, καὶ ἐπίχειρα τρυγῶ καὶ δρέπομαι, τῶν ἐμῶν καμάτων, πόνους Χριστὲ τετρυχομένος, ὧν με λύτρωσαι διὰ τοῦ σοῦ Βαπτιστοῦ.

Ὑπομένων ἐν θλίψει, Σῶτερ ὑπομένω σε τὸν ἀμνησίκακον, ἀλλ' εἰσάκουσόν μου, τῆς δεήσεως ταύτης καὶ πρόσχες μοι, συμπαθῶς καὶ ῥῦσαι, τῆς πιεζούσης με ὀδύνης, ταῖς λιταῖς τοῦ σοῦ φίλου καμπτόμενος.

Σφοδρῷ ῥίγει κροτοῦντες, καὶ συντεριγότες καὶ προσαλασσόμενοι, τῇ τοῦ κρύους βίᾳ, οἱ ὀδόντες μου, καὶ συγκλονούμενον, τῶν ὀστῶν τὸ πῆγμα, φρικώδη ψόφον ἐκτελοῦσιν, ὃν περ στήσαις πρεσβείαις σου Πρόδρομε.

**Θεοτοκίον**

Ὁ βρυγμὸς τῶν ὀδόντων, καὶ ὁ κρυσταλλώδης ἀθέρμαντος, τάρταρος, πρὸ τῆς καταδίκης, τῆς ἐκεῖ βασανίζει με Δέσποινα, ἀλλὰ λῦσον τούτου, τὸν παγετὸν θέρμῃ ῥοπῆς σου, καὶ ῥιγῶντά με θάλψον τῇ σκέπῃ σου.

**Ὠδὴ ϛ'. Τὴν δέησιν ἐκχεῶ.**

Νυττόμενος, ἀλγηδόσιν ὀξείαις, σπαραττόμενος ὀδύναις δριμείαις, καὶ ἀναγκῶν, στροβουσῶν τὴν καρδίαν, πεπυρωμέναις βολίσι βαλλόμενος, τὴν σὴν χάριν εὕροιμι σοφέ, μαλακὸν ἀκεσώδυνον φάρμακον.

Ἠσθένησεν, ἡ ἰσχὺς τοῦ σώματος, ὡς γὰρ ὄστρακον σαφῶς ἐξηράνθη, καὶ ἰδοὺ νῦν, ἡ ζωή μου ἐκλείπει, ὡς εἰς ἀέρα καπνὸς σκεδαννύμενος, ἡ πίστις δέ μου καὶ ἐλπίς, ἰσχυρὰ καὶ βεβαία πρὸς σὲ Βαπτιστά.

Μὴ φέρων, τὸν ἐμπρησμὸν τὸν ἄσβεστον, ὑποτύφοντα νυκτὸς καὶ ἡμέρας, λάβρῳ πυρί, τῶν ἐγκάτων τὴν θέσιν, ἐπὶ τὴν σὴν καταφεύγω ἀντίληψιν, γενοῦ μοι Πρόδρομε Χριστοῦ, δροσοβόλος πνοὴ ἀναψύχουσα.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὡς ἄψυχος, καὶ ἀναίσθητος φόρτος, ἐπὶ σκίμποδος ἀκίνητος μένω, μόνη πνοῇ τῆς φερούσης με κλίνης, διεστηκὼς καὶ βραχὺ ζωῆς λείψανον, πλουτῶν τὴν ἐλπίδα τὴν εἰς σέ, τὸν ἐμὸν ἀντιλήπτορα Πρόδρομε.

Νοσήσασα, καὶ ἐξασθενήσασα πολλοῖς, πάθεσιν ἀνθρώπων ἡ φύσις, ἐν σοὶ σεμνή, τὴν ἀρχαίαν ὑγείαν, καὶ εὐεξίαν τὴν πρώτην ἀπείληφε, διό με νοσοῦντα καθαρᾶς, ὑγείας ἀξίωσον Δέσποινα.

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Τῆς ἐξόδου δειλία, καὶ θανάτου με φόβος περιεκύκλωσεν, ἐκάλυψέ με σκότος, ἐπέπεσέ με τρόμος, ᾅδου κίνδυνοι εὕροσαν, προέφθασάν με πικραί, τῆς τελευτῆς παγίδες.

Οἷα πεπεδημένος, σιδηραῖς χειροπέδαις, ὦ Βαπτιστὰ τοῦ Χριστοῦ, ὑφοῦ τὰς χεῖρας ἆραι, εἰς γῆν τὸ γόνυ κλῖναι καὶ προσᾶξαί σοι δέησιν, ἀδυνατῶ παντελῶς, ταριχευθεὶς τῇ νόσῳ.

Ὕλης ὄντες ῥεούσης, χαλεπαῖς ἀσθενείαις, πυκναῖς παλαίομεν, ὁ πρὶν ἠλαττωμένος, βραχύ τι παρ᾽ ἀγγέλοις, νῦν δὲ ἄϋλος ἄγγελος, κάμνοντας σῶσον ἡμᾶς, ἐξ ἀταξίας ὕλης.

Σὺ φωνὴ Θεοῦ Λόγου, διακόπτοντος φλόγα πυρός, ὡς ψάλλει Δαυΐδ, διὸ φωνῇ σου μάκαρ διάκοψον τὴν φλόγα, τοῦ πυρὸς τοῦ συντήκοντος, οἷα κηρὸν εὐτελῆ, σαρκός μου τὴν οὐσίαν.

**Θεοτοκίον.**

Πολυώδυνα πάθη, ἀνωδίνῳ σου τόκῳ ἔλυσας Δέσποινα, διὸ διάλυσόν μου, τοὺς πόνους τὰς ὀδύνας καὶ τὸ βάρος ἐλάφρυνον, τὸ τὰ ὀστά μου συνθλῶν, τοῦ πικροτάτου ῥίγους.

**Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.**

Ὁ προσδραμὼν τῆς χάριτος, ὄμβρησόν μοι τὴν χάριν σου, ἐξ ὑπερφυοῦς καὶ οὐρανίας ἄντυγος, αὐτὴν γὰρ πεπλούτηκας, κληρονομίας σχοίνισμα, μετὰ τῶν ἀγγέλων ἰσαγγέλως βιώσας· διὸ πυριφρυγεῖ με, μαρασμῷ συμφρυγέντα, ἀνάψυξον ῥανίσι, τῆς σῆς φιλανθρωπίας.

Νέφει καὶ γνόθῳ μέλανι, συμφορῶν καλυπτόμενος, καὶ νυκτὶ βαθείᾳ, δυσχερῶν κυκλούμενος, φωτίσαι καὶ λῦσαί μου, τὸ



σκυθρωπὸν ὁμοῦ καὶ στυγνόν, αἴγλῃ φεγγοβόλῳ, σελασφόρων εὐχῶν σου, αἰτοῦμαί σοι Προφῆτα, τοῦ ἡλίου τῆς δόξης, τὸν Πρόδρομον ἀστέρα, τὸν ἄδυτον φωστῆρα.

Ὁ πρὸ ταφῆς καὶ μνήματος, καὶ θανῆς καὶ νεκρότητος, ἔμψυχος νεκρὸς καί ἡμιθνὴς δεικνύμενος, κἀμοὶ γὰρ ὡς γέγραπται, τύμβος ἡ κλίνη γέγονε, παραλελυμένῳ κατακλίσει χρονίᾳ, προσπίπτω σοι Προφῆτα, ὡς γὰρ γνήσιος φίλος, Χριστοῦ τοῦ πάντων Κτίστου, συσφίξαι δύνασαί με.

Ὕλη καὶ πρῶτον αἴτιον, τοῦ νοσεῖν με τῷ σώματι, ψυχῆς ἀρρωστούσης, νοσερὰ διάθεσις, νοσεῖ γὰρ ἑκάστοτε, διὰ πληθώραν αὐτὴ παθῶν, ἣν περ ὡς χυμὸν διεφθορότα κενώσας, φαρμάκοις μετανοίας, μετανοίας ὁ κῆρυξ, διπλῆν τὴν εὐεξίαν, παράσχου μοι τρισμάκαρ.

Σοῦ ζωγραφοῦσα Δέσποινα, τὴν νηδὺν τὴν ἀκήρατον, ἡ χαλδαϊκὴ βαβυλωνία κάμινος, τοὺς Παῖδας ἀνέψυξε, μέσον πυρὸς χορεύοντας, πρὶν αὔρα μαλακή, λεπτῇ πνοῇ δροσοβόλῳ, διὸ λειποψυχοῦσαν, πυρετῶν ἐν καμίνῳ, Παρθένε τὴν ψυχήν μου, ἀνάψυξον σῇ δρόσῳ.

**Ὠδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοή.**

Ἴαμα ὡς ἀπὸ πηγῆς, σωτηρίου τῆς παλάμης σου βλύσον μοι, δι᾽ ἧς τὴν ἄβυσσον, τῆς εὐσπλαγχνίας ἐχειροθέτησας, τῆς ἀκηράτου κορυφῆς, ἁψάμενος Πρόδρομε, οὗ ὡς ὁ ψάλλων φησίν· ἁπτομένου τῶν ὀρέων καὶ καπνίζονται.

Ὡς μάννα γλυκερὰ σταγών, καὶ ὡς δρόσος Ἀερμὼν παναοίδιμε, ἡ καταβαίνουσα, ἐπὶ τὰ ὄρη Σιὼν ὡς γέγραπται, τῆς ἀντιλήψεως τῆς σῆς· ἡ δρόσος σταλάξειεν ἐν τῇ καρδίᾳ μου, τὸν φλογμὸν τὸν ἐν αὐτῇ καταψύχουσα.

Ἄνωθεν ἐπικαταπτάς, συγκατέβη τοῖς παισὶ θεῖος Ἄγγελος, πρὶν εἰς τὴν κάμινον, τὴν καιομένην καὶ ἐξετίναξε, τὴν φλόγα ταύτης σὺ δὲ νῦν, ἐμοὶ συγκατάβηθι, μάκαρ τῷ δούλῳ σου, πυρετῶν διακαῶν εἰς τὴν κάμινον.

Νόσοι με τρύχουσι σφοδραί, καὶ συνέχουσί με πόνοι βαρύτατοι, καὶ ἀναγκῶν χαλεπῶν, πικραὶ ὀδύναι διαμερίζονται· φαρμάκοις οὖν ὑγιεινοῖς, τῆς σκέπης σου Πρόδρομε, καὶ ἐπιθέμασιν, ἁπαλοῖς καὶ μαλακοῖς με ὑγίωσον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Νάουσαν πέτραν καὶ πηγήν, ἀναβλύζουσαν ὡς νάματα θαύματα, τῶν οἰκτιρμῶν ἡ πηγή, τῆς εὐσπλαγχνίας τὸ μέγα πέλαγος, Χριστὸς ἡ πέτρα τῆς ζωῆς, ἔδειξέ σε Πρόδρομε, διὸ ἰάσεως, ῥεῖθρα βλύσον μοι τακέντι νοσήμασιν.

Ὀνείρου δίκην καὶ σκιᾶς, αἱ ἡμέραι τῆς ζωῆς μου παρέδραμον, καὶ νῦν προσήγγισα, θανάτου πύλαις καὶ ᾅδου χάσματι, ὁ τοῖς ἐν ᾅδου τὴν ζωὴν εὐαγγελισάμενος, θανατηφόρον με, ῥῦσαι νόσου καὶ ζωήν μοι πρυτάνευσον.

**Θεοτοκίον.**

Ὑπνώσας Σῶτερ ἐν Σταυρῷ, τοὺς ὑπνοῦντας ἐν τοῖς τάφοις ἐξύπνησας διό με κείμενον, νῦν ἐπὶ κλίνης ὀδύνης ἔγειρον, ζωαρχικῇ σου δεξιᾷ, μήποτε εἰς θάνατον ὑπνώσω Δέσποτα, τῆς ἀχράντου σου Μητρὸς ταῖς δεήσεσιν.

---



# Βιβλία

Εὑρισκόμενα παρὰ τῷ ἐκδότῃ κ. Σωτ. Σχοινᾷ ἐν Βόλῳ, Κοραῆ 47 καὶ ἀποστελλόμενα **ἐλεύθερα ταχυδρομικῶν τελῶν.**

**Θέατρον Πολιτικὸν** ὑπὸ Ν. Μαυροκορδάτου, σελ. περίπου 700 καὶ ἐπὶ ἐκλεκτοῦ χάρτου ἄδετον Δραχ. 75.—
πανόδετον » 100.—
δερμάτινον » 125.—

(Τὸ ἔργον τοῦτο συνιστῶμεν ἰδιαιτέρως)

**Ἐγκόλπιον Χριστιανοῦ** ὑπὸ Πλ. Στωϊκίδου, ἑρμηνεῦον ἅπαντα τὰ κατὰ τὴν ἱερὰν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, Ὄρθρου καὶ Λειτουργίας τελούμενα καὶ πολλὰ ἄλλα » 15.—

**Συμβουλευτικὸν ἐγχειρίδιον** ὑπὸ Νικοδήμου Ἁγιορείτου ἄδετον » 50.—
πανόδετον » 70.—

**Ἱστορία Βαρλαὰμ καὶ Ἰωάσαφ** ὑπὸ Ἰωάν. Δαμασκηνοῦ ἄδετον » 40.—
πανόδετον » 60.—

**Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς** ὑπὸ Φιλοθέου Ζερβάκου ἀρχιμανδρίτου » 15.—

**Ἀκολουθία τοῦ Ἁγίου Γερασίμου** τοῦ ἐκ Λεονταρίου τῆς Πελοποννήσου καταγομένου καὶ ἐν τῇ Ἱ. Μονῇ Σουρβιᾶς τῆς Δημητριάδος ἀσκήσαντος » 10.—

**Ἱστορικὴ μελέτη τῆς Ι. Μονῆς Ἁγίου Παντελεήμονος** ὑπὸ Δανιὴλ μοναχοῦ » 10.—

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ἐκκλησιαστικοὶ Νόμοι.** Βιβλίον περιέχον ὅλους τοὺς Ἐκκλησ. Νόμους καὶ διατάγματα ἀπὸ τοῦ 1923—1935 ὑπὸ Κ. Γαρουφαλιᾶ, χρησιμώτατον δι' ὅλους τοὺς Ἐκκλησ. ὀργανισμοὺς καὶ Ἐκκλ. Συμβούλια » 45.—

**Ἑρμηνεία.** τῶν 14 ἐπιστολῶν καὶ τῶν 7 Καθολικῶν τοῦ Ἀποστ. Παύλου ὑπὸ Θ. Ζωγράφου τόμοι 11 ἄδετον » 250.—
δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 400.—

**Κυριακοδρόμιον Εὐαγγελίων, Ἀποστόλων μετὰ Ἑορτοδρομίου** τοῦ αὐτοῦ· τόμοι 3 » 150.—
Δεδεμένα εἰς 3 τόμους μὲ δέρμα » 300.—

**Ἡ Ἐκκλησία καὶ ἡ ἀναγκαιότης τοῦ τακτικοῦ ἐκκλησιασμοῦ,** Ν. Π. Γιαννίου, ἔργον πρωτότυπον » 28.—

**Ἡ Εὐτυχία ἐν τῇ ἀρετῇ.** ὑπὸ Στεφάνου Παπαδημητρίου » 25.—

**Ἡ πορεία τοῦ Χριστιανοῦ ἀποδημητοῦ,** Ι. Βουνιάνου » 25.—

**Ἡ πορεία τῆς Χριστιανῆς ἀποδημητρίας** » 20.—

**Ἡ ὀρφανὴ ἀπὸ τὸ Λόουντ:** Τὸ περίφημον δραματικὸν ἔργον τῆς γερμανίδος συγγραφέως Καρλόττας Pfeiffer, μεταφρασμένον μὲ πολλὴν εὐσυνειδησίαν. Βιβλίον ἐξόχως διδακτικὸν καὶ ἀριστούργημα ἀπὸ λογοτεχνικῆς ἀπόψεως. » 15.—
δεδεμένον » 25.—

| | | |
|---|---|---|
| **Μαργαρῖται Χρυσοστόμου** | ἄδετον | » 60.— |
| | πανόδετον | » 80.— |
| | δερμάτινον | » 105.— |
| **Ἀποστολικὴ Σαγήνη** | ἄδετον | » 65.— |
| | πανόδετον | » 85.— |
| | δερμάτινον | » 110.— |
| **Ἀσκητικὰ Ἐφραὶμ τοῦ Σύρου** | ἄδετον | » 75.— |
| | πανόδετον | » 95.— |
| | δερμάτινον | » 120.— |

Ὅλα τὰ βιβλία τῆς Βυζαντινῆς μουσικῆς καὶ πολλὰ ἄλλα θρησκευτικὰ βιβλία

Athos Library
Αγιορειτική Βιβλιοθήκη

"ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ,,
ΕΤΟΣ Α.΄ ΑΡΙΘ. 12

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΕΝΔΟΞΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ
# ΠΑΡΑΣΚΕΥΗΣ

Μετὰ λόγου ἐγκωμιαστικοῦ καὶ Παρακλητικοῦ Κανόνος εἰς αὐτήν, πρὸς δὲ Παρακλητικὸν Κανόνα εἰς τὸν ἅγιον Παντελεήμονα.

---

Ἀντιγραφεῖσα ἐξ ἀρχαίου Κώδικος τῆς ἐν τῷ ἁγίῳ Ὄρει Ἄθῳ Ἱερᾶς Μονῆς τῆς Μεγίστης Λαύρας ὑπὸ τοῦ μοναχοῦ

ΣΠΥΡΙΔΩΝΟΣ ΛΑΥΡΙΩΤΟΥ
ΙΑΤΡΟΥ

Νῦν τὸ πρῶτον τύποις ἐκδίδοται
ΥΠΟ
ΣΩΤΗΡΙΟΥ Ν. ΣΧΟΙΝΑ

ΑΥΓΟΥΣΤΟΣ 1937

1937
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀπογορεύεται αὐστηρῶς ἡ ἀνατύπωσις ἐκ τοῦ νόμου 2387

# Η ΑΝΩΤΕΡΑ ΙΕΡΑΡΧΙΑ

## ΣΤΕΦΟΥΣΑ ΤΟ ΕΡΓΟΝ ΤΗΣ "ΑΓΙΟΡΕΙΤΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ"

Ὁ Σεβασμιώτατος Μητροπολίτης Δημητριάδος, κ. κ. Ἰωακείμ, ὁ ἀκάματος ἐργάτης τοῦ Εὐαγγελίου καὶ γνήσιος Ποιμὴν τῶν λογικῶν τοῦ Χριστοῦ Προβάτων, ἐκοινοποίησε πρὸς τοὺς Χριστιανοὺς τῆς Ἱ. Μητροπόλεώς του τὴν κάτωθι ἐγκύκλιον:

Ἀριθ. 1870 — Ἐν Βόλῳ τῇ 10 Ἰουλίου 1937

**ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ**

**ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΔΗΜΗΤΡΙΑΔΟΣ**

**ΠΡΟΣ**

**Τοὺς Αἰδεσ. Ἐφημερίους, τὰς ἐνοριακὰς Ἐπιτροπείας καὶ λοιποὺς χριστιανούς, τῆς καθ' ἡμᾶς Ἱερᾶς Μητροπόλεως.**

Ὁ ἀπὸ πολλοῦ ἀσχολούμενος μὲ τὴν ἔκδοσιν διαφόρων θρησκευτικῶν καὶ Ἐκκλησιαστικῶν ἔργων ἐκδότης – τυπογράφος κ. Σωτ. Σχοινᾶς, προέβη ἀπό τινος εἰς τὴν ἔναρξιν ἐκδόσεως διαφόρων ἀνεκδότων Ἐκκλησιαστικῶν ἔργων καὶ ὑμνογραφιῶν εἰς μηνιαῖα τεύχη ὑπὸ τὸν τίτλον «Ἁγιορειτικὴ Βιβλιοθήκη». Ἐπειδὴ εἰς τὰ ἔργα ταῦτα περιέχονται πολλὰ τὰ καλὰ καὶ ὠφέλιμα διὰ τὴν ψυχικὴν σωτηρίαν τῶν ἀνθρώπων, διὰ τοῦτο συνιστῶμεν ταῦτα εἰς τοὺς χριστιανοὺς τῆς Μητροπόλεως ἡμῶν, διὰ τὴν ψυχικὴν αὐτῶν ὠφέλειαν ἰδίᾳ δὲ εἰς τοὺς ἱεροὺς Ναούς, αἰδεσ. ἱερεῖς καὶ τοὺς ἱεροψάλτας ὡς λίαν χρήσιμα διὰ τὴν πληρεστέραν γνῶσιν τῶν διαφόρων ἀνεκδότων ἱερῶν ἀκολουθιῶν τῶν ἁγίων μαρτύρων τῆς Ἐκκλησίας ἡμῶν.

Ἡ διεύθυνσις τοῦ περιοδικοῦ, λίαν συγκεκινημένη, ἀπευθύνει Αὐτῷ τὰ θερμὰ αὐτῆς εὐχαριστήρια.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΜΗΝΙ ΙΟΥΛΙΩ ΚΣΤ΄.

Μνήμην καὶ ἑορτὴν ἐπιτελοῦμεν τῆς ἁγίας καὶ ἐνδόξου Ὁσιομάρτυρος τοῦ Χριστοῦ Παρασκευῆς.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.**

Πολυώδυνα βάσανα, ὑποστᾶσα πανένδοξε, ἀνδρικῷ φρονήματι ηὐτομόλησας, καὶ τῶν ἑλλήνων σεβάσματα, ὡς κόνιν ἐλέπτυνας, τῷ γὰρ σθένει τοῦ σταυροῦ τὸν ἀντίπαλον ἔκτεινας, τὸν καυχώμενον, καὶ ἐφ᾽ ὕπερθεν ἄστρων θρόνον θεῖναι, πρὸ ποδῶν σου γὰρ ἐρράγη, ὥσπερ στρουθίον παιζόμενος. **δίς**

Τῆς πλακὸς τὴν βαρύτητα, καὶ πυρὸς τὴν κατάφλεξιν, θεϊκῇ προνοίᾳ ἄγγελος τάχιστα, τὴν μὲν ὡς φύλλον ἀνέδειξε, τὴν δὲ αὔραν ἔνδροσον, οἷα πάλαι τοῖς παισί, τοῦ τετάρτου ἡ ὅρασις μεθ᾽ ὧν ἔκραζες, σοῦ τὸ ἔλεος μέγα πανοικτίρμον, ὅθεν σέβω γηθομένη, σοῦ τὸ πανύμνητον ὄνομα.

Καθαρότητα σώματος, καὶ ψυχῆς τὴν λαμπρότητα, κτησαμένη πάντοτε, ὤφθης ἄμωμος, σὺ γὰρ νυμφίου ποθήσασα, κατ᾽ ἴχνος ἐβάδισας, νοητοῦ μύρου σεμνή, Παρασκευὴ καλλιπάρθενε, καὶ νῦν πρέσβευε, τὸν Σωτῆρα τῶν ὅλων λύσιν δοῦναι, ὀφλημάτων τοῖς ἐν πίστει, ἐπιτελοῦσι τὴν μνήμην σου.

Δόξα. Ἦχος πλ. β΄.

Ἀθλητικὴν ὁδεύσασα ὁδόν, παρανομούντων ἐξέφυγες βουλήν, Παρασκευὴ πανσεβάσμιε. Καὶ ὡς μὲν παρθένος φρονίμη, λαμπαδηφόρως εἰσῆλθες, εἰς τὰς αὐλὰς τοῦ Κυρίου σου· ὡς δὲ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Μάρτυς** ἀνδρεία, χάριν ἔλαβες, ἀπελαύνειν πᾶσαν νόσον ἐξ ἀνθρώπων, καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, ψυχικῶν ἀλγηδόνων, ἐλευθέρωσον· ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

**Καὶ νῦν.** Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή...

**Εἰς τὸν στίχον.** Στιχηρὰ προσόμοια

**Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.**

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου, χοροβατοῦσα σεμνή, ἅμα παρθένος **Μάρτυς** ταῖς φρονίμοις ἐκείναις, ἐκεῖθεν ἐκομίσω, χάριν σοφή, τοῦ ἰᾶσθαι νοσήματα, καὶ ἐκδιώκειν τὰ πνεύματα μυσαρά, ἐκ τῶν πίστει προσιόντων σοι.

**Στίχ. ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.**

Ῥήξασα κράτος τυράννων εἰδωλοθύτων σεμνή, καὶ πρὸς θεὸν τὰς βάσεις, ἀναθεῖσα Παρθένε, οὐδόλως ἐπτοήθης, οὔτε κρουσμόν, μολυβδίνων σφυρῶν οὔτε πῦρ, οὔτε ξεσμοὺς τῶν σαρκῶν σου οὔτε βρασμὸν τῶν λεβήτων, οὔτε ξίφους σφαγήν.

**Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.**

Ἀσκήσει πρώην τὸ σῶμα, τήξασα ἔνδοξε, τὸ δεύτερον ἀθλοῦσα, στομωθεῖσα τὴν φρένα, τοῖς πᾶσιν ἀνεδείχθης Μάρτυς Χριστοῦ, οὐρανοχάλκευτον φάσγανον, ὥσπερ χρυσὸς ἐν χωνείᾳ δοκιμασθέν, ταῖς αἰκίαις καλλιπάρθενε.

Δόξα. Ἦχος β'.

Ἱερὸν μνημόσυνον τῆς καλλιπαρθένου Παρασκευῆς, καὶ Μάρτυρος, ἡ οἰκουμένη σήμερον, λαμπρῶς πανηγυρίζει, καὶ πρὸς αὐτὴν ἐκβοᾷ, ὡς ἀπείληφας τὸ βραβεῖον, τῆς θαυμαστῆς καρτερίας σου, ὑπεράνω πάσης κολάσεως γεγενημένη. Οὕτω καὶ ὑπὲρ ἡμῶν, πρεσβεύων Χριστῷ, τῶν τὴν σὴν ἄθλησιν ἐν πίστει ἀνυμνούντων, τῶν αἰωνίων ἀγαθῶν ἀξιωθῆναι.

**Καὶ νῦν.**

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἀπολυτίκια τῆς ἁγίας. Ἦχος α'.

Τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον, ἐργασαμένη, φερώνυμε, τὴν ὁμώνυμόν σου πίστιν εἰς κατοικίαν κεκλήρωσαι, **Παρασκευὴ** ἀθλοφόρε, ὅθεν προχέεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ **τῶν** ψυχῶν ἡμῶν.



Ἕτερον. **Ἦχος δ'. Ταχὺ προκατάλαβε.**

Τοῖς ὄμβροις τῶν αἱμάτων σου, Παρασκευὴ τοῦ Χριστοῦ, ἐχθροῦ κατεπάτησας, πᾶσαν παράταξιν, τυράννους δὲ ᾔσχυνας, ἔφθασας τῶν ἀγγέλων, τὰς ἀΰλους χορείας, εἴληφας ἀφθαρσίας, τὸ ἀμάραντον στέφος· διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, σῷζε κινδύνων ἡμᾶς.

Ἕτερον. **Δόξα. Ἦχος γ'. Τὴν ὡραιότητα**

Ἡ θαυματόβρυτος εἰκὼν τῆς Μάρτυρος, προχέει ἅπασι, χύδην τῆς χάριτος καὶ ὁ πανσέβαστος ναός, πηγὰς ἰάσεων βρύει, ὅθεν μετὰ πίστεως θερμοτάτης προσέλθωμεν καὶ κατασπασώμεθα ἀθληφόρου ἐκτύπωμα, ἀπαλλαγὴν τῶν νόσων αἰτοῦντες, καὶ τῶν δεινῶν τὴν ἀπολύτρωσιν.

**Καὶ νῦν**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου, καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογοῦμεν τὸ α'. ἀντίφωνον τοῦ ψαλτηρίου, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς Ἁγίας.

**Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Μάρτυς ἀθληφόρε τοῦ Χριστοῦ, ἔστης πρὸ βημάτων ἀνδρείως, Χριστὸν κηρύττουσα, σταύρωσιν ἑκούσιον, καταδεξάμενον, καὶ δεσμοῖς ὁμιλήσασα, καὶ πάσαις αἰκίαις, χαίρουσα ἀνέδραμες, πρὸς τὰ οὐράνια. Δήμοις ἀπ' αἰώνων μαρτύρων, συνευφραινομένη καὶ δόξης, διαιωνιζούσης ἀπολαύουσα. δὶς

Λόγου τοῦ φανέντος ἐπὶ γῆς, νύμφη ἐκλεκτὴ ἀνεδείχθης, Παρασκευὴ ἀληθῶς, κάλλει διαλάμπουσα ἐνθέων πράξεων, καὶ τῆς θείας ἀθλήσεως, φαιδραῖς ἀγλαΐαις, ὅθεν τὸν οὐράνιον, θάλαμον ᾤκησας· ἔνθα ὡς παρθένος καὶ μάρτυς, πάντοτε χορεύουσα πάντων, τῶν μνημονευόντων σου μνημόνευε.

Ῥίζης εὐκλεοῦς Παρασκευή, κλάδος ὡραιότατος ὤφθης, καρπὸν σωτήριον, φέρων τῆς ἀθλήσεως τὰ κατορθώματα, καὶ μαραίνων ἐν χάριτι, φυτὰ ἀθεΐας· ὅθεν τὴν πανίερον μνήμην σου

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σέβομεν, πόθῳ μεγαλύνοντες ταύτην, καὶ τῶν νοσημάτων τὴν ῥῶσιν, ἐξ αὐτῆς ἀέναον λαμβάνοντες.

Ἕτερα στιχηρὰ προσόμια.

**Ἦχος ὁ αὐτός, Ποίοις Εὐφημιῶν.**

Ποίοις εὐφημιῶν ἄνθεσι, στεφανώσωμεν νῦν τὴν παρθένον, καὶ ὁσιομάρτυρα σήμερον, τὴν Παρασκευὴν τὴν πανένδοξον, τὴν ὑπὲρ Χριστοῦ ἀναιρεθεῖσαν, τὴν νύμφην, τοῦ βασιλέως καὶ Θεοῦ ἡμῶν, τὴν πάσῃ, τῇ οἰκουμένῃ διαλάμπουσαν, περιστερὰν τὴν ἁγίαν, ἥν περ εἰς παστάδα, προσεδέξατο οὐρανῶν, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος. δίς.

Ποίοις Παρασκευὴ ῥήμασι, σὲ τὴν ἄσπιλον Χριστοῦ ἀμνάδα, οἱ ῥερυπωμένοι τιμήσωμεν, οἱ τῶν σῶν χαρίτων στερούμενοι καὶ καλῶν ἁπάντων ἀποροῦντες, τὴν νύμφην, τοῦ βασιλέως τὴν πανθαύμαστον· τῇ αἴγλῃ, τῆς παρθενίας ἀπαστράπτουσαν, τῶν ἀθλοφόρων τὸ κλέος, τὴν καὶ ἐν ἀσκήσει, διαλάμψασαν τηλαυγῶς, καὶ παρέχουσαν τοῖς πιστοῖς, πταισμάτων τὴν συγχώρησιν.

Ποίοις πευματικοῖς ᾄσμασιν, εὐφημήσωμεν τὴν ἀθληφόρον, τὴν πεποικιλμένην ταῖς χάρισι, καὶ διηνθισμένην τῷ αἵματι, τοῦ ἐνδοξοτάτου μαρτυρίου, τῷ θρόνῳ, τοῦ Βασιλέως νῦν παρίσταται, πρεσβείαις ὑπὲρ ἡμῶν αὐτῷ προσφέρουσαν, τῶν μετὰ πόθου τελούντων, τὴν μνήμην αὐτῆς, ἐτησίως τὴν εὔσημον, τὴν πρόξενον τοῖς πιστοῖς, τῶν χαρισμάτων τοῦ Πνεύματος.

Δόξα **Ἦχος** πλ. β΄.

Παρθενομάρτυς ἀθληφόρε, Παρασκευὴ πανένδοξε, τοὺς τὴν ἄθλησιν τὴν σὴν ἀξίως ἐκτελοῦντας, αἴτησαι ῥυσθῆναι πειρασμῶν καὶ θλίψεων, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, καὶ τῆς μελλούσης τῶν ὑπευθύνων κατακρίσεως, μάρτυς πανᾀοίδιμε.

Καὶ νῦν. Θεοτοκίον· ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.



Εἴσοδος. Τὸ φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

**Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.**

Κεφ. ΜΓ 9. Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τὶς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τὶς ἀναγγελλεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ καὶ ἀκουσάτωσαν. Γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε ὅτι ἐγὼ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς ἐγὼ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς ὁ ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Κεφ. Γ΄. 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία, σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Παροιμιῶν τὸ ἀνάγνωσμα**

Κεφ. Γ΄. 11 Υἱέ, μὴ ὀλιγώρει, παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἀγαπῶσιν αὐτήν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστι. Μῆκος γὰρ βίου, καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. Ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαί, καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς μετ᾽ εἰρήνης· Ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ᾽ αὐτήν, ὡς ἐπὶ Κύριον ἀσφαλής.

Εἶτα ἡ συνήθης ἐκτενής· τὸ Καταξίωσον κτλ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ. Ἰδιόμελα. **Ἦχος α΄.**

Ὡς ἐν πέτρᾳ στερρᾷ τῆς ὁμολογίας Χριστοῦ προσερεισθεῖσα, ὁσιομάρτυς Παρασκευὴ πανεύφημε, τὸν παλαμναῖον ἐχθρὸν εἰς χάος ἐβύθισας, καὶ στέφος σὲ τῆς νίκης ἐπάξιον ἀπείληφας.

Ὁ αὐτός.

Μετὰ τῶν ἄνω ταγμάτων, συνηριθμήθης ἔνδοξε, κόσμον λιποῦσα, καὶ τὸν Χριστὸν ποθήσασα, Παρασκευὴ πάνσεμνε, αἰτοῦσα ἡμῖν παρ᾽ αὐτοῦ, τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Ἀγάλλονται σήμερον ἐν τῇ θείᾳ μνήμῃ σου, Παρασκευὴ πανένδοξε, τὰ ὑπερκόσμια τάγματα ἀπεδέξαντό σε, καὶ γὰρ οἱ μὲν Ἄγγελοι, τὴν ἐν ἁγνείᾳ ἰσάγγελον, οἱ μάρτυρες δὲ πάλιν, τὴν ἐν συνάθλοις ἀπαράμιλλον, καὶ οἱ τοῦ λόγου Ἀπόστολοι, τὴν ἰσαπόστολον καὶ Χριστοκήρυκα· ἡμεῖς δὲ πλουτοῦντες τῶν ἰαμάτων σε πηγήν, γηθοσύνως βοῶμεν· πρέσβευε Παρασκευὴ πανεύφημε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Ὡς ἀλάβαστρον μύρον τὸ αἷμά σου, προσενήνοχας τῷ σῷ νυμφίῳ Χριστῷ, ὁσιομάρτυς Παρασκευή, ἀθληφόρε ἀήττητε, ἀντάμειψιν δὲ εἴληφας, στέφος ἄφθαρτον, παρ᾽ αὐτοῦ ἀξιάγαστε, ὅθεν καὶ τὸν ἀρχέκακον ἐχθρόν, ὡραίοις σου ποσὶ κατεπάτησας, τῇ ἐπικλήσει τοῦ σωτηρίου ὀνόματος Χριστοῦ τοῦ Θεοῦ. Διὸ καὶ οὐρανίων θαλάμων ἠξιώθης, ὡς παρθένος καὶ ὁσιομάρτυς Χριστοῦ πολύαθλε.



**Ἦχος γ΄.**

Νεύσει θείᾳ, δεῦτε πάντα τῆς γῆς τὰ πέρατα, τὴν πανένδοξον καὶ χριστοκήρυκα Παρασκευήν, ὑμνῳδίαις εὐφημήσωμεν. Αὕτη γὰρ τὰ ὑπὲρ φύσιν ἀγωνίσματα τοῦ μαρτυρίου, ἀνδρείως ὑπομείνασα, προσήχθη τῷ Χριστῷ πεποικιλμένη ταῖς μάστιξι· ταύτῃ οὖν ἐκβοήσωμεν, χαίροις Παρασκευὴ μεγαλώνυμε· ἡ νύμφη τοῦ Παντάνακτος καὶ ὑπὲρ ἡμῶν τῶν τὴν σὴν παναγίαν ἄθλησιν, ἐν πίστει ἐκτελούντων πρέσβευε Χριστῷ τοῦ αἰωνίου πυρὸς ῥυσθῆναι.

**Ἦχος δ΄.**

Δοξάζομέν σου Χριστέ, τὴν πολλὴν εὐσπλαχνίαν, καὶ τὴν ἀγαθότητα, τὴν εἰς ἡμᾶς γενομένην, ὅτι καὶ γυναῖκες κατήργησαν, τὴν πλάνην τῆς εἰδωλομανίας, δυνάμει τοῦ σταυροῦ σου φιλάνθρωπε τυράννους οὐκ ἐπτοήθησαν, τὸν δόλιον κατεπάτησαν· ἴσχυσαν δὲ ὀπίσω σου ἐλθεῖν, εἰς ὀσμὴν μύρου σου ἔδραμον· πρεσβεύουσαι ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος πλ. α΄.**

Τῇ παρθενικῇ σου θελχθεὶς ὡραιότητι, ὁ Βασιλεὺς τῆς δόξης Χριστὸς, ὡς ἀμώμητον νύμφην ἑαυτῷ σε ἡρμόσατο, ἀκηράτῳ συναφείᾳ· ἐν γὰρ τῷ θελήματι αὐτοῦ, παρασχόμενος τῷ κάλλει σου δύναμιν, κατ᾽ ἐχθρῶν τε καὶ παθῶν ἀήττητον ἔδειξεν, ἐγκαρτερήσασαν αἰκίαις πικραῖς, καὶ βασάνοις δριμυτάτοις, διπλῷ τε στέφει δισσῶς σε κατέστεψε, καὶ παρέστησεν ἐκ δεξιῶν αὐτοῦ ὡς βασίλισσαν πεποικιλμένην. Αὐτὸν δυσώπησον, ὁσιομάρτυς Παρασκευὴ πανεύφημε, σοῖς ὑμνηταῖς δωρηθῆναι, σωτηρίαν καὶ ζωὴν καὶ μέγα ἔλεος.

Δόξα. **Ἦχος πλ. β΄.**

Δεῦτε πάντα τῆς γῆς τὰ πέρατα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν, καὶ τὴν Χριστοῦ παρθενομάρτυρα εὐφημήσωμεν λέγοντες. Χαίροις Παρασκευὴ ὁσία καὶ θεοτίμητε, χαίροις ἡ τῶν μαρτύρων κάλλος ὑποδεξαμένη· χαίροις τῶν μαρτύρων ἰσοστάσιε, καὶ τῶν ὁσίων ὁμόσκηνε, μεθ᾽ ὧν πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή...

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Στιχηρὰ Προσόμοια.

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν**

Χαίροις Παρασκευὴ ἡ σοφή, τῶν ἀθλοφόρων τὸ σεπτὸν ἐγκαλλώπισμα, τὸν τούτων γὰρ σχοῦσα ζῆλον, καὶ πίστιν τὴν ἄρραγῆ, ἀνδρικοὺς ἀγῶνας προσεχώρησας· λαμπρά τε παλαίσματα, καὶ λαμπρότερα τρόπαια, ἤγειρας ὄντως, κατ' ἐχθρῶν τῶν τῆς πίστεως, καὶ ἀλάστορος, τοῦ δεινοῦ πολεμήτορος· τούτους κατατροπώσασα, εἰς τέλος καὶ παίγνιον, δείξασα τούτους καὶ μόνον, τὸν σὸν Χριστὸν μεγαλύνουσα, αὐτὸν οὖν δυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθίσει.

Χαίροις Παρασκευὴ ἐκλεκτή, ἡ τῇ ἀθλήσει τῇ λαμπρᾷ σου προσάγουσα, πληθὺν τῷ Χριστῷ ὀλβία, τῶν ἀσεβῶν τοῖς φρικτοῖς τοῖς ἐν σοὶ σημείοις τε καὶ τέρασι, τὸ πῦρ μεταβάλλουσα, δροσισμὸν εἰς ἀνέκφραστον, καὶ λυμεῶνα τὸν δεινὸν θανατώσασα, τῷ σημείῳ τε τοῦ σταυροῦ καὶ τῇ χάριτι, ἅπασαν ἐκτεφρώσασα, ἐχθροῦ τὴν παράταξιν, τοὺς σπαραγμοὺς καὶ διττήν τε, ὑπενεγκοῦσα κατάφλεξιν· Χριστὸν δυσωποῦσα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.

Χαίροις Παρασκευὴ ἡ σοφή, τῶν δεομένων ἀσφαλὲς καταφύγιον, ἁπάντων τῶν ἐν ἀνάγκαις, παραμυθία τερπνή, καὶ ἡμῶν προστάτις ἀκαταίσχυντος, τὸ τεῖχος τὸ ἄρρηκτον, σκέπη πύργος ἀκράδαντος, τῶν κλονουμένων, καὶ θερμῶς προσιόντων σοι, τὸ ἀκένωτον, ἰαμάτων τὸ πέλαγος, ἅπαντας καταρδεύουσα, πηγὴ ἡ ἀείρρυτος, θαυμάτων μάρτυς καὶ κῆρυξ, ὡς τοῦ Χριστοῦ χρηματίσασα, ὃν νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Δεῦτε ἅπαντες φιλέορτοι, ἀθροίσθητε σήμερον, ἐπὶ τὴν θείαν καὶ σεπτὴν πανήγυριν, τὴν φαιδρὰν καὶ ἔνδοξον, καὶ χαρμοσύνως τιμήσωμεν, τὴν ἀθληφόρον μάρτυρα τοῦ Σωτῆρος Χριστοῦ, τὴν ἐν θαύμασι περιβόητον, Μάρτυσί τε καὶ Ἀποστόλοις συνόμιλον, τὴν ὑπὲρ Χριστοῦ νομίμως ἀθλήσασαν, Παρασκευὴν τὴν ἀποστολικῶς τῷ κόσμῳ κηρύξασαν, καὶ νῦν πρεσβεύει τῷ ἐλεήμονι Θεῷ, ὅπως ἔλεος γενήσηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.



**Καὶ νῦν. Θεοτοκίον.**

Ἀνύμφευτε Παρθένε ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Τό, νῦν ἀπολύεις. Τρισάγιον καὶ τὰ ἀπολυτίκια. (Ὅρα εἰς τὸν μικρὸν ἑσπερινόν).

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα.

**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Ὡς ἄμωμος ἀμνάς, καὶ ἁγνὴ τῷ Κυρίῳ, συνήφθης μυστικῶς, ἐν σεμνότητι βίου, τῷ κάλλει τῆς ἀθλήσεως, σεαυτὴν ὡραΐσασα, ὅθεν εἴληφας, τῶν ἰαμάτων τὴν χάριν, ἰατρεύουσα, τὰ ἀρρωστήματα πάντα, δυνάμει τοῦ Πνεύματος.

**Δόξα.**

Κατ' ἴχνεσι τοῦ σοῦ, ἐραστοῦ ἑπομένη, σεμνὴ Παρασκευή, τὸν ἐκείνου προθύμως, ἐζήλωσας γὰρ θάνατον, καὶ τὸ πάθος τὸ ἄχραντον· ὅθεν ἔτυχες, τῆς οὐρανίου παστάδος, στέφος ἄφθαρτον, περικειμένη ἀξίως, καὶ δόξαν ἀμάραντον.

**Καὶ νῦν θεοτοκίον.**

Παρθένε Μαριάμ, χρυσοπόρφυρε θρόνε, λαβὶς σεραφικὴ καὶ πυρίμορφον ἅρμα, νεφέλη ἀγλαόφωτε, θεοκόσμητον σκήνωμα, ἡ κοσμήσασα, τὴν ἀκοσμίαν τοῦ κόσμου, κατακόσμησον τὴν σὲ κοσμοῦσαν ἐν ὕμνοις, ψυχήν μου τὴν ἄκοσμον.

Μετὰ τὴν β΄. στιχολογίαν. Κάθισμα.

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς**

Τὸν ὡραιότατον Χριστὸν ἀγαπήσασα, καὶ δι' ἁγνείας τὴν ψυχὴν ὡραΐσασα, διὰ παντοίων πόνων τε καὶ θλίψεων, τούτῳ κατηγγύωσαι, ὥσπερ ἄμωμος νύμφη, ὅθεν σὲ ἠξίωσεν, οὐρανίων θαλάμων, Παρασκευὴ πρεσβεύουσα αὐτῷ, ὑπὲρ ἡμῶν τῶν τιμώντων τὴν μνήμην σου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Δόξα. Ὅμοιον.

Παρασκευὴ παρθενομάρτυς ὁσία, τοὺς προσιόντας εὐλαβῶς σῷ τεμένει, καὶ τὴν εἰκόνα πόθῳ προσκυνοῦντάς σου, ῥῦσαι πανακοίδιμε, τούτους πάσης ἀνάγκης, πάσης περιστάσεως καὶ κινδύνων παντοίων, καὶ οὐρανῶν ἀξίωσον τυχεῖν, τῆς βασιλείας μαρτύρων ἀγλάϊσμα.

### Καὶ νῦν. Θεοτοκίον

Τοῦ εὐχαρίστως ἀνυμνεῖν ἐκ καρδίας, καὶ ἐξαιτεῖσθαι ἐκτενῶς Θεοτόκε, τὰ σὰ ἐλέη Δέσποινα τοὺς δούλους του, κράζοντας καὶ λέγοντας, Παναγία Παρθένε, πρόφθασον καὶ λύτρωσαι ἐξ ἐχθρῶν ἀοράτων, καὶ ὁρατῶν καὶ πάσης ἀπειλῆς, σὺ γὰρ ὑπάρχεις ἡμῶν ἡ ἀντίληψις.

Μετὰ τὸν πολυέλαιον. Κάθισμα

### Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Παρασκευὴ μάρτυς Χριστοῦ, ἀνευφημοῦμέν σε πιστοί, ὅτι τὸν τύρρανον ἐχθρόν, θείᾳ δυνάμει τοῦ σταυροῦ, σοῦ τοῖς ποσὶ κατεπάτησας γενναιοφρόνως, καὶ γέγονας ἡμῖν, ἀνδρία πίστεως, πᾶσαν τοῦ ἐχθροῦ, πατοῦσα δύναμιν, καὶ οὐρανόθεν ἔλαβες τὸν στέφανον, τῇ κορυφῇ σου ἀοίδιμε, Χριστὸν δυσώπει, σωθῆναι πάντας, τοὺς τελοῦντας τὴν μνήμην σου.

### Δόξα.

Κατεπλάγη ἀληθῶς, ὁ δυσμενέστατος ἐχθρός, τὴν ἀνδρείαν θεωρῶν, καὶ καρτερίαν τὴν ἐν σοί, Παρασκευὴ ἰσαπόστολε ἀθληφόρε, σῶμά σου ἐκδοὺς εἰς κατάφλεξιν, δράκοντι δεινῷ, προσπαλαίσασα, καὶ ἀπωλείᾳ τοῦτον παραδοῦσα, ἔφερες πάντας εἰς ἔκπληξιν, λαμπρῶς βοῶντας· μεγάλ' ἡ πίστις, τοῦ Χριστοῦ καὶ ἡ δύναμις.

### Καὶ νῦν θεοτοκίον.

Ἡ Παρθένος Μαριάμ, καὶ Θεοτόκος ἀληθῶς, τὰς οὐρανίους στρατιάς, φωτάγωγοῦσα θαυμαστῶς, αὐγαζομένη τῷ κάλλει τῷ ἀπροσίτῳ, λυτροῦται καὶ ἡμᾶς, τῶν ψυχοφθόρων παθῶν, καὶ πάντων τῶν δεινῶν, ὡς προστασία ἡμῶν· ἣν μετὰ δέους πάντες εὐφημοῦντες, εὐσεβοφρόνως βοήσωμεν· Θεοκυῆτορ, ἀγγέλων δόξα, σὺ ὑπάρχεις πανάμωμε.



Οἱ ἀναβαθμοί. Τὸ πρῶτον Ἀντίφωνον τοῦ δ΄. ἤχου

### Προκείμενον Ἦχος δ΄.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει...

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Τὸ Πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλιον τῶν δέκα Παρθένων.

Ὁ Ν΄. Δόξα, ταῖς τῆς ἀθληφόρου· καὶ νῦν, ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ Ἰδιόμελον

### Ἦχος πλ. β΄.

Ἐκ δεξιῶν τοῦ Σωτῆρος, παρέστη ἡ Παρθένος καὶ ἀθληφόρος καὶ Μάρτυς, περιβεβλημένη ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως, καὶ βοῶσα πρὸς αὐτόν, ἐν ἀγαλλιάσει τὴν λαμπάδα κατέχουσα, εἰς ὀσμὴν μύρου σου ἔδραμον Χριστὲ ὁ Θεός, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ· μὴ χωρίσῃς με Νυμφίε ἐπουράνιε· αὐτῆς ταῖς ἱκεσίαις, κατάπεμψον ἡμῖν, παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.

Εἶτα οἱ κανόνες

Κανὼν πρῶτος τῆς Θεοτόκου εἰς ς΄. καὶ τῆς ἁγίας οἱ δύω εἰς η΄.
Ὁ Κανὼν τῆς Θεοτόκου, ἐγκωμιαστικός. Ποίημα πολυσύλλεκτον.

### Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ εἱρμός.

»Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ, ἐν ἀβύσσῳ ἴχνεσι τὸν »διώκτην Φαραώ, καθορῶν ποντούμενον, Θεῷ ἐπινίκιον ᾠ»δὴν ἐβόα ᾄσωμεν. Δὶς

Τὴν ἀδιόδευτον πύλην τὸ καθαρόν, τῆς ἁγνείας τέμενος, τὴν καλὴν ἐν γυναιξί, τὴν ἁγίαν Δέσποιναν πιστοί, μελῳδίαις ἱεραῖς ἀνευφημήσωμεν.

Σὲ τὴν ἁγνὴν τοῦ Δεσπότου περιστεράν, τὴν σεπτὴν καὶ ἄμωμον, καὶ καλὴν ἐν γυναιξίν, ὡς τὸν ὅλων τέξασα Θεόν, μακαρίζομεν πιστῶς θεομακάριστε.

Ἡ τοῦ ἡλίου νεφέλη ἡ χρυσαυγής, λυχνία πανάμωμε, ἡ πολύφωτος λαμπάς, τῆς ἐμῆς ψυχῆς τὸ τριμερές, ἁμαρτίαις ζοφωθὲν λάμπρυνον δέομαι.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Σὲ τοῦ Θεοῦ τὸ χωρίον τοῦ μηδαμοῦ, χωρουμένου Δέσποινα τὴν σκηνὴν τὴν νοητήν, τὸ τερπνὸν ἁγίασμα πιστῶν, τὸ κραταίωμα ἀεί, πάντες δοξάζομεν.

Κανὼν τῆς Ἁγίας. Πόνημα τοῦ κυροῦ Θεοφάνους. Ἦχος δ΄. (ὁ γνωστὸς ἐν τῷ ἐν εντύπῳ μηναίῳ)

Ἕτερος κανὼν τῆς Ἁγίας Ποίημα Βενεδίκτου Ἱερομονάχου.

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Ὁρμῶντι πανεύφημε, τὴν σὴν πανήγυριν ᾄσμασιν, ὑμνῆσαι δοθῆναί μοι ταῖς ἱκεσίαις σου, ταῖς πρὸς Κύριον, χάριν ἰσχύν τε λόγου, αἰτῶ ὡς ἐξείποιμι τὰς ἀριστείας σου.

Διττά τε καὶ μέγιστα, ἦρας ἀοίδιμε τρόπαια, κατὰ τοῦ ἀλάστορος καὶ παλαμναίου ἐχθροῦ, ἐν ἀσκήσει σου, ἀθλήσει τε ἐνδόξῳ, τοῦτον ἐκνευρίσασα εἰς τέλος ἔνδοξε.

Δόξα.

Ὁσίων ἀνέφανας, κλέος Μαρτύρων τε καύχημα, ὡς ἐνδιαπρέψασα, ἐν ἀμφοτέροις λαμπρῶς, καὶ κατέστεψαι δισσῷ λαμπρῷ στεφάνῳ, παρὰ τοῦ Παντάνακτος, ὦ παμμακάριστε.

Καὶ νῦν

Σὺ μόνη θεόνυμφε, τὸν ἐν ὑψίστοις καθήμενον, ἀγκάλαις ἐβάστασας, σάρκα γενόμενον, σὺ γὰρ ὥρισαι, πρὸ πάντων τῶν αἰώνων, δοχεῖον ἐπάξιον τοῦ παντοκράτορος.

Καταβασία : **Ἀνοίξω τὸ στόμα μου.**

Τῆς θεοτόκου. **Ὠδὴ γ΄. Ὁ εἱρμός.**

»Οὐκ ἔστιν ἅγιος ὡς σύ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέ-
»ρας τῶν πιστῶν σου ἀγαθέ, καὶ στερεώσας ἡμᾶς, ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου. δίς

Χαῖρε παλάτιον τερπνόν, ὑψηλοῦ Βασιλέως, χαῖρε κούφη νεφέλη, διασώσασα βροτούς, πρὸς θείαν διαγωγήν, χαῖρε σκέπη πάντων τῶν τιμώντων σε.

Μαρία πάντων ἡ ἐλπίς, τῶν εἰς σὲ πεποιθότων, ἡ τεκοῦσα τὸν λόγον, σαρκωθέντα δι᾿ ἡμᾶς, ποικίλων με πειρασμῶν καὶ κινδύνων Πάναγνε διάσωσον.

Πυρί με φόβου θεϊκοῦ, ἐκκαθάρασα Κόρη, τῶν πταισμάτων τοῦ ῥύπου ἐπένδυσον χρυσαυγῆ, χιτῶνα τῶν ἀρετῶν καὶ χορείαις τῶν ἁγίων σύνταξον.



Παστὰς Κυρίου ἐκλεκτή, οὐρανίου παστάδος, ποίησον κληρονόμον, τὸν τῇ θείᾳ σου σκηνῇ ὡς ἐν παστάδι σεπτῇ καθεκάστην πόθῳ σε γεραίροντα.

Τῆς Ἁγίας. **Τοὺς σοὺς ὑμνολόγους.**

Τῶν σῶν γεννητόρων εὐχῆς τέκνον, ἐδείχθης ἀνέθου τε σαυτήν, ἐκ βρέφους τῷ Κυρίῳ σου. Παρασκευὴ ἀοίδιμε, καὶ πλοῦτον πτωχοῖς νείμασα, εὗρες Χριστὸν τὸν νυμφίον σου.

Οὐκ ἔφερες Μάρτυς πανολβία, ἐμμένειν τῷ σχήματι κρυπτῶς, μοναζουσῶν ἀλλ᾿ ὥρμησας, λαμπρῶς ἐπὶ τὸ κήρυγμα, ὡς ἄλλη Θέκλα δείξασα, σπουδὴν τῇ κλήσει κατάλληλον.

Δόξα

Ἀτρόμως κηρύττουσα τοῖς πᾶσι, Χριστοῦ τοῦ Σωτῆρος καὶ Θεοῦ, ὄνομα τὸ πανάγιον, Παρασκευὴ πανθαύμαστε, σημεῖα καὶ τεράστια, ὤφθης τελοῦσα παράδοξα.

Καὶ νῦν.

Νόμου προτύπου ἡ σκηνή σε, γενήσεσθαι μέλλουσαν ἁγνή, Θεοῦ ἅγιον σκήνωμα, ἐν ᾧ ὁ ἱλασμὸς ἡμῶν, ἁγιασμὸν δωρούμενος, πᾶσιν ἡμῖν ἐπελεύσεται.

Καταβασία : **Τοὺς σοὺς ὑμνολόγους.**

Κοντάκιον. **Ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Τὸν ναόν σου πάνσεμνε, ὡς ἰατρεῖον, ψυχικὸν εὑράμενοι, ἐν τούτῳ πάντες οἱ πιστοί, μεγαλοφώνως τιμῶμέν σε, ὁσιομάρτυς Παρασκευὴ ἀοίδιμε.

**Ὁ οἶκος.**

Ἡ τοῦ νυμφίου σε φωνή, καλέσασα ὡς νύμφην, στεφάνῳ ἀφθαρσίας, ἐκόσμησε θεόφρον, Παρασκευὴ πανευκλεής, καὶ μετὰ ἀθλοφόρων καὶ Μαρτύρων τῶν σεπτῶν, ἀξίως συνηριθμήθης· μεθ᾿ ὧν εὐφραινομένη μέμνησο, τῶν ἐκτελούντων τὴν ἁγίαν ἑορτήν σου, καὶ συνελθόντων ἔνδον τοῦ Ναοῦ σου, ἐν αὐτῷ γὰρ νυνὶ παρεστῶτες, ἀπὸ ψυχῆς προσφέρομέν σοι τοὺς ὕμνους, ὁσιομάρτυς Παρασκευὴ ἀοίδιμε.

Κάθισμα. **Ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Ἐπεφάνη σήμερον ἡμῖν ἡ θεία, ἑορτὴ τῆς μάρτυρος, καταλαμπρύνουσα ἡμῶν, σὺν ταῖς ψυχαῖς καὶ τὰ σώματα, ἀνευφημούντων αὐτὴν μετὰ πίστεως.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Θεοτοκίον**

Χαῖρε θρόνε πύρινε τοῦ Βασιλέως, καὶ λυχνία πάγχρυσε, φωτὸς τοῦ θείου τὰς ψυχάς, καὶ διανοίας λαμπρύνουσα, τῶν ἀνυμνούντων σε Κόρη πανύμνητε.

Τῆς Θεοτόκου. **Ὠδὴ δ΄. Ὁ εἱρμός.**

»Χριστός μου δύναμις, Θεὸς καὶ Κύριος, ἡ σεπτὴ Ἐκκλησία »θεοπρεπῶς, μέλπει ἀνακράζουσα, ἐκ διανοίας καθαρᾶς, ἐν »Κυρίῳ ἑορτάζουσα. δίς.

Ὑμνῶ σε Δέσποινα, τὴν πολυύμνητον, εὐλογῶ σε Παρθένε δι' ἧς βροτοί, πάντες εὐλογήθημεν, καὶ τῆς κατάρας ἀληθῶς, τῆς ἀρχαίας ἐλυτρώθημεν.

Ὡς πύλην φέρουσαν, πρὸς θείαν εἴσοδον, ὡς παράδεισον θεῖον ὡς νοητόν, τόπον ἁγιάσματος, ὡς καλλονὴν τοῦ Ἰακώβ, τὴν παρθένον μακαρίσωμεν.

Λυχνία πάμφωτος, ἡ θεία τράπεζα, τοῦ Θεοῦ τὸ χωρίον ἡ κιβωτός, ῥάβδος ἡ βλαστήσασα, ἄνθος ἐν κόσμῳ τὸν Χριστόν, σὺ ἐδείχθης μητροπάρθενε.

Τῷ θείῳ τόκῳ σου, Παρθένε πάναγνε, τῶν Ἀγγέλων αἱ τάξεις καὶ τῶν βροτῶν, ἥνωνται συστήματα, τὸν εἰρηνάρχην γὰρ Χριστόν, καὶ Σωτῆρα πάντων τέτοκας.

Τῆς Ἁγίας. **Τὴν ἀνεξιχνίαστον.**

Τὴν ἀκαταπτόητον μάρτυς ψυχήν, σοῦ καταπτοῆσαι ὁ τύραννος, ὁ λυμεώνης, ὤετο Παρασκευή, καὶ καταξένων μάστιξι, σῶμά σου δεινῶς οὐ διέλιπε.

Λίαν σου ἐνεύρου τὸ ἀσθενές, ὦ Παρασκευὴ τὸ πανάγιον, Πνεῦμα δεικνύον, σὲ πανεύφημε λαμπράν, τὴν τῆς ψυχῆς ἐμφαῖνόν σου, μάρτυς τοῦ Κυρίου λαμπρότητα.

**Δόξα**

Ἵστασο ἀκλόνητος ἐν τοῖς δεινοῖς, φίλτρῳ φλεγομένη τοῦ Κτίστου σου, ὅθεν ὑπέστης, ἀνδρικώτατα σοφή, τὰς ἀφορήτους μάστιγας, καὶ τὸν βιαιότατον θάνατον.

**Καὶ νῦν.**

Σὲ τὸ ἱλαστήριον πάντων βροτῶν, πίστει ἱκετεύω καὶ δέομαι, εὐλογημένη, ἵλεόν μοι τὸν Κριτήν, τὸν σὸν υἱὸν ἀπέργασαι, ὅπως ἐν αἰνέσει δοξάζωσι.

Καταβασία: **Τὴν ἀνεξιχνίαστον.**



Τῆς Θεοτόκου. **Ὠδὴ ε΄. Ὁ εἱρμός.**

»Τῷ θείῳ φέγγει σου ἀγαθέ, τὰς τῶν ὀρθριζόντων σοι ψυχάς, »πόθῳ καταύγασον δέομαι, σὲ εἰδέναι λόγε Θεοῦ, τὸν ὄν»τως Θεὸν ἐκ ζόφου τῶν πταισμάτων ἀνακαλούμενος. δίς

Τὴν ἀνωτέραν τῶν Χερουβίμ, τὴν ὑψηλοτέραν οὐρανῶν, τὴν ὑπερτέραν τῆς κτίσεως, τῶν σοφῶν Μαρτύρων τὸ περιτείχισμα, τὴν μόνην Θεοτόκον ὕμνοις τιμήσωμεν.

Ὡς καλλονὴ τοῦ Ἰακώβ, ἡ ἐκλελεγμένη τῷ Θεῷ, πρὸ τοῦ γενέσθαι τὰ σύμπαντα, ἡ ἁγιωσύνην καὶ καθαρότητα, ἀσύγκριτον πλουτήσασα, χαῖρε Δέσποινα.

Λυχνίαν πάναγνε φαεινήν, πᾶσιν ἀπαυγάζουσαν Χριστόν, δικαιοσύνης τὸν ἥλιον, σὲ εἰδότες μόνην θεογεννήτριαν, τὴν σὴν νῦν προστασίαν ἐπικαλούμεθα.

Φοροῦσα κάλλος τὸ νοητόν, τῆς ὡραιοτάτης σου ψυχῆς, νύμφη Θεοῦ ἐχρημάτισας, κατεσφραγισμένη τῇ παρθενίᾳ σεμνή, καὶ φέγγει τῆς ἁγνείας κόσμον φαιδρύνουσα.

Τῆς Ἁγίας. **Ἐξέστη τὰ σύμπαντα**

Ἐξέστησαν ἄγγελοι, καὶ δαίμονες κατέπτηξαν, βροτοὶ ἐθαμβήθησαν ὁρῶντες, τὴν ὑπὲρ φύσιν νῦν καρτερίαν σου, καὶ εὔφρανας ἔνδοξε τοὺς σούς, ἐχθροὺς δὲ κατῄσχυνας, τῇ ἐνδόξῳ ἀθλήσει σου.

Θεοὶ ἀπολέσθωσαν, ἐν τῷ σταδίῳ ἔκραζες, οἱ τὸν οὐρανὸν καὶ γῆν ποιῆσαι, μὴ δυνηθέντες· ὅθεν ὁ τύραννος, θυμῷ ὑπερζέσας κορυφήν, σοῦ τὴν θείαν ἔφλεγε, τῷ δεινῷ μηχανήματι.

**Δόξα.**

Τὸ πῦρ μετεβάλλετο, εἰς δρόσον ἐν τοῖς εἴδεσι, τοῖς πυρακτωθεῖσιν ἐν οἷς ἔστης, ἀβλαβὴς ὅλη, ὅθεν μυρία Χριστῷ, πλήθη προσηγάγου διωκτῶν, τέκνα φωτὸς ἔνδοξε, ἀντὶ σκότους δεικνύουσα.

**Καὶ νῦν.**

Ῥομφαία τὸ πρότερον, ἡ τὴν Ἐδὲμ φυλάττουσα, στρέφει τοῖς πιστοῖς ἁγνὴ τὰ νῶτα, σημειουμένοις τιμίῳ αἵματι, πάλαι κενωθέντι ἐκ πλευρᾶς, λόγχης ἐκ κεντήματι, τοῦ ἐκ σοῦ ἀνατείλαντος.

Καταβασία : **Ἐξέστη τὰ σύμπαντα.**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Τῆς Θεοτόκου. Ὠδὴ ϛ'. Ὁ εἱρμός.

»Τοῦ βίου τὴν θάλασσαν ὑψουμένην καθορῶν, τῶν πει-»ρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν »βοῶ σοι ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου πολυέλεε. δίς.

Τὴν μόνην πανύμνητον, τὴν καλὴν ἐν γυναιξί, τὴν τοῦ Θεοῦ λοχεύτριαν, χριστιανῶν τὸ τεῖχος τὸ ἀρραγές, Μαρίαν τὴν ἄχραντον, ἀδιστάκτῳ καρδίᾳ μακαρίσωμεν.

Ὑμνῶ σε πανύμνητε, ἣν ὑμνοῦσι στρατιαί, ἐπουρανίων τάξεων, καὶ δυσωπῶ τὰ πάθη μου τῆς ψυχῆς, ἰάτρευσον Δέσποινα, καὶ πυρὸς αἰωνίου ἐλευθέρωσον.

Σκηνὴ θεοχώρητε, ὄρος ἅγιον Θεοῦ, χρυσοῦν θυμιατήριον, πύρινε, θρόνε, πάγχρυσε κιβωτέ, λυχνία πολύφωτε, ἀδιόδευτε πύλη, χαῖρε Δέσποινα.

Ὀρέων ὑπέρτερον, αἰωνίων ἀληθῶς, ἀγγελικῶν δυνάμεων, ἀνεδείχθη τὸ ὄρος τὸ ἐμφανές, ἡ τὴν σὴν χωρήσασα, τῆς Θεότητος αἴγλην Κόρη Δέσποινα.

Τῆς Ἁγίας. Τὴν θείαν ταύτην.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦμεν ἑορτήν σου γηθόμενοι οἱ προσεδρεύοντες, τῷ σῷ ναῷ πανᾳοίδιμε, ἰάσεις καὶ θαυμάτων πληθὺν λαμβάνοντες.

Εἰς πόλιν Μάρτυς ἐκ πόλεως, ὁρμῶσα τὸν Χριστὸν ἀνεκήρυττες, ἀνδρείως φέρουσα, Παρασκευὴ πανᾳοίδιμε, πολυειδεῖς βασάνους τῶν διωκόντων σε.

Δόξα.

Σταυροῦ τῷ τύπῳ παρέδωκας, εἰς ὄλεθρον δεινὸν μέγαν δράκοντα, τὸν ἀπολλύμενον, ψυχὰς καὶ σώματα πάνσεμνε, τῶν προσεχόντων τούτῳ, οὓς καὶ διέσωσας.

Καὶ νῦν.

Τὴν θείαν στάμνον καὶ τράπεζαν, τὸν ἄρτον τῆς ζωῆς τὴν βαστάσασαν, τὴν ἀγεώργητον, χώραν τὸ ὄρος τὸ ἅγιον, τὴν Θεοτόκον Κόρην ὕμνοις τιμήσωμεν.

Καταβασία: Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τῇ ἀθληφόρῳ οἱ πιστοὶ τὸ ὑμνητήριον, Παρασκευῇ δεῦτε συμφώνως ἀναμέλψωμεν, ἀπαστράπτει γὰρ τοῖς θαύμασιν ἐν τῷ



κόσμῳ, ἀπελαύνουσα τῆς πλάνης τὴν σκοτόμαιναν, καὶ παρέχουσα πιστοῖς τὴν χάριν ἄφθονον τοῖς κραυγάζουσι· χαῖρε μάρτυς Πολύαθλε.

Ὁ οἶκος.

Ἄγγελοι ἐκ τῶν ἄνω, καὶ βροτοὶ ἐν τοῖς κάτω, ὁρῶντες τὰ φρικτὰ παλαίσματα, καὶ τοὺς ὑπὲρ ἄνθρωπον ἀγῶνας, τῆς ἐνδόξου σου ἀθλήσεως· πῶς γυνὴ ἀσθενὴς οὖσα τῷ σώματι, ἐνίκησας ἀσάρκων δυσμενῶν τὰ πανουργεύματα· ἐβόων σοι τοιαῦτα.

Χαῖρε, ἁγνὸν παρθενίας κάλλος· χαῖρε λαμπρὸν μαρτυρίου κλέος.

Χαῖρε, δι' ἧς ἡ πλάνη κατήργηται· χαῖρε, δι' ἧς Θεὸς τεθαυμάστωται.

Χαῖρε, ὅτι σὺ ἐξέπληξας τάξεις τὰς Ἀγγελικάς· χαῖρε, ὅτι σὺ διέρρηξας τοῦ δολίου τὰς πλοκάς.

Χαῖρε, σώματος εὐγένειαν, παραδοῦσα αἰκισμοῖς· χαῖρε, ὅτι τὰ οὐράνια, σὺν ἀγγέλοις κατοικεῖς.

Χαῖρε, τῶν νοσούντων, ἴασις ταχυτάτη· χαῖρε, τῶν εὐρωστούντων ἀντίληψις θερμοτάτη.

Χαῖρε, ἡμῶν προστάτις θερμότατος· χαῖρε, παντὸς κόσμου καταφύγιον.

Χαῖρε, Μάρτυς πολύαθλε.

Τῇ ΚϚ'. τοῦ αὐτοῦ μηνὸς μνήμη τῆς ἁγίας ἐνδόξου ὁσιομάρτυρος καὶ παρθένου τοῦ Χριστοῦ Παρασκευῆς.

Στίχοι

Θεῷ παρεσκεύασας ἁγνὸν ὡς δόμον·
σαυτὴν ἀγῶσι σεμνὴ πρὸς κατοικίαν.
Ἡ Παρασκευὴ πρὸς ξίφος τὸν αὐχένα,
ἕτοιμον εἶχε, καὶ παρεσκευασμένον.

Παρασκευὴν ἔκτανεν εἰκάδι χαλκὸς ἐν ἕκτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων ἱερομαρτύρων Ἑρμολάου, Ἑρμίππου, καὶ Ἑρμοκράτους.

Στίχοι

Ἕρμιππος, Ἑρμόλαος, καὶ Ἑρμοκράτης,
Ἑρμῆν σέβοντας ᾔσχυναν παρρησίᾳ.

Ἑρμολάου δ' εἰκάδι ἕκτῃ τάμεν αὐχένα χαλκός.

Οὗτοι ἦσαν πρεσβύτεροι τῆς ἐν Νικομηδείᾳ Ἐκκλησίας, οἱ ὁποῖοι ἀπὸ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

**μειναν ἀπὸ τοὺς ἁγίους ὁποῦ ἐκάησαν ἐκεῖ, ἀπὸ τὸν τύραννον Μαξιμιανόν. Κρυπτόμενοι δὲ εἰς κάποιον μικρὸν σπῆτι, ἐπειδὴ ἐπιάσθη ὁ ἅγιος Παντελεήμων, καὶ ἐδιδάχθη ἀπὸ κάποιον Χριστιανόν, ἐρωτώμενος ἀπὸ τὸν Μαξιμιανόν, καὶ μὴ ἠξεύρωντας νὰ εἰπῇ ψεύματα, εἶπεν ὅτι ἀπὸ τὸν πρεσβύτερον Ἑρμόλαον καὶ παρευθύ, πέμπωντας νὰ τὸν φέρωσιν εἰς τὸν Μαξιμιανόν, καὶ μαζὺ μὲ αὐτὸν ἔφερον καὶ τοὺς συντρόφους του οἱ στρατιῶται. Κρατηθέντες λοιπὸν οἱ ἅγιοι, καὶ κηρύξαντες τὸν Χριστὸν μετὰ παρρησίας ὅτι εἶνε Θεὸς ἀληθινός, ἀπεκεφαλίσθησαν.**

**Τῇ** αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι πενῆντα τρεῖς Μάρτυρες οἱ ἐκ Θράκης, ἐν τῇ θαλάσσῃ τελειοῦνται.

Στίχοι

Θαλασσοάθλους ἰσαρίθμους Χριστέ μου,
ἄγρα θαλάσσης Τιβεριάδος δέχου.

**Τῇ** αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Μανουὴλ ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Εἴκειν λογισμῷ Μανουὴλ πείσας πάθη.
Παθῶν ὑπῆρξε, πρὶν θανὼν αὐτοκράτωρ.

**Τῇ** αὐτῇ ἡμέρᾳ ἡ ἁγία μάρτυς Δροσὶς χώνῃ χρυσῇ ἐμβληθεῖσα τελειοῦται.

Στίχοι

Χρυσῷ Δροσὶς βληθεῖσα χωνευτηρίῳ,
Οὐχ' εὑρέθη κίβδηλος ἤμικτη ῥύπῳ.

**Τῇ** αὐτῇ ἡμέρᾳ τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Ὡραιοζήλης, καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου γενομένου· καὶ τοῦ ὁσίου Ἰγνατίου τοῦ Τζηρονήτου· καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ Ἀρχαγγέλου Γαβριὴλ πέραν ἐν Χάλδαις, καὶ τοῦ ὁσίου Ἰωάννου τοῦ παλαιολαυρίτου· καὶ τοῦ ἁγίου Μαυρικίου· καὶ τῶν ἁγίων Ἀππίωνος καὶ Ἱερουσαλήμ.

Ταῖς τῶν σῶν ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Τῆς Θεοτόκου. **Ὠδὴ ζ'. Ὁ εἱρμός.**

»Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο, ἄγγελος τοῖς ὁσίοις »Παισί, τοὺς χαλδαίους δὲ καταφλέγων πρόσταγμα Θεοῦ, »τὸν τύραννον ἔπεισε βοᾶν· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων »ἡμῶν. δίς.



Ὑπερτέρα ἐχρημάτισας Πανάμωμε, τῶν νοερῶν δυνάμεων, ὃν γὰρ ἐκεῖναι, οὐ τολμῶσιν ὅλως κατιδεῖν, ἀγκάλαις ἐβάστασας, ταῖς σαῖς χαριστηρίοις σε φωναῖς ὅθεν δοξάζομεν.

Ἱλαστήριον τῆς φύσεως σὺ πέφηνας, μόνη θεομακάριστε, τὸν γὰρ ἐπ' ὤμων Χερουβὶμ καθήμενον Θεόν, ἀγκάλαις βαστάσασα βοᾷς, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπὲρ Λόγον σου ἡ σύλληψις θεόνυμφε. Θεὸν γὰρ Λόγον τέτοκας, τὸν ῥυσάμενον, ἀλογίας πάσης τοὺς βροτούς, καὶ λόγον παρέχουσα βοᾶν, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς ὑπάρχουσα πανάμωμος θεόνυμφε, Λόγον Θεοῦ συνέλαβες, τὸν ἀχώριστον ἐν τοῖς κόλποις, ὄντα τοῦ Πατρός, χερσὶ δὲ κρατούμενον ταῖς σαῖς, εὐλογημένη, θεομῆτορ ἀπειρόγαμε.

Τῆς Ἁγίας. **Οὐκ ἐλάτρευσαν**

Μὴ λατρεύετε, τῇ κτίσει ἀνεκήρυττες, παρὰ τὸν Κτίσαντα, λαοῖς ἀπείροις σοφή, ἀλλ' εὖ διακρίνοντες Χριστῷ κραυγάζετε, ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Παναοίδιμε, τυράννων κατενώπιον, παρέστης χαίρουσα, τριῶν σημείοις φρικτοῖς, τοὺς δύο διέσωσας ψάλλειν διδάσκουσα, ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

**Δόξα.**

Σκληροκάρδιος, ὁ τρίτος ὀφθεὶς ἔνδοξε, ἐφιλονίκει σου, δεινᾶις αἰκίαις στερρόν, νικῆσαι ὁ δείλαιος μάταιος ἤλεγκται, εἰ καὶ ἔτεμε, κάραν τὴν σὴν νικήτριαν, ἔλαθεν οὕτω σε δείξας.

**Καὶ νῦν.**

Φωτεινόνατον, παλάτιον εὑράμενος Θεὸς τὴν μήτραν σου, ταύτην κατῴκησεν, υἱοὺς ἐργαζόμενος φωτὸς πανάμωμε, τοὺς κραυγάζοντας, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Τῆς Θεοτόκου. Ὠδὴ η'. **Ὁ εἱρμός.**

»Ἐκ φλογὸς τοῖς ὁσίοις, δρόσον ἐπήγασας, καὶ δικαίου θυσίαν »ὕδατι ἔφλεξας, ἅπαντα γὰρ δρᾷς Χριστέ, μόνῳ τῷ βούλε»σθαι, σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. δίς.

Σελασφόρον λαμπάδα, καὶ χρυσαυγίζουσαν, φωτοφόρον παστάδα καὶ πορφυρίζουσαν, στάμνον γλυκασμοῦ, καὶ ζωῆς ἄρτου τράπεζαν, ἔγνωμέν σε Κόρη, ὑπερευλογημένη.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Λυτρωθέντες τῆς πρώην ἀρᾶς τῷ τόκῳ σου, παντευλόγητε Κόρη θεογεννήτρια, τὴν τοῦ Γαβριὴλ φωνήν σοι ἀναμέλπωμεν, χαῖρε ἡ αἰτία, τῆς πάντων σωτηρίας.

Ἡ τὸν βότρυν τεκοῦσα τὸν ἀγεώργητον, καρποφόρον με δεῖξον ἀγαθῶν πράξεων, καὶ τῆς οὐρανῶν βασιλείας ἀξίωσον, ἵνα σὲ δοξάζω ἁγνὴ εἰς τοὺς αἰῶνας.

Ζωοδότου Δεσπότου Χαῖρε λοχεύτρια, ὁ λιμὴν τῶν ἐν ζάλῃ χαῖρε πανάμωμε, ἡ ἀληθινὴ καὶ κατάκαρπος ἄμπελος, χαῖρε γεωργοῦσα, ἀθανασίας βότρυν.

Τῆς ἁγίας. **Παῖδας εὐαγεῖς**

Μάρτυς τοῦ Χριστοῦ γενναιοφρόνως, τὸν τόκον τῆς Θεοτόκου Θεὸν ἔλεγες, τέλειον ὑπάρχοντα, καὶ βροτὸν γενόμενον, δι' εὐσπλαγχνίαν ἄφατον, σῶσαι τοὺς ψάλλοντας· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἔστεγες δεινῶς σπαραττομένη, τὸ σῶμα Παρασκευὴ ἀοίδιμε, ἅπαν φλεγομένη τε, κεφαλὴν μασχάλας τε, ἀλλὰ τὸ πῦρ δροσίζον σε, τούτους κατέφλεγε, μὴ κράζοντας, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Δόξα.

Ὢ πῶς ἀνδρικῶς ἐν γυναικείῳ, τῷ σώματι πάνδεινα ὑπήνεγκας, φίλτρῳ τῷ πρὸς Κύριον, τέλος καὶ τὸν θάνατον, τὸν διὰ ξίφους ἔνδοξε, χαίρουσα ψάλλουσα, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Καὶ νῦν**

Στόματι καὶ γλώσσῃ Θεοτόκον, φρονοῦντες ὁμολογοῦμέν σε Πανάμωμε, τέτοκας γὰρ Πάναγνε, σάρκα περιθέμενον, τὸν ποιητὴν τῆς Κτίσεως καὶ Βασιλέα Χριστόν, διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία : **Παῖδας εὐαγεῖς.**

Τῆς θεοτόκου. **Ὠδὴ θ'. Ὁ εἱρμὸς**

»Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ ἀγγέλων ἀτενί-
»σαι τὰ τάγματα διὰ σοῦ δὲ Πάναγνε, ὠράθη βροτοῖς, λό-
»γος σεσαρκωμένος, ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις στρα-
»τιαῖς σὲ μακαρίζομεν. δὶς



Ναὸν σε ἔμψυχον ἐπιστάμενοι, τοῦ φοβεροῦ καὶ μόνου βασιλέως βοῶμέν σοι, χαῖρε στάμνε τὸ μάννα κατέχουσα, ἔνδον εὐλογημένη χαῖρε πανάμωμε, χαῖρε τῶν πιστῶν καταφυγὴ καὶ τεῖχος ἄρρηκτον.

Ἡ πόλη χαῖρε ἡ ἀδιόδευτος, δι' ἧς βροτοὶ ζωὴν πρὸς ἀτελεύτητον ἤχθημεν, καὶ ἀκήρατον ὄντως ἀνάπαυσιν, χαῖρε δι' ἧς ἀγγέλοις ἄνθρωποι ἥνωνται, χαῖρε τῶν περάτων ἡ ἐλπίς, καὶ θλιβομένων χαρά.

Ναὲ Κυρίου εὐρυχωρώτατε, χαῖρε ἁγνὴ προπύργιον βροτῶν ἀκατάσειστον, χαῖρε στάμνε τοῦ μάννα διάδοχε, χαῖρε λιμὴν ἐν ζάλῃ τοῖς κινδυνεύουσι, χαῖρε πλανωμένων ὁδηγέ, καὶ θλιβομένων χαρά.

Ἡ φῶς τεκοῦσα πιστοῖς ἀπρόσιτον, χαῖρε δι' ἧς θνητοὶ τοῖς ἀθανάτοις συνήφθημεν, χαῖρε Κόσμου θερμὸν ἱλαστήριον, χαῖρε Κυρίου θρόνε χαῖρε ἀνύμφευτε, χαῖρε πρὸς Θεὸν καταλλαγὴ βροτοῖς πανάμωμε.

Τῆς Ἁγίας. **Ἅπας γηγενής.**

Ἅπαντες πιστοί, σκιρτήσωμεν σήμερον πανηγυρίζοντες, τὴν λαμπρὰν πανήγυριν, τῆς ἀθληφόρου Παρασκευῆς τῆς σοφῆς, καὶ τὰ λαμπρὰ νῦν τρόπαια τῆς γενναιόφρονος, ἐκβοῶντες, χαίροις παμμακάριστε, ἀθλητῶν καὶ ὁσίων τὸ καύχημα.

Τίς τῶν γηγενῶν, ἐξείποι πανθαύμαστε, τὰ σὰ τεράστια, καὶ τίς ἂν νοῦς βρότειος, κατανοήσοι ὡς ὑπερβαίνοντα, νοῦν, ἀκοήν, καὶ γλῶσσάν τε, ἀληθῶς ἅπασαν, πλὴν τιμῶντες, πίστει τὰ σὰ κράζομεν, ἀθληφόρε Χριστοῦ χαῖρε ἔνδοξε.

**Δόξα.**

Δέχου παρ' ἡμῶν, ᾠδὴν τὴν ἐφύμνιον Παρασκευὴ ὦ σοφή, ταύτην τῶν ἐν πίστει σοι, προσαγομένων εἰ καὶ μὴ πέφυκε, σοῦ κατ' ἀξίαν ἔνδοξε ἀλλ' ὅση δύναμις, καὶ Θεῷ γάρ, φίλον τὸ εἰς δύναμιν, καὶ σοὶ πάντως ἐστὶ χριστομίμητε.

**Καὶ νῦν.**

Σῶσόν με ἁγνή, Σωτῆρα κυήσασα καὶ πανοικτίρμονα, οἴκτειρον τὸν δοῦλόν σου, πρὸς μετανοίας ὁδοὺς κατεύθυνον, τοῦ πονηροῦ τὰ σκάνδαλα, ἐκ μέσου ποίησον, καὶ ἐνέδρας, τῆς αὐτοῦ με λύτρωσαι, θεοτόκε πιστῶν ἡ βοήθεια.

Καταβασία : **Ἅπας γηγενής.**

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἐξαποστειλάρια. **Γυναῖκες ἀκουτίσθητι.**

Ρωσθεῖσα καλλιπάρθενε, σταυρῷ τῷ τοῦ Κυρίου σου, τυράννων ἔλυσας θράσος, ἀθλοῦσα Μάρτυς γενναίως, καὶ πρὸς Χριστὸν ἀπείληφας, βραβεῖα νίκης πάνσοφε, Παρασκευὴ πανθαύμαστε, ὑπὲρ ἡμῶν δυσωποῦσα, τῶν σὲ τιμώντων ἐκ πόθου.

**Ὅμοιον**

Μαρτύρων τὴν εὐπρέπειαν, καὶ τῶν πιστῶν τὸ στήριγμα, τὴν ὑπομείνασαν πᾶσαν, κολαστηρίων ἰδέαν· Παρασκευὴν τὴν ἔνδοξον, πιστῶς ἀνευφημήσωμεν· σήμερον γὰρ παρέχεται τῶν ἰαμάτων τὴν χάριν, ἐν τῷ σεπτῷ αὐτῆς οἴκῳ.

**Θεοτοκίον**

Παρθένε παναμώμητε, πιστῶν τὸ καταφύγιον, ἡ σωτηρία τοῦ κόσμου, ἡ ἀληθῶς Θεοτόκος· παστὰς ἡ ἐπουράνιος, οὐρανὸς ὁ ὑπέρφωτος, παράδεισος ὁ ἔμψυχος, ἡ μήτηρ τοῦ Βασιλέως, οἰκτείρησον σοὺς οἰκέτας.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στιχ. δ΄. και ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος δ΄. Ἔδωκας σημείωσιν.**

Ἄθλησιν ὑπέμεινας, τῇ σῇ παλαίστρᾳ κατάλληλον, Παρασκευὴ καλλιπάρθενε· ἱδρῶσιν ἀσκήσεως, μαρτυρίου αἷμα, συγκερασαμένη, ὅθεν καὶ στέφανον διπλοῦν, ὁ εὐεργέτης σοὶ ἐχαρίσατο, πρὸς ὃν καὶ ἀνελήλυθας, πεποικιλμένη λαμπρότατα, ὡς παρθένος πανάμωμος, καὶ ὡς μάρτυς ἀήττητος. δίς.

Κάλλει τῷ τοῦ σώματος, ἡ ὡραϊτης ἡ ἔνθεος, τῆς ψυχῆς σου συνέδραμεν, ὡς κρῖνον γὰρ ἔλαμψας, ἐν μοναῖς ὁσίαις, ἐκλελευκασμένη, καὶ ταῖς τοῦ αἵματος ῥοαῖς, πεφοινιγμένη νύμφη Πανάμωμε, διό σε καὶ οὐράνιος, τερπνὸς ἐδέξατο θάλαμος, καὶ παστὰς ἀκατάλυτος, ὡς παρθένον καὶ Μάρτυρα.

Κύκλῳ παρενέβαλε, Παρασκευή σε πανεύφημε, ὁ ῥυόμενος Ἄγγελος ἐκ βρέφους γὰρ Κύριον, φοβουμένη ὤφθης, καὶ ἀνακειμένη, ὥσπερ ἀνάθημα τερπνόν, τετηρημένον τῷ Παντοκράτορι, ἐντεῦθεν κατεπάτησας, τὴν Ἀντωνίου παράνοιαν, καὶ στεφθεῖσα ἀνέδραμες, πρὸς Χριστὸν τὸν νυμφίον σου.

**Δόξα. Ἦχος β΄.**

Ἐν Πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ, ἐκεῖ κατεσκήνωσεν ἡ ἁγία, τὴν λαμπάδα ἄσβεστον τηρήσασα. Ἀκούσω-



μεν τῆς Παρθένου ἐγκώμιον· ὦ Παρθενία ναὸς Θεοῦ, ὦ Παρθενία Μαρτύρων δόξα· ὦ Παρθενία ἀγγέλων συμμέτοχε.

**Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου.**

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τὰ τυπικὰ καὶ οἱ Μακαρισμοὶ καὶ ἀπὸ τῶν Κανόνων τῆς ἁγίας ἡ γ΄. καὶ ϛ΄. ᾠδὴ κ.τ.λ.

**Μεγαλυνάρια τῆς ἁγίας.**

Ψαλλόμενα εἰς τὸν μικρὸν ἑσπερινόν.

Τὴν Μεγαλομάρτυρα τοῦ Χριστοῦ, καὶ τὴν ἐν ἀνάγκαις, ἀπρομάχητον βοηθόν, τὴν νύμφην Κυρίου, καὶ ἄσπιλον ἀμνάδα, Παρασκευὴν τὴν θείαν, ὕμνοις τιμήσωμεν.

Φύλαττε σοὺς δούλους Παρασκευή, μάρτυς τοῦ Κυρίου, τοὺς τιμῶντάς σε εὐλαβῶς, πίστει τε καὶ πόθῳ, τελοῦντάς σου τὴν μνήμην, ἀπὸ παντοίας βλάβης, καὶ περιστάσεως.

Χάριν ὡς λαβοῦσα Παρασκευή, ἐκ τοῦ σοῦ Νυμφίου, ἰατρεύειν πάθη δεινά, ἴασαι τοῖς πόθῳ, τὴν μνήμην σου τὴν θείαν, τελοῦσιν ἐτησίως, ψυχὰς καὶ σώματα.

Ἐγράφη ἐν ἔτει αωιϛ΄ (1816) ἐν μηνὶ Ἰουλίῳ ιέ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΕΓΚΩΜΙΟΝ

## Εἰς τὴν ἁγίαν ὁσιομάρτυρα καὶ παρθενομάρτυρα τοῦ Χριστοῦ Παρασκευήν, ὑπὸ Νικάνδρου μοναχοῦ ἐκ ταύτης τῆς ἁγίας Μονῆς τῆς Μεγίστης Λαύρας.

Συνήθειαν εἶχον τὸν παλαιὸν καιρὸν οἱ ἄνθρωποι, νὰ τιμῶσι τὰς τελευτὰς καὶ τὰς μνήμας τῶν μεγάλων καὶ ἁγίων ἐνδόξων ἀνθρώπων, ὄχι μὲ ὕμνους καὶ δοξολογίας καθὼς ἡμεῖς τὴν σήμερον, ἀλλὰ μὲ πολλὰ κλαυσίματα, καὶ μὲ περισσοὺς θρήνους καὶ ὀδυρμούς· καθὼς λέγει ἡ Γραφή· ὅτι ἔκλαυσαν οἱ Ἰσραηλῖται τὸν Πατριάρχην Ἰακὼβ ἡμέρας τεσσαράκοντα ὁμοίως καὶ τὸν Ἰωσήφ, καὶ ἄλλους πολλούς. Τόσον φοβερὸς ἦτο ὁ θάνατος τότε εἰς τοὺς ἀνθρώπους, ὅπου ἔκλαιον καὶ τοὺς ἁγίους ἀνθρώπους ὡς ἀπεθαμένους· ὅμως ἀφ᾿ οὗ ἦλθεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, εἰς τὸν Κόσμον, καὶ ἔγινεν ἄνθρωπος διὰ τὴν σωτηρίαν ἡμῶν καὶ ἐθανατώθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ ἀνέστη θεοπρεπῶς τῇ τρίτῃ ἡμέρᾳ, μᾶς ἐδίδαξεν ἐμπράκτως νὰ πιστεύωμεν, καὶ νὰ ὁμολογῶμεν, ἡμεῖς οἱ χριστιανοί, ὅτι ὁ θάνατος τῶν χριστιανῶν, δὲν εἶνε θάνατος, ἀλλ᾿ ὕπνος καὶ κοίμησις· ἢ διάβασις ἀπὸ τὴν μίαν ζωὴν εἰς τὴν ἄλλην. Διὰ τοῦτο καὶ εἰς τὰς μνήμας τῶν ἁγίων δὲν λέγομεν, ὁ θάνατος τοῦ δεῖνος ἁγίου, μήτε ἡ τελευτή, ἀλλ᾿ ἡ κοίμησις. Καὶ μήτε κλαίομεν καὶ θρηνοῦμεν, ἀλλὰ μάλιστα χαιρόμεθα καὶ ἀγαλλιῶμεν· ὅθεν καὶ πολλοὶ ἅγιοι τῆς Ἐκκλησίας μας ἐκαταφρόνησαν αὐτὸν τὸν θάνατον, ὄχι μόνον τον φυσικόν, ἀλλὰ καὶ αὐτὸν τὸν σκληρὸν καὶ ἐπίπονον τοῦ μαρτυρίου, ἔχοντες τύπον καὶ παράδειγμα αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ διὰ τὴν ἀγάπην του ἐκαταφρόνησαν, καὶ φίλους καὶ συγγενεῖς, καὶ οἰκίας καὶ πατρίδας, καὶ γονεῖς καὶ τέκνα, καὶ ὅλα τὰ μάταια πράγματα τῆς παρούσης ζωῆς, τρέχοντες προθύμως εἰς τὸν θάνατον, καθὼς τρέχουν οἱ φιλόζωοι εἰς τὰς τρυφὰς καὶ ξεφαντώματα, καὶ ὄχι μόνον οἱ ἀνδρεῖοι ἄνδρες κατεφρόνησαν τὸν θάνατον, ἀλλὰ μάλιστα καὶ γυναῖκες ὅπου καὶ εἶνε τὸ ἀσθενὲς μέρος τῆς φύσεως, καὶ τί λέγω ἄνδρες καὶ γυναῖκες; ὁποῦ καὶ παιδία μικρὰ καὶ βρέφη ἀνήλικα, καὶ κοράσια ἄωρα κατεπάτησαν αὐτὸν τὸν θάνατον διὰ τὴν ἀγάπην ὁποῦ εἶχον εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Καὶ μάλιστα ἡ σήμερον παρ᾿ ἡμῶν ἑορταζομένη ἡ μεγαλομάρτυς, λέγω, ὁσιομάρτυς καὶ παρθενομάρτυς τοῦ Χριστοῦ Παρασκευή, ἡ ὡραιοτάτη ψυχῇ τε καὶ σώματι, ἡ πάγκαλος νύμφη τοῦ οὐρανίου Βασιλέως, τὸ ἀξιώτατον καὶ καθαρώτατον κατοικητήριον τοῦ ἁγίου Πνεύματος, ὁ πάνσεπτος Ναὸς τῆς ἁγίας Τριάδος, ἡ πολίτισσα τοῦ οὐρανοῦ, ἡ θυγάτηρ τοῦ Παραδείσου, ἡ σύνοικος τῆς Παναγίας Παρθένου, ὡς παρθένος ἡ μετὰ τὴν Θέκλαν ἄλλη ἰσαπόστολος· ἡ ὄντως καὶ ὄνομα καὶ πράξει Παρασκευή. Καὶ ποῖος ἄλλος ἀνὴρ ἢ γυνὴ ἔδειξε τόσην ἔνθερμον ἀγάπην εἰς τὸν Θεὸν καὶ ζῆλον διάπυρον εἰς τὴν πίστιν ὡσὰν αὐτή; ὅπου οὐ μόνον ὅταν ἔφθασεν εἰς νόμιμον ἡλικίαν, ἀλλ᾿ ἔτι νέα οὖσα, καὶ σχεδὸν εἰπεῖν βρέφος ἔτι, ἐπόθησεν ἐξ ὅ-



λης ψυχῆς τὰ ἱερὰ γράμματα, καὶ ἐτρώθη ὅλως διόλου, εἰς τὸν θεῖον ἔρωτα· καθότι ὑπερέβαινε καὶ αὐτοὺς τοὺς τελείους ἄνδρας. Δὲν ἠπατήθη ὡς νέα ἀπὸ τὰ τερπνὰ καὶ μάταια πράγματα τοῦ κόσμου τούτου· δὲν ἐπόθησε πλοῦτον πρόσκαιρον μὲ ὅλον ὁποῦ ἦτον ἀρχοντοποῦλα εὐγενικὴ καὶ πλουσία· δὲν ἐπεθύμησε δόξαν ἀνθρώπινον, οὔτε τιμὴν καὶ ὑπερηφάνειαν, δὲν ἠθέλησε νυμφίον πρόσκαιρον, ἀλλὰ τὸν οὐράνιον νυμφίον καὶ ἀθάνατον ἐπόθησαν Ἰησοῦν Χριστόν. Αὐτὸν ἔβλεπε νοερῶς, καὶ ἔχαιρεν ἡ ψυχή της, αὐτὸν ἐφαντάζετο νύκτα καὶ ἡμέραν, αὐτὸν εἶχε πλοῦτον, δόξαν τιμὴν αὐτὸν τρυφὴν χαρὰν καὶ καύχημα. Ποῦ ἐφάνη στολισμὸς ἢ καλλωπισμὸς ἱματίων εἰς ἐκεῖνο τὸ παρθενοστόλιστον σῶμά της; ποῦ νὰ ἀκουσθῇ ποτὲ ἀργολογία ἢ εὐτραπελία, ἢ γέλωτες, ἢ αἰσχρολογία ἀπὸ τὸ ἅγιον στόμα της; Ποῖος τὴν εἶδέ ποτε χωρὶς βιβλίον εἰς τὰς χεῖράς της, ἢ νὰ κάθηται ἀργὴ πώποτε· ποῖος τὴν ἤκουσε ποτὲ νὰ παρακούσῃ ἢ νὰ ἀντιλογήσῃ τῶν γονέων της; δὲν εἶχε χώραν εἰς αὐτὴν ἡ ἀμέλεια, οὔτε ὁ ἔρως τῆς σαρκικῆς ἐπιθυμίας· ἐπιθυμίαν εἶχε καὶ ἔρωτα εἰς τὴν προσευχήν, εἰς τὴν ἀνάγνωσιν τῶν θείων Γραφῶν· τροφὴν εἶχε τὴν νηστείαν· καὶ ξεφάντωμα τὴν ἐγκράτειαν. Πόσοι μεγάλοι ἄρχοντες ἐπεθύμησαν νὰ τὴν κάμουν νύμφην εἰς τοὺς υἱούς των; ὅμως ἐκείνη πυρπολουμένη ὅλως διόλου ἀπὸ τὸν θεῖον ἔρωτα, οὔτε νὰ ἀκούσῃ τοιοῦτον λόγον δὲν ἠθέλησε· ὅθεν μετὰ τὸν θάνανον τῶν γονέων της, ἀφ᾿ οὗ ἐμοίρασεν ὅλα της τὰ ὑπάρχοντα εἰς τοὺς πτωχούς, ἀφιέρωσε καὶ τὸν ἑαυτόν της εἰς τὸν Θεόν· ἀπελθοῦσα εἰς μοναστήριον ἐνεδύθη τὸ μέγα καὶ ἀγγελικὸν σχῆμα, παρθενεύουσα ψυχῇ τε καὶ σώματι, ἀπονεκρώσασα πάντα τῆς σαρκὸς τὰ θελήματα μὲ ἄκραν νηστείαν καὶ κακοπάθειαν· γενομένη τύπος καὶ ὑπόδειγμα, πάσης ἀρετῆς, εἰς ὅλην τὴν ἀδελφότητα ἐκείνης τῆς Μονῆς. Καὶ καθὼς οἱ στρατιῶται ὅπου μέλλουν νὰ ὑπάγουν εἰς τὸν πόλεμον, πρότερον ἑτοιμάζουσι τὰ ἅρματά τους καλά, καὶ ἁρματώνονται, ἔπειτα κινοῦσι προθύμως κατὰ τῶν ἐχθρῶν τους, κατὰ τὸν ὅμοιον τρόπον καὶ ἡ ἁγία, πρότερον ἁρματώθη μὲ τὰ πνευματικὰ ἅρματα, καθὼς λέγει ὁ Ἀπόστολος Παῦλος· μὲ τὸ ἀκαταμάχητον ὅπλον τοῦ σταυροῦ, μὲ τὸν θώρακα τῆς πίστεως, μὲ τὴν περικεφαλαίαν τοῦ σωτηρίου, καὶ μὲ τὴν μάχαιραν τοῦ Πνεύματος, καὶ οὕτως ἄρχισε τὸν πνευματικὸν ἀγῶνα τὸν κατὰ τοῦ διαβόλου πόλεμον. Ὅθεν ἐκίνησεν ὡσὰν ἕνος μέγας διδάσκαλος ἢ ὡσὰν ἄλλος ἀπόστολος τρὶς καὶ δέκατος, ἀπερχομένη ἀπὸ χώρας εἰς χώραν διδάσκουσα παρρησίᾳ καὶ χωρὶς φόβον τὸν λόγον τῆς ἀληθείας· νουθετοῦσα, καὶ συμβουλεύουσα, τοὺς χριστιανοὺς νὰ στέκωνται στερεοὶ εἰς τὴν πίστιν, ἀνδρεῖοι εἰς τα μαρτύρια νὰ μὴ προδίδουν τὴν εὐσέβειαν, διὰ ὀλίγους πόνους καὶ πρόσκαιρα βάσανα.

Καὶ τόσον ἦτον γλυκὺς καὶ ἑλκυστικὸς ὁ λόγος καὶ ἡ διδασκαλία της, ὥστε ὁποῦ οἱ μὲν χριστιανοὶ ἐστερεώνοντο, οἱ δὲ Ἕλληνες ἐπέστρεφον εἰς τὴν θεογνωσίαν πλήθη ἀναρίθμητα. Καὶ ποῖος νὰ μὴ θαυμάσῃ, βλέπωντας μίαν νέαν κόρην, νὰ διδάσκῃ ὡσὰν διδάσκαλος, νὰ κάμνῃ παράδοξα θαύματα ὡσὰν Ἀπόστολος; νὰ ἐπιστρέφουν μὲ τὴν δι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

δασκαλίαν της εἰς τὸν Χριστὸν τόσα ἔθνη, οὐ μόνον ἕλληνες καὶ ἑβραῖοι, ἀλλὰ καὶ αὐτοὶ οἱ ἴδιοι βασιλεῖς; οἱ ἀντίδικοι καὶ ἐχθροὶ θανάσιμοι τῆς πίστεως; βέβαια παράδοξον θαῦμα ἐφαίνετο μία γυνή, τὸ ἀσθενὲς μέρος τῆς φύσεως, νὰ νικήσῃ τόσους ἀνδρείους ἰσχυροὺς ἄνδρας, νὰ ἔχῃ τόσην δύναμιν καὶ ἐνέργειαν ἡ θεόσοφος διδασκαλία της, ὥστε ὁποῦ νὰ ποιῇ τοὺς ἀσεβεῖς εὐσεβεῖς, τοὺς ἀπίστους πιστούς, τοὺς ἑτεροδόξους ὀρθοδόξους, τοὺς ἐχθροὺς τῆς πίστεως ζηλωτὰς τῆς εὐσεβείας, τοὺς ὑπερηφάνους ταπεινούς, τοὺς ἀγρίους καὶ ἀσπλάγχνους συμπαθεῖς καὶ πρᾴους, τοὺς λύκους πρόβατα, καὶ τοὺς λέοντας ἀρνία. Τοῦτο εἶνε βέβαια ἐκεῖνο ὅπου λέγει ὁ Ἀπόστολος Παῦλος : Ἐν γὰρ Χριστῷ Ἰησοῦ, οὔτε Ἕλλην, οὔτε βάρβαρος, οὔτε δοῦλος οὔτε ἐλεύθερος, οὔτε ἄρσεν, καὶ θῆλυ, ἀλλὰ καινὴ κτίσις· ὅθεν καινὰ θαύματα παράδοξα κατορθώματα ἐτέλεσεν ἡ ὁσιοπαρθενομάρτυς τοῦ Χριστοῦ Παρασκευή· διὰ τοῦτο καὶ ὁ ἐχθρὸς τῆς ἀληθείας διάβολος μὴ δυνάμενος νὰ βλέπῃ αὐξανομένην τὴν πίστιν τοῦ Χριστοῦ, ἐτοιμάσθη νὰ κάμῃ ἐκδίκησιν εἰς τὴν ἁγίαν· ἑτοίμασε λέγω φυλακάς, ἑτοίμασε ῥάβδους, περικεφαλαίας πεπυρωμένας, νεῦρα βοῶν, καζάνια γεμάτα πίσσαις καὶ μόλυβδον, ἑτοίμασε καταπέλτας καὶ τροχοὺς καὶ κάθε εἶδος βασάνων.

Καὶ μὲ αὐτὰ ὅλα ὥρμησε κατὰ τῆς ἁγίας διὰ νὰ τὴν ἀφανίσῃ· ὅμως ματαίως ἐκοπίασεν ὁ ἀδύνατος· διότι τοῦ ἐχθροῦ ἐξέλειπον αἱ ῥομφαῖαι εἰς τέλος· ἐπειδὴ καὶ αὐτὰ τὰ σκληρότατα βάσανα, πίσσαις, λέγω, περικεφαλαίαις καὶ τὰ λοιπὰ τιμωρητικὰ ὄργανα εὐλαβήθησαν τὸ παρθενικώτατον σῶμα τῆς ἁγίας, καὶ παντελῶς δὲν τὴν ἔβλαψαν.

Τότε ἦτο νὰ ἰδῇ τινὰς θαύματα παράδοξα εἰς τὴν ἁγίαν· νὰ καταφρονῇ τὸ πῦρ, νὰ μὴ φοβῆται ῥαβδισμούς, νὰ μὴ δειλιάζῃ τὸν βρασμὸν τῆς πίσσης καὶ τοῦ μολύβδου· νὰ νομίζῃ τὰς θλίψεις καὶ βάσανα, ὡσὰν χαραῖς, τὰς στενοχωρίας ὡς εὐρυχωρίας, τὰ μαρτύρια καὶ τοὺς σκληροὺς θανάτους ὡσὰν τρυφάς· καὶ πῶς νὰ σιωπήσω τὸ μεγαλείτερον; Ὅπου καὶ αὐτὸς ὁ φρικωδέστατος καὶ φοβερώτατος δράκων ὁποῦ ἐνόμιζον ἅπαντες νὰ καταπίῃ ὁλοζώντανον τὴν ἁγίαν, μὴν ὑποφέροντας οὔτε κἂν νὰ ἰδῇ τὸ σημεῖον τοῦ σταυροῦ· διερράγη καὶ ἠφανίσθη. Πόσοι νομίζετε νὰ ἐπίστευσαν βλέποντες τοιοῦτον παράδοξον θαῦμα; τοιοῦτος δράκων ὁποῦ δὲν ἐτόλμησέ ποτε κανένας δυνατὸς καὶ ἀνδρειωμένος ἄνδρας, οὔτε κἂν νὰ φανῇ ἔμπροσθέν του, νὰ τὸν νικήσῃ μία κόρη ἀδύνατος; τοῦτο εἶνε βέβαια θαυμαστὸν ἔργον τῆς παντοδυναμίας τοῦ Θεοῦ, νὰ νικᾷ τὰ δυνατὰ μὲ τὰ ἀδύνατα· καθὼς λέγει ὁ Ἀπόστολος : Τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς σοφοὺς καταισχύνῃ, καὶ τὰ ἀσθενῆ καὶ ἐξουθενημένα ἵνα καταισχύνῃ τὰ ἰσχυρά :



Ἔγραφεν ὁ Ἀλέξανδρος ὁ βασιλεὺς εἰς κάποιαις γυναῖκαις ὅπου εἶχον βασίλειον εἰς τὴν Ἀνατολὴν ἐκεῖνον τὸν καιρόν, ὅτι βούλεται νὰ ὑπάγῃ νὰ ἀφανίσῃ τὸ βασίλειόν τους· καὶ τοῦ ἀπεκρίθησαν πολλὰ φρόνιμα· δὲν εἶνε παράξενον ἐὰν νικήσῃς ἡμᾶς ὅπου εἴμεθα γυναῖκες, ἀλλὰ θαυμαστὸν εἶνε ἐὰν νικήσωμεν ἡμεῖς αἱ γυναῖκες ἐσένα τὸν ἀνδρεῖον Ἀλέξανδρον, καὶ μεγάλη σου ἐντροπή.

Τοιαύτην ἐντροπὴν ἔπαθεν ὁ διάβολος ὁποῦ δὲν ἠδυνήθη νὰ νικήσῃ μίαν κόρην νέαν, ἀλλὰ μάλιστα αὐτὴ ἐνίκησεν αὐτόν, ἁρπάζουσα ἀπὸ τοὺς ὄνυχάς του τόσας μυριάδας ἀνθρώπων, οὐ μόνον ἁπλοῦς καὶ ἰδιώτας ἀλλὰ καὶ γραμματισμένους καὶ σοφούς, καὶ αὐτοὺς τοὺς ἰδίους βασιλεῖς ὅπου τοὺς εἶχεν ὄργανα τῆς κακίας του. Καὶ καθὼς ἕνας ἀνδρειωμένως ὅταν πιάσῃ λέοντα, καὶ τοῦ εὐγάλῃ τοὺς ὄνυχας καὶ τοὺς ὀδόντας καὶ μείνῃ ἀδύνατος, τότε οὐ μόνον ἄνδρες τε καὶ γυναῖκες, ἀλλὰ καὶ αὐτὰ τὰ μικρὰ παιδία, τὸν καταφρονοῦσι καὶ τὸν περιπαίζουσιν. Οὕτως ἔκαμε καὶ ἡ ἁγία εἰς τὸν ἀντίπαλον ἐχθρόν της. Καὶ ποῖα ἀπὸ τὰ κακατορθώματά της νὰ στοχασθῇ τινὰς πρῶτον καὶ ποῖα ὕστερον ; Τὴν παρθενίαν της νὰ ἐπαινέσῃ ἢ τὴν ἀσκητικήν της ζωὴν νὰ ἐγκωμιάσῃ, ἢ τὰ φρικτά της μαρτύρια νὰ θαυμάσῃ; Ἐὰν μόνον συλλογισθῇ τινας πόσοι ἐπίστευσαν εἰς τὸν Χριστὸν μὲ τὴν ἔνθεον διδασκαλίαν της, βέβαια σκοτίζεται ὁ νοῦς του καὶ ἀπορεῖ. Ἐπειδὴ κατὰ τὸ ἱερὸν Εὐαγγέλιον ἐκεῖνος ὁποῦ σώσει μόνον ἕνα ἄνθρωπον, ἔχει μεγάλον μισθὸν ἀπὸ τὸν μισθαποδότην Θεόν· ἀμὴ ἡ ἁγία ὁποῦ ἐπέστρεψε τόσας μυριάδας ἀνθρώπων ἀπὸ δύο καὶ τρία βασίλεια, προσφέρουσα αὐτοὺς ὡς δῶρα εἰς τὸν Ἰησοῦν Χριστόν, ὁποῖον μισθὸν ἄρα πρέπει νὰ λάβῃ; ἐμένα μοῦ φαίνεται πῶς βέβαια δὲν σφάλλω νὰ εἰπῶ ὅτι ἔχει τὴν ἴσην τιμὴν καὶ δόξαν μὲ τοὺς ἁγίους Ἀποστόλους. Διότι καθὼς οἱ ἅγιοι Ἀπόστολοι ἐπήγαιναν ἀπὸ χώρας εἰς χώραν καὶ ἀπὸ βασίλειον εἰς βασίλειον κηρύττοντες τὸ Εὐαγγέλιον καὶ ἐπιστρέφοντες τοὺς ἀνθρώπους ἀπὸ τὴν πλάνην τῶν εἰδώλων, τὸν ἴδιον κόπον ἐδοκίμασε καὶ αὐτὴ ἡ εὐλογημένη. Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν παραδόξως τὴν ἐδόξασε, καὶ μεγαλοπρεπῶς τὴν ἐτίμησεν· ὄχι μόνον εἰς τὸν οὐρανὸν ἀλλὰ καὶ ἐδῶ εἰς τὴν γῆν. Καὶ ὄχι μόνον εἰς ἕνα μέρος τῆς γῆς, ἢ μίαν πόλιν, καὶ εἰς ἕνα βασίλειον, ἀλλὰ εἰς ὅλον τὸν κόσμον· καὶ εἰς ὅλας τὰς ἐκκλησίας τῶν Χριστιανῶν. Ἐὰν ὑπάγῃς μὲ τὸν νοῦν σου, ἄνθρωπε, μέσα εἰς τὰς Ἰνδίας, καὶ ἕως τὸν ἔξω ὠκεανόν, καὶ εἰς αὐτὰς τὰς Βρετανικὰς νήσους, θέλεις εὕρει καὶ ἐκεῖ τὴν Ἁγίαν Παρασκευὴν νὰ πανηγυρίζηται. Ἐὰν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

γυρίσης εἰς τὰ Βόρεια μέρη μέσα εἰς τὴν Ρωσσίαν καὶ νὰ περιέλθης Σερβίαν καὶ Βουλγαρίαν, βέβαια θέλεις θαυμάσει καὶ ἀπορρήσεις διὰ τὰς λαμπρὰς ἑορτάς, καὶ τὰς χαρμοσύνους πανηγύρεις ὁποῦ ἐκτελοῦσιν ἅπαντες οἱ ἐκεῖσε χριστιανοί. Καὶ ποῖος χριστιανὸς δὲ τὴν ἑορτάζει; ποῖος πιστὸς δὲν τὴν πανηγυρίζει; Ὅπου εὑρίσκεται χριστιανὸς ἐκεῖ καὶ ἡ ἁγία πανηγυρίζεται, ὅπου ἀκούεται τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκεῖ καὶ ἡ ἁγία ἑορτάζεται. Καὶ νὰ εἰπῶ μὲ συντομίαν ὅλος ὁ κόσμος τὴν ἑορτάζει, καὶ πᾶσα ἡ οἰκουμένη τὴν πανηγυρίζει.

Ποῖος λοιπὸν βασιλεὺς μὲ τὰ πλούτη του, ποῖος ἄρχων μὲ τὰς ἀνδραγαθίας του, ποῖος ἡγεμὼν μὲ τὴν ἐξουσίαν του, ποῖος ἀνδρειωμένος μὲ ταῖς νίκαις του, ποῖος σοφὸς μὲ τὴν σοφίαν του, ποῖος ῥήτωρ μὲ τὴν εὐγλωττίαν του, ἔλαβε τόσην μεγάλην δόξαν καὶ λαμπρότητα, ὡσὰν τὴν ἁγίαν Παρασκευήν; Πολλὰ ἐπάσχησαν ἐκεῖνοι οἱ πεπλανημένοι Ἕλληνες, διὰ νὰ τοὺς τιμήσουν οἱ ἄνθρωποι μετὰ θάνατον, ἄλλοι ἔκτισαν κάστρα μεγάλα, ἄλλοι πύργους ὑψηλούς, ἄλλοι μνήματα θαυμαστά, ὅμως ἡ μεταβολὴ τῶν καιρῶν τὰ ἠφάνισεν ὅλα αὐτὰ καὶ μήτε ἀκούετε τὸ ὄνομά τους παντελῶς, μὲ τὸ νὰ ἦτον ὅλα ἔργα ὑπερηφανείας, τῆς δὲ ἁγίας Παρασκευῆς τὴν μνήμην, δὲν ἠδυνήθη μήτε ἡ πολυκαιρία, μήτε κανένα ἄλλο ἐνάντιον νὰ τὴν ἐξαλείψη ἀπὸ τὰς διανοίας τῶν ὀρθοδόξων. Ἀλλὰ μάλιστα βασιλεῖς τὴν εὐλαβοῦνται, ἄρχοντες τὴν σέβονται, ἀρχιερεῖς τὴν εὐφημοῦσι, ἱερεῖς τὴν δοξολογοῦσι, μοναχοὶ τὴν ἐγκωμιάζουσι, πᾶσα ἡλικία, καὶ πᾶν γένος τῶν ὀρθοδόξων τὴν τιμᾷ καὶ χαρμοσύνως τὴν πανηγυρίζει. Ἐπειδὴ αὐτὴ εἶνε τῶν ἀσθενούντων ἰατρός, τῶν ὑγιαινόντων ὁ φύλαξ, τῶν χειμαζομένων λιμήν, τῶν πλεόντων κυβερνήτης, τῶν πτωχῶν ὑπερασπιστής, τῶν χηρῶν προστάτις, τῶν ὀρφανῶν μήτηρ, τῶν λυπουμένων παραμυθία, καὶ πάντων τῶν χριστιανῶν μέγα καταφύγιον.

Χαίροις λοιπόν, χαίροις ὁσιομάρτυς καὶ παρθενομάρτυς, ἡ καὶ πρᾶγμα καὶ ὄνομα Παρασκευή. Χαίροις πάγκαλε καὶ καθαρωτάτη νύμφη τοῦ παντάνακτος Θεοῦ, καὶ τοῦ οὐρανίου βασιλέως θυγάτηρ. Χαίροις ἡ ἐξάρχουσα τοῦ χοροῦ τῶν φρονίμων παρθένων, καὶ τὸν ἀθάνατον νυμφίον καλῶς εὐφράνασα. Χαίροις τῶν μοναζουσῶν τὸ καύχημα. καὶ τῶν παρθένων ἀγλάϊσμα. Χαίροις τοῦ θήλεως γένους ἡ εὐπρέπεια, καὶ τῶν ἀνδρῶν ἡ κοσμιότης. Χαίροις περιστερὰ χρυσόπτερε, καὶ ἀηδὼν ἡδύλαλε. Χαίροις μαρτύρων ὁμόσκηνε καὶ ἀποστόλων ἰσόρροπε· Χαίροις ἡ τὸν Ἰησοῦν Χριστὸν κηρύξασα ἀληθινὸν θεὸν ἐνώπιον βασιλέων καὶ τυράννων, καὶ πολλὰς μυριάδας χριστιανοὺς ποιήσασα, καὶ ὡς



προῖκα αὐτοὺς τῷ Χριστῷ προσάξασα. Χαίροις τὸ ἁγνότατον κατοικητήριον τοῦ ἁγίου Πνεύματος, καὶ τῆς ἁγίας Τριάδος ὁ ναὸς ὁ ἔμψυχος· χαίροις ἡ παρισταμένη τῇ ἁγίᾳ Τριάδι, καὶ ὑπὲρ ἡμῶν ἀδιαλείπτως πρεσβεύουσα. Σήμερον συμπανηγυρίζουσιν ἡμῖν καὶ οἱ οὐράνιοι ἅγιοι ἄγγελοι, καὶ συνευφραίνονται οἱ Ἀρχάγγελοι ἐπὶ τῇ λαμπροτάτῃ πανηγύρει. Εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαίρουσι, πολλῷ μᾶλλον ἐπὶ δικαίου σκιρτήσουσιν. Σήμερον εὐφραίνονται οἱ μάρτυρες, ἀγάλλονται οἱ ὅσιοι, σκιρτῶσιν οἱ Ἀπόστολοι, οἱ Προφῆται, οἱ δίκαιοι, Πατριάρχαι, Βασιλεῖς, Ἀρχιερεῖς, μονασταὶ καὶ μιγάδες, πλούσιοι καὶ πένητες; νέοι καὶ γέροντες.

Πάντες εὐφραίνονται σήμερον, πανηγυρίζοντες τὴν θειοτάτην ἑορτήν σου. Διὰ τοῦτο ἔλεγε καὶ ὁ σοφὸς Σολομών : Ἐγκωμιαζομένου δικαίου εὐφρανθήσονται λαοί : Ὢ χάρις, ὢ εὐεργεσία, ὢ κέρδος, ὁποῦ ἀπέκτησεν ἡ παρθενομάρτυς ἁγία Παρασκευή· ἔδωσεν ἕνα μέρος τῆς γῆς καὶ ἐκέρδισεν ὅλον τὸν οὐρανόν. Ἐκαταφρόνησε τιμὴν ἀνθρώπινον καὶ ἐκέρδισε δόξαν οὐράνιον, ἄφησε νυμφίον πρόσκαιρον καὶ ἔγινε νύμφη τοῦ ἐπουρανίου Βασιλέως. Ἀλλ' ὢ Παρθένε, ὁσιομάρτυς καὶ ἰσαπόστολε, θειοτάτη νύμφη τοῦ Χριστοῦ Παρασκευή· ἡμεῖς γνωρίζομεν καὶ ὁμολογοῦμεν, ὅτι εἴμεθα ἁμαρτωλοὶ καὶ ἀνάξιοι, καὶ δὲν δυνάμεθα οὔτε νὰ σὲ μιμηθῶμεν παντελῶς, οὔτε νὰ σὲ ἑορτάσωμεν καθὼς πρέπει. Ἀλλὰ παρακαλοῦμεν καὶ δεόμεθά σου, δεῖξον καὶ εἰς ἡμᾶς τὴν συνήθη σου ἀγάπην, παραβλέπουσα τὰς πολλάς μας ἁμαρτίας, καὶ ἀντάμειψαι ἡμᾶς τοὺς ἑορτάζοντάς σε, τοῖς πλουσίοις σου χαρίσμασιν, ὡς μεγίστην παρρησίαν πρὸς Θεὸν ἔχουσα. Χάρισαι ὑγείαν καὶ εὐρωστίαν εἰς ταύτην τὴν πόλιν σου, καὶ εἰς πάντας τοὺς ὀρθοδόξους χριστιανούς· λύτρωσαι ἡμᾶς ἀπὸ πᾶσαν νόσον καὶ ἀσθένειαν, ἐλευθέρωσον ἡμᾶς ἀπὸ ὁρατοὺς καὶ ἀοράτους ἐχθρούς, καὶ ἀξίωσον πάντας ἡμᾶς, ὅπως ἐνταῦθα μὲν βιώσωμεν ὀρθῶς τε καὶ θεοφιλῶς· ἐν εἰρηνικῇ καταστάσει, μετὰ δὲ ταῦτα ἀξιωθείημεν τῶν αἰωνίων ἀγαθῶν, τῆς χαρᾶς τῶν Ἀγγέλων, καὶ τῆς δόξης τῶν Ἁγίων, τῆς χαρᾶς τῶν δικαίων, τῆς τρυφῆς τῶν ἐκλεκτῶν, καὶ αὐτῆς τῆς βασιλείας τῶν οὐρανῶν, εὐχαῖς καὶ ἱκεσίαις τῆς σῆς ἁγιότητος· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

**Ἐκ τοῦ Κώδικος θ΄. 147 φυλ. 218**

## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

**Εἰς τὴν Ἁγίαν ὁσιομάρτυρα τοῦ Χριστοῦ Παρασκευήν, ψαλλόμενος εἰς κάθε ἀσθένειαν.**

**Ὠδὴ α΄. Ἦχος β΄. Δεῦτε λαοὶ**

Χαρμονικῶς, ἐπὶ τῇ μνήμῃ χορεύσωμεν, τῆς ἀθληφόρου σήμερον καὶ ἐκβοήσωμεν, ταῖς αὐτῆς ἱκεσίαις, Χριστὲ Σωτὴρ τῶν ὅλων σῶζε τοὺς δούλους σου.

Αἴγλῃ τῇ σῇ, φωτιζομένη ἡ ἔνδοξος, Παρασκευὴ φιλάνθρωπε, σκότους διέφυγε, πολυθέου ἀπάτης, καὶ πᾶσιν ἰαμάτων φέγγος ἀπήστραψεν.

Ἵνα Χριστῷ, τῷ ἀθανάτῳ νυμφίῳ σου, εὐαρεστήσῃς θάνατον καὶ πῦρ καὶ βάσανα, εἰς οὐδὲν ἐλογίσω, διὸ τῆς ἀθανάτου δόξης ἠξίωσαι.

**Θεοτοκίον.**

Ῥώμην ἁγνή, τὴν τοῦ θανάτου ἀνέστειλας, ἀθανασίας πρόξενος Χριστὸν κυήσασα, ὃν ὁ Ἅδης θανέντα, βουλήσει ἑκουσίᾳ ἰδὼν ἐτρόμαξεν.

**Ὠδὴ γ΄. Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.**

Ἐν λόγῳ τοῦ Θεοῦ, ἁγνὴν καὶ ἄφθορον, ὡραία τῷ κάλλει Μάρτυς δειχθεῖσα, σεαυτῷ νύμφην προσήγαγες· σοῦ ἠράσθη δι᾽ ἄκραν ἀγαθότητα.

Τὰ κάλλη τὰ ἐν σοὶ καταμαράνασα, τὴν ἔνδον ὑπέδειξας εὐμορφίαν, τῷ ἐπιγινώσκοντι τὰ κρύφια· διὰ τοῦτό σε μάρτυς ἐμνηστεύσατο.

Ὡς κλάδος ἱερὸς ταχὺ ἀνέτειλας, ἐκ ῥίζης ἁγίας Μάρτυς παρθένε, καὶ καρποὺς ἐνθέους φέρουσα, τὴν τρυφὴν τὴν ἀγήρω προξενήσασα.

**Θεοτοκίον.**

Σοφίαν τοῦ Θεοῦ τὴν ἐνυπόστατον, τεκοῦσα Παρθένε τοῦ σοφιστοῦ με, τῆς κακίας ἐλευθέρωσον· μεσιτείᾳ σου μόνη παναμώμητε.

Κάθισμα. **Ἦχος δ΄. ταχὺ προκατάλαβε.**

Ἁγνείας τερπνότητι, ὡς κρῖνον εὔοσμον, κοιλάσιν ἐξήνθησας Παρασκευὴ τὸν Χριστόν, μαρτύρων πανεύφημε, φέρουσα εὐω-



δίαν ἐπιγνώσεως θείας, πλάνης δυσωδεστάτης, ἀποπαύουσα βλάβην· διὸ καὶ ἑορτάζομεν μάρτυς τὴν μνήμην σου.

**Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.**

Ἐπὶ βήματος ἵστατο, Παρασκευὴ ἀδίκως κρινομένη, καὶ Κριτῇ δικαίῳ ἀτενίζουσα.

Μέλη σώματος ἔδωκας, εἰς αἰκισμοὺς καὶ αἵματος παρθένε, τοὺς ἐχθροὺς τοὺς ἀσάρκους ἐβύθισας.

Ἀταπείνωτος ἔμεινας, Παρασκευὴ βασάνοις ὁμιλοῦσα, καὶ τὴν ἐπηρμένην ὀφρὺν κατέβαλες.

**Θεοτοκίον.**

Ῥῦσαι πάσης κολάσεως, τοῦ δυσμενοῦς Παρθένε τοὺς εἰδότας, ἀληθῆ Θεοῦ σε Μητέρα Πάναγνε.

**Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.**

Τὴν καθαράν σου ψυχήν, ναὸν Θεοῦ παναληθῆ δείξασα, Παρασκευὴ ναοὺς τῶν εἰδώλων ἠδάφισας, Χριστὸν ἐπικαλουμένη τὸν σὲ δυναμώσαντα.

Ὑψώσας χεῖρας καὶ νοῦν, πρὸς τὸν Θεὸν Παρασκευὴ ἔνδοξε, καὶ φοβερῷ σεισμῷ τοὺς ἀθέους κατέπληξας, εἰς γῆν καταπεπτωκότας, καὶ βλέπειν μὴ σθένοντας.

Σὲ ὁ τῶν ὅλων Θεός, Παρασκευὴ θαρσοποιεῖ ἄνωθεν, τοὺς αἰκισμοὺς φέρειν τῶν ἀνόμων, γενναίῳ λογισμῷ ὅθεν ἀνεδύσω, τῆς νίκης τὸν στέφανον.

**Θεοτοκίον.**

Ἔλυσας ἄχραντε, τῶν Προπατόρων τὴν ἀρὰν τέξασα, ὃν σαρκικῶν σεμνὴ θελημάτων, τὴν πάντα ἑαυτοῦ θελήματι μόνῳ, σαφῶς οὐσιώσαντα.

**Ὠδὴ στ΄. Ἐν ἀβύσσῳ πταισμάτων.**

Ὑπερέβης τοὺς νόμους τῆς φύσεως, ἐν τῇ ὑπὲρ φύσει σου ἀθλήσει πάνσοφε· καὶ τὸν τὴν Εὔαν τρώσαντα, τῶν μαστίγων τοὺς πόνους κατέτρωσας.

Σταλαγμοὺς τῶν αἱμάτων σου πάνσοφε, τῆς πολυθεΐας βυθὸν ἀπεξήρανας, καὶ ἰαμάτων πέλαγος, τοῖς πιστῶς προσιοῦσιν ἀνέδειξας.

Ἐπὶ βήματος θῆρες ᾐδέσθησαν, σὲ τὴν ἀδιάφθορον ἀμνάδα ἔνδοξε, Παρασκευὴ σεβάσμιον, εἰς Χριστὸν σεβομένη ἀπέμειναν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Θεοτοκίον.

Βασιλέα Χριστὸν ἡ κυήσασα, οἷά περ Βασίλισσα θεοχαρίτωτε, τοὺς πίστει σοι προστρέχοντας, οὐρανῶν βασιλείας ἀξίωσον.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἐκ βρέφους Θεὸν ἀμέμπτως ἐλειτούργησας, ὡς γόνιμος κληθεὶς καὶ θεῖον ὡς ἀνάθημα, Παρασκευὴ πανεύφημε, σεαυτὴν παρέδωκας εἰς βάσανα, καὶ χαίρουσα σωθεῖσα ἐκραύγαζες· οὐδείς με χωρίσει τῆς ἀγάπης Χριστοῦ.

Ὁ οἶκος

Τρικυμίαις πολλαῖς δεινῶς με κινδυνεύοντα τοῦ βίου Σωτήρ· αὐτὸς μόνος ἀνάστησον, ἡ ἀνάστασις πάντων ἀνθρώπων, καὶ δός μοι λόγον ὡς ὑπεράγαθος, τρανῶντα τῇ γλώττῃ μου, ἵνα ἰσχύσω λέγειν ἐπάξια, σοὶ τῷ ποιητῇ πάντα εὐάρεστα, Παρασκευὴν τὴν σὴν ὑμνήσω ὁσίαν καὶ μάρτυρα τὴν στεφηφόρον, ἀληθῶς τῶν παρθένων τὸ κλέος, μοναζουσῶν θείαν δόξαν. Αὐτὴ γὰρ ἀνέκραγεν· οὐδείς μὲ χωρίσει τῆς ἀγάπης Χριστοῦ.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Ὁ νοῦς σου φωτός, ἀγαπήσεως Θεοῦ λελαμπρυσμένος μέσον καμίνου ἱσταμένη σου, ἀπεριτρέπτως διέμεινας, Μάρτυς τοῦ Χριστοῦ ἀθληφόρε, μελῳδοῦσα τῷ Κτίστῃ σου, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ῥομφαίαν τῆς σῆς, παρουσίας τοὺς ἐχθροὺς τῆς ἀληθείας, παρθενομάρτυς ἐθανάτωσας καὶ ἀθανάτου ἐπόθησας, τὴν διαιωνίζουσαν δόξαν, Παρασκευὴ καὶ κραυγάζουσα· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Φλογῆσαι τοὺς τρεῖς, νεανίας οὐδαμῶς Σωτὴρ ἡ κάμινος, οὐδὲ τὴν μάρτυρα εὐχομένη γάρ, μέσον ἀκλόνητος ἵστατο, δρόσῳ θεϊκῷ μελῳδοῦσα, καὶ ἐν αἰνέσει κραυγάζουσα, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον

Ὁ μόνος Θεός, μόνην εὗρε καθαρὰν τὴν σὴν γαστέρα, καὶ σωματοῦται καὶ γνωρίζεται, καὶ σῴζει ἡμᾶς τοὺς ὑμνοῦντάς σε, ὅθεν ὡς καλῶν σε αἰτίαν, ἐπιστάμενοι ψάλλομεν· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.



Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Νύμφη Θεοῦ Παρασκευή, καλλοναῖς παρθενικαῖς πεποικιλμένη, ἐγνωρίσθης διὸ σὲ ἐπουρανίων, αὐτοῦ θαλάμων βοῶσα ἀνέδειξε, σὲ ὑπερυψοῦμεν Παρασκευὴ ὁσία.

Ὡς Δανιὴλ μέσον θηρῶν, ἐνεβλήθης ἐν αὐτῷ δοξολογοῦσα, καὶ λύσασα παρθένε θηριωδίαν σαφῶς. τῷ θείῳ μετέβαλας πνεύματι, ὅθεν σὲ ὑμνοῦμεν Παρασκευὴ ὁσία.

Σὲ ὡς ἀμνάδα πρὸς σφαγήν, διὰ πάθους τοῦ ἀμνοῦ Θεοῦ τοῦ Λόγου, ἀγομένη οἰκτείρας ὡς συμπαθής, φωτεινοὺς ἀγγέλους ἐκπέμπει τοῦ σώματος, λύοντά σε παρθενομάρτυς, πρὸς τὴν τομὴν τοῦ ξίφους.

Θεοτοκίον

Ὁ ὑπερούσιος Θεός, οὐσιώδη καθ' ἡμᾶς ἐκ σοῦ Παρθένε, καὶ ὡράθη ὡς βρέφος ὁ πρὸ αἰώνων Πατρί, καὶ θείῳ συνανάρχῳ Πνεύματι, ὅθεν ὡς αὐτοῦ σε δοξάζομεν μητέρα.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ἰσχυροτάτη Παρθένε, τῇ πρὸς Θεὸν πεποιθήσει, θηρίων τὰς ὁρμὰς καὶ τοῦ πυρός, καὶ τῶν βασάνων τοῦ σώματος, τὸ ἐπίπονον μάρτυς ὑπέμεινας γενναίῳ λογισμῷ, διὰ τοῦτό σε πίστει, Παρασκευὴ γεραίρομεν.

Ὡραιοτάτῳ νυμφίῳ, τῷ ὡραίῳ ἐν κάλλει, τὴν σὴν διαπρέψασαν ψυχήν, καὶ παρθενίαν ἀκήρατον, διετήρησας Μάρτυς, καὶ ταύτην τῷ γενναίῳ λογισμῷ, νῦν ὥσπερ προῖκα προσῆξας, Παρασκευὴ πανένδοξε.

Σοῦ τὸ πολύαθλον σῶμα, ἐπὶ γῆς τεθειμένον, ἰάσεων πηγάζει ποταμούς, τοῖς εὐσεβῶς προσπελάζουσι, καὶ παθῶν ἀποπλύνει τὸν ῥύπον καὶ βυθίζει ποταμούς, τῶν δαιμόνων ἐφέδρους Παρασκευὴ πανένδοξε.

Ἡ παναγία σου μνήμη, ὥσπερ ἥλιος μάρτυς, ἀνέτειλεν ἡμῖν Παρασκευή, νέφη παθῶν ἀπελαύνουσα, καὶ φωτίζουσα πάντας τοὺς πίστει ἀληθεῖ περιχαρῶς, σὲ τιμῶντας παρθένε, καὶ πόθῳ μακαρίζοντας.

Θεοτοκίον

Φιλανθρωπίας με θείας, καταξίωσον Κόρη, ἡ μένη τὸν φιλάνθρωπον Θεόν, σάρκα ἐκ σοῦ δανεισάμενον, ἀπορρήτως τε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κοῦσα, καὶ λύτρωσαι μελλούσης καὶ φλογός, καὶ κολάσεως πάσης τὸν πόθῳ σε δοξάζοντα.

Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ ἱερῷ.

Ἀνέκραγεν ὀπίσω σου, κολληθήσομαι Λόγε, νυμφίε ἐπουράνιε Παρασκευὴ ἡ ὁσία, ὁ δὲ προσοικειώσασα ἑαυτῷ καὶ δίδεται, τυράννοις φοβερωτάτοις καὶ τοῖς δαίμοσιν, ἄμφω δὲ καὶ τὸ στέφος τῆς αὐτοῦ, ἐκόμισε βασιλείας.

ΤΡΟΠΑΡΙΑ

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, Παρασκευὴ ἡ σεμνή, ἐν νεάζοντι σώματι, ἀρραγὲς καὶ τέλειον ἐπεδείκνυ τὸ φρόνημα· καὶ τὴν Εὔαν πάλαι πλανήσαντα, καὶ Παραδείσου ἀποστερήσαντα, θείᾳ κατέλαβε, δυναστείᾳ χάριτι τοῦ ἐξ ἁγνῆς, Κόρης ἀνατείλαντος, καὶ κόσμον σώσαντος.

Μάρτυς τοῦ Χριστοῦ πανεύφημε, ἡ τῷ Σωτῆρι Θεῷ, ὁλοψύχως ποθήσασα, τῶν βασάνων ἤνεγκας τὰς πληγὰς καρτερώτατα, αἰκιζομένη διὰ τὸν σὸν ἐραστήν, καὶ ξεομένη πλευρὰς ταῖς μάστιξιν, ὢ τῶν ἀγώνων σου καὶ στερρᾶς ἐνστάσεως, δι' ἧς ἁγνή, ὄντως καταβέβληκας τὸν ὑπερήφανον.

Μὴ διαλείπῃς πρεσβεύουσα, ὑπὲρ τῶν πίστει ἀεί, ἐπιτελούντων τὴν μνήμην σου, τοῦ ῥυσθῆναι ἅπαντας ἐκ δεινῆς περιστάσεως, ἐκ ζάλης πάσης δεινῆς κολάσεως· σὺ γὰρ ὑπάρχεις ἡμῶν βοήθεια, καὶ ἀγαλλίαμα, τῶν πιστῶς ὑμνούντων σου τὴν παμφαῆ μνήμην καὶ σεβάσμιον, ἔνδοξε μάρτυς Χριστοῦ.

Ἕτερα. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῆς ἀθληφόρου τὴν μνήμην δεῦτε φιλέορτοι, μετὰ χαρᾶς προθύμως ἑορτάσωμεν πάντες, Παρασκευὴν τὴν θείαν βοῶντες Χριστῷ, ἀκατακρίτους ἡμᾶς ὁ Θεός, ταῖς ἱκεσίαις τῆς μάρτυρος ἀγαθέ, διαφύλαττε ὡς εὔσπλαγχνος.

Τῇ προσευχῇ τῶν τεκόντων, δυσωπηθεὶς ὁ Χριστός, παρέσχετο θεόφρον, καρπὸν ἅγιον τούτοις, μητρός σου τῆς ἐνθέου τὴν στείρωσιν νῦν διαλύσας ὁ πρύτανις, τῶν ἀγαθῶν καὶ δοτὴρ τῶν πάντων καλῶν, Παρασκευὴ Θεομακάριστε.

Ἐκ νεαρᾶς ἡλικίας προσοικειώθης Θεῷ, Παρασκευὴ θεόφρον, γνώμῃ οἰκειοτάτῃ, καὶ ἔλαβες τὴν χάριν, ἣν περ σαφῶς ἡ πρωτομάρτυς ἐδέξατο, ἀποστολὴν δὲ ἁγίαν μάρτυς Χριστοῦ, τοῦ διδάσκειν καὶ φωτίζειν ἡμᾶς.



# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## Εἰς τὸν Ἅγιον μεγαλομάρτυρα, καὶ ἰαματικὸν Παντελεήμονα.

Εἰς τὸ Θεὸς Κύριος. Ἦχος Δ΄. Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τῷ ἀθλοφόρῳ οἱ πιστοὶ νῦν προσδράμωμεν, ἐκδυσωποῦντες ἐκτενῶς ὡς ἡμέτερον, θερμὸν προστάτην, ἄγρυπνον φρουρὸν καὶ ἰατρόν, Ἅγιε Ἀνάργυρε πρὸς αὐτὸν ἐκβοῶντες, πρόφθασον καὶ λύτρωσαι, ἀναγκῶν καὶ κινδύνων, Παντελεῆμον πάνσοφε ἡμᾶς, τοὺς μετὰ πόθου ψυχῆς προσιόντας σοι,

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.

Οὐ σιωπήσωμέν ποτε Θεοτόκε, τὰς δυναστείας σου, λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διαφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα τὸν Ν΄. ψαλμόν, καὶ ἀρχόμεθα τοῦ Κανόνος μετὰ στίχου. Ἅγιε τοῦ Θεοῦ.

Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, σὲ παρακαλοῦμεν ἐκζητοῦντες ἀπαλλαγήν, Χριστοῦ ἀθλητὰ Παντελεῆμον, τῶν δυσχερῶν καὶ δεινῶν ἡμᾶς λύτρωσαι.

Παθῶν ἡμᾶς θλίβουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαι ἡμῶν ψυχάς, ἐκδίωξον, ταύτην ἀθλοφόρε, ὁ ταχινὸς ἀντιλήπτωρ τῆς ποίμνης σου.

Δόξα.

Σωτῆρά σε ἔχοντες καὶ φρουρόν, δυσωποῦμεν μάκαρ, λυτρωθῆναι τῶν δυσχερῶν, νοσημάτων πάντων ἀθλοφόρε, Παντελεῆμον σοφὲ συμπαθέστατε.

Καὶ νῦν

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς, θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἰατρόν σε καὶ ῥύστην, παθῶν ἡμῶν ἔχομεν, ὦ Παντελεῆμον παμμάκαρ, τούτων ἐκλύτρωσαι, πάντας ἰώμενος τῶν νοσημάτων τὰ ἄλγη, τῆς ψυχῆς καὶ σώματος θεῖε Ἀνάργυρε.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἱκετεύομεν μάκαρ, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσασθαι, σὲ γὰρ πανάγιε, γαληνιαῖον λιμένα, ἔχοντες προσφεύγομεν οἱ χειμαζόμενοι.

Δόξα

Εὐεργέτην καὶ σώστην, σὲ ἐπιγραφώμεθα, ὡς εὐεργεσίας ποιοῦντα, πᾶσι τῆς χρήζουσι, πάντας γὰρ Ἅγιε, Παντελεῆμον τοὺς πίστει, ἐλεεῖς καλοῦντάς σου τὸ θεῖον ὄνομα.

Καὶ νῦν.

Χαλεπαῖς ἀρρωστίαις καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον, τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σὲ γινώσκω, θησαυρὸν πανάμωμε τὸν ἀδαπάνητον.

Διάσωσον ἀπὸ κινδύνων τὴν ποίμνην σου ἀθλοφόρε, ὅτι πάντες ἐν συμφοραῖς εἰς σὲ καταφεύγομεν, ὡς ἄγρυπνον φύλακά τε καὶ ῥύστην.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα μνημονεύει ὁ ἱερεὺς καὶ ψάλλομεν τὸ Κύριε ἐλέησον.

Εἶτα τὸ παρόν. **Πρεσβεία θερμή.**

Προστάτην θερμόν, καὶ μέγαν ἀντιλήπτορα, παμμάκαρ ἀεὶ ἐν πάσαις περιστάσεσιν, ἀθλητὰ σὲ ἔχομεν, τὴν σὴν ποίμνην τάχος ἐκλύτρωσαι, παντοίων θλίψεων καὶ ἀναγκῶν, τὸν σὲ καὶ μόνον, προστάτην ἔχουσαν.

**Ὠδή. δ΄. Εἰσακήκοα Κύριε.**

Νοσημάτων ἀνάργυρε, πλησθέντων ἡμῶν νῦν τάχος ἐξάλειψον, διπλῆν ἴασιν δωρούμενος, τῆς ψυχῆς παμμάκαρ καὶ τοῦ σώματος.

Εὐσπλαγχνίᾳ ἐπίβλεψον, ὦ Παντελεήμων μάρτυς τῇ ποίμνῃ σου, ταύτην πάντων ἐκλυτρούμενος, τῶν δεινῶν παντοίων τε κακώσεων.

Δόξα.

Ἐπὶ κλίνης ὀδύνης τε, καὶ τῆς ἀῤῥωστίας κατακειμένοις νῦν, ὡς φιλέλεος βοήθησον, τοῖς σοῖς δούλοις μάρτυς ἀξιάγαστε.



Καὶ νῦν

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

Ὠδὴ ε΄. **Φώτισον ἡμᾶς.**

Ἔμπλησον σοφέ, εὐφροσύνης τὴν ζωὴν ἡμῶν, τὸ σὸν νῦν ἔλεος ἀφθόνως διδούς, Παντελεῆμον ἡμῖν ἅπασι τοῖς δούλοις σου.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων ἀθλοφόρε Χριστοῦ, καὶ αἰωνίας τυχεῖν λυτρώσεως, καὶ βασιλείας τῷ Χριστῷ πρέσβευε.

Δόξα.

Ἴασαι ἡμῶν, τὴν κατ᾽ ἄμφω νῦν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιούμενος, καὶ τὴν ὑγείαν σαῖς πρεσβείαις ἡμῖν δώρησαι.

Καὶ νῦν.

Λῦσον τὴν ἀχλήν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον.

**Ὠδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.**

Προστάτην σε ἀληθῶς γινώσκομεν, καὶ φρουρὸν Παντελεῆμον παμμάκαρ, τῶν πειρασμῶν διαλύοντα ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνοντα, δεόμεθά σου οὖν ἀεί, ἐκ πασῶν ἀναγκῶν ἡμᾶς λύτρωσαι.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ πασῶν σε ἰατρὸν ἀλγηδόνων, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι μάκαρ, τῇ προστασίᾳ τῇ σῇ ἀγαλλόμενοι, ὦ ἅγιε καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Δόξα.

Ἐπίκουρόν σε ἐν θλίψεσι πάσαις, καὶ τῶν νόσων ἰατρὸν ἀθλοφόρε, Παντελεῆμον παμμάκαρ σπουδαῖον, καὶ ποταμὸν δωρεῶν σὲ γινώσκομεν, καὶ πάντων τῶν ἐν συμφοραῖς, ταχεινὸν καὶ ὀξὺν ἀντιλήπτορα.

Καὶ νῦν

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου, ἀλλ᾽ ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Διάσωσον ἀπὸ κινδύνων τὴν ποίμνην σου ἀθλοφόρε, ὅτι πάντες ἐν συμφοραῖς εἰς σὲ καταφεύγομεν, ὡς ἄγρυπνον φύλακά τε καὶ ῥύστην.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Ἡ αἴτησις παρὰ τοῦ ἱερέως. Εἶτα τὸ παρὸν κοντάκιον πρὸς τὸ

**Προστασία τῶν χριστιανῶν**

Μιμητὴς ὤν παμμάκαρ τοῦ ἐλεήμονος, καὶ τὴν χάριν λαβὼν παρ' αὐτοῦ τῶν ἰάσεων, μὴ παρίδῃς τοὺς ἐν πολλαῖς κακώσεσιν ἡμᾶς, ἀλλὰ πρόφθασον ὡς συμπαθής, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι, φεῖσαι Παντελεῆμον, καὶ σπεῦσον εἰς θεραπείαν, ὁ προστατεύων σὺ ἀεί, ἀθλοφόρε τῶν τιμώντων σε.

Τὸ προκείμενον. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Στιχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου

Εὐαγγέλιον τῶν Ἀναργύρων ἐκ τοῦ κατὰ Λουκᾶν

Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα κτλ.

Δόξα, ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στιχ. Ἐλέησόν με ὁ Θεός καὶ τὸ Ἰδιόμελον.

**Ἦχος πλ. β. Ὅλην ἀποθέμενοι.**

Μὴ παρίδῃς δέησιν, τῶν ἀναξίων σῶν δούλων, ἀθλοφόρε ἔνδοξε, ἀλλὰ δέξαι τάχιστα καὶ βοήθησον, θλίψει ὀδύνῃ τε, πλείστῃ παλαίουσι, καὶ δαιμόνων ἐπιθέσεσι, σκέπην σε ἔχουσιν, ἡμῖν καὶ σοὶ πίστει προσφεύγουσι. Λύτρωσον οὖν τὴν ποίμνην σου, πάσης καὶ παντοίας κακώσεως, ἴασιν ἀφθόνως, ψυχῶν τε καὶ σωμάτων δωρεάν, ταχὺ παρέχων ἀνάργυρε, πᾶσι τοῖς οἰκέταις σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κτλ.

**Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Θελητὴν τοῦ ἐλέους, δι' ὃν ἤθλησας μάκαρ στερρῶς δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας, ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀρρωστείας θεῖε ἀνάργυρε, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ θεραπεύειν ἀξίωσον, ὁ ἰαμάτων λαβὼν παρὰ Χριστοῦ τὴν χάριν.



**Δόξα Πατρί.**

Θησαυρὸν σε χαρίτων, καὶ πηγὴν ἰαμάτων ἅγιε ἔχομεν, πολεμίων τε πᾶσιν, ἐχθροῖς τοῖς ἀοράτοις, ὁρατοῖς τε μὴ ψάλλουσιν, ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Καὶ νῦν.**

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομίσασθαι, ἐν μήτρᾳ τῆς παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτην ἀνέδειξας· ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Ὠδὴ η'. Τὸν Βασιλέα τῶν οὐρανῶν.**

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς ὦ μάρτυς ὑμνοῦντας, καὶ ὑπερυψοῦντας Χριστὸν εἰς τοὺς αἰῶνας.

Τὰς ἀσθενείας τὰς τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς ἀθλοφόρε τὰ ἄλγη, τῶν ὑμνολογούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

**Δόξα Πατρί.**

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς καλοῦσί σε θεοφόρον, καὶ ὑπερυψοῦσι Χριστὸν εἰς τοὺς αἰῶνας.

**Καὶ νῦν.**

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις καὶ παθῶν τὰς ἐφόδους Παρθένε ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ'. Κυρίως Θεοτόκον.**

Χαρᾶς ἡμῶν καρδίας, πλήρωσον ὦ μάρτυς, τῶν νοσημάτων τὰ ἄλγη ἰώμενος Παντελεῆμον προστάτα ἡμῶν θερμότατε.

Πρεσβείαις σου παμμάκαρ, Κύριον δυσώπει, ἐν τῇ ἡμέρᾳ τῆς δίκης εὔιλατον, ἡμῖν γενέσθαι τοῖς πίστει σοι προστρέχουσι.

**Δόξα Πατρί.**

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντας παμμάκαρ θεράπευσον, ἐξ ἀρρωστείας εἰς ῥῶσιν μεταποιούμενοι.

**Καὶ νῦν**

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλοντας.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς καὶ κτλ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Μεγαλυνάριον τοῦ Ἁγίου.

Θεῖόν σε προστάτην ἐν τοῖς δεινοῖς, οἱ συνειλεγμένοι, ζήλῳ θείῳ τῶν μοναστῶν, παρὰ τῷ ναῷ σου, Παντελεῆμον μάρτυς, κεκτήμεθα βοῶντες, φρούρει τοὺς δούλους σου.

Μεγαλυνάριον τοῦ Ἁγίου Γερασίμου.

Ὕψωσον τὰς χεῖράς σου πρὸς Θεόν, Γεράσιμε θεῖε, ὑπὲρ ταύτης Σκήτης ἡμῶν, ὡς ἐν αὐτῇ ἀσκήσας, θερμῇ τῇ μετανοίᾳ σὺν δάκρυσι καὶ πόνοις, πρὸ μαρτυρίου σου.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα τὸ τρισάγιον, Παναγία Τριὰς κλπ. καὶ τὰ τροπάρια.

Ἐλέησον ἡμᾶς Κύριε ἐλέησον ἡμᾶς κτλ.

Εἶτα τὸ τροπάριον τοῦ ἁγίου.

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Πάντας ἐλεεῖς ὡς ἀληθῶς, τοὺς προσκαλουμένους σε πίστει, ἐν ταῖς ἀνάγκαις αὐτῶν, ἕτοιμος γενόμενος, προστάτης καὶ λυτρωτής, ἐν κινδύνοις καὶ θλίψεσι, τὴν ἐπωνυμίαν, ἔχων ἀληθεύουσαν Παντελεῆμον σοφέ, θεῖε τοῦ Χριστοῦ ἀθλοφόρε, ὅθεν καὶ ἡμᾶς δεομένους, πίστει πάσης θλίψεως ἐκλύτρωσαι.

Ἀπολυτίκιον τοῦ ἁγίου. **Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Μαρτύρων ἀγλάϊσμα Παντελεῆμον σοφέ, ἐδείχθης μακάριε, ἰατρὸς ἄμισθος, τοῖς πίστει προστρέχουσιν, πόθῳ ἐν τῷ πανσέπτῳ καὶ ἁγίῳ ναῷ σου, ἴασιν νοσημάτων, καὶ παντοίων κινδύνων, παρέχων ἀενάως ἀθλητὰ ταῖς ἱκεσίαις σου.

---

# ΠΕΡΙΕΧΟΜΕΝΑ "ΑΓΙΟΡΕΙΤΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ„

## ΤΟΥ Α.΄ ΕΤΟΥΣ


ΣΕΠΤΕΜΒΡΙΟΣ

Ἀκολουθία τοῦ ἁγίου Τρύφωνος

ΟΚΤΩΒΡΙΟΣ

» τῶν εἴκοσιν ἁγίων Ἀναργύρων μετὰ συνοπτικοῦ βίου ἑνὸς ἑκάστου.
Κανὼν Παρακλητικὸς εἰς τοὺς ἁγίους Ἀναργύρους.

ΝΟΕΜΒΡΙΟΣ

Ἀκολουθία τοῦ ἁγίου Συμεὼν συγγενοῦς τοῦ Κυρίου καὶ πάντων τῶν ἁγίων τῶν ἐχόντων τὴν αὐτὴν ἐπωνυμίαν
Λόγος ἐγκωμιαστικὸς εἰς τὸν ἅγιον Συμεὼν τὸν Νέον Θεολόγον· ποίημα Νικοδήμου ἁγιορείτου.

ΔΕΚΕΜΒΡΙΟΣ

Ἀκολουθία τοῦ ἁγίου Μοδέστου Ἱεροσολύμων.
Λόγος πανηγυρικὸς εἰς τὸν ἅγιον Μόδεστον.
Εὐχαὶ τοῦ αὐτοῦ εἰς διαφόρους περιστάσεις.

ΙΑΝΟΥΑΡΙΟΣ

Ἀκολουθία τοῦ ἁγίου ὁσιομάρτυρος Ρωμανοῦ τοῦ ἀπὸ Καρπενησίου μετὰ τῆς βιογραφίας αὐτοῦ.
Κανὼν εἰς τοὺς ἁγίους Πάντας.
Ἰωσὴφ πρῴην Τυρνόβου. Ἀποφθέγματα καὶ λόγοι.

ΦΕΒΡΟΥΑΡΙΟΣ

Ἀκολουθία χαριστήριος τῆς ὑπεραγίας Θεοτόκου.
Ὅρασις τῆς Θεοτόκου ἐπεξηγοῦσα τὴν ἄνω Ἀκολουθίαν.
Εὐχὴ πρὸς τὴν Θεοτόκον
Ἰωσὴφ πρῴην Τυρνόβου. Συνέχεια ἐκ τοῦ τεύχους τοῦ Ἰανουαρίου τῶν ἀποφθεγμάτων.
τοῦ αὐτοῦ Κανὼν εἰς τὰς αἱρέσεις.
» » περὶ τῶν ἀρχῆθεν αἰτιῶν καὶ περὶ τῶν ζ΄ διαφορῶν τοῦ σχίσματος τῶν Λατίνων πρὸς τοὺς Γραικούς, ἐν σχήματι κανόνος καὶ καθισμάτων.
» » Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

ΜΑΡΤΙΟΣ

Ἰωάννου μοναχοῦ τοῦ Μαυρόποδος ἀρχιεπ. εὐχαΐτων, Κανόνες εἰς τοὺς ὀκτὼ ἤχους, εἰς τὸν ἅγιον Ἰωάννην τὸν Χρυσόστομον.


Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΑΠΡΙΛΙΟΣ

Ἀκολουθία τοῦ ἁγίου βασιλέως Λέοντος τοῦ μεγάλου, τοῦ ἐπονομαζομένου Μακέλλη.
» τῆς Ζωοδόχου πηγῆς, κοινὴ μετὰ τῆς τοῦ ἄνω ἁγίου Λέοντος.
Ὑπόμνημα εἰς τὸν ἅγιον Λέοντα καὶ εἰς τὴν εὕρεσιν τῆς Ζωοδόχου Πηγῆς.
Ἰωσὴφ πρώην Τυρνόβου. Συνέχεια τῶν ἀποφθεγμάτων, ἐκ τοῦ τεύχους τοῦ Φεβρουαρίου.

## ΜΑΪΟΣ

Ἀκολουθία τοῦ ἁγίου Μεγαλομάρτυρος Βενιαμὶν τοῦ Πέρσου.
Βίος τοῦ ἁγίου Βενιαμίν.
Κανὼν Ἰαμβικὸς εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου, ὑπὸ Γερασίμου ἱερομονάχου τοῦ Ζακυνθίου.
Ἀνέκδοτος ἐκκλησιαστικὴ ποίησις εἰς διαφόρους ἑορτὰς καὶ ἁγίους.
Ἰωσὴφ πρώην Τυρνόβου. Συνέχεια τῶν ἀποφθεγμάτων ἐκ τοῦ προηγουμένου τεύχους.

## ΙΟΥΝΙΟΣ

Ἰωάννου μοναχοῦ τοῦ Μαυρόποδος ἀρχιεπισκόπου Εὐχαΐτων.
Κανόνες εἰς τοὺς ὀκτὼ ἤχους εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον.

## ΙΟΥΛΙΟΣ

Ἀκολουθία τοῦ ἁγίου Συμεὼν τοῦ Θεοδόχου.
Ἰωάννου Εὐχαΐτων. Κανὼν ψαλλόμενος ἐπὶ ἐγκλήματι παρακοῆς τοῦ ἰδίου Πατρός.
τοῦ αὐτοῦ Κανὼν ἐκ προσώπου ἀνθρώπου μὴ ὁρῶντος· πάνυ ὡραῖος.
» » Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐπὶ προσδοκίᾳ βαρέος πολέμου κλπ.
» » Κανὼν Παρακλητικὸς εἰς τὸν τίμιον Πρόδρομον.

## ΑΥΓΟΥΣΤΟΣ

Ἀκολουθία Τῆς ἁγίας Παρασκευῆς.
Λόγος Ἐγκωμιαστικὸς εἰς αὐτὴν ὑπὸ Νικάνδρου μοναχοῦ Λαυριώτου.
Κανὼν Παρακλητικὸς εἰς τὴν ἁγίαν Παρασκευήν.
» » εἰς τὸν ἅγιον καὶ ἰαματικὸν Παντελεήμονα.

---



# ΠΑΡΟΡΑΜΑΤΑ

**Εὑρισκόμενα εἰς τὰ δώδεκα τεύχη τῆς Ἁγιορειτικῆς Βιβλιοθήκης.**

| Σελὶς | τροπάριον | ἀντὶ | γράφε |
|---|---|---|---|
| | ΣΕΠΤΕΜΒΡΙΟΣ | | |
| 25 | Τρύφων | προφορᾶς | προσφορᾶς |
| 26 | Φύλαττε | διώκε | δίωκε |
| | ΟΚΤΩΒΡΙΟΣ | | |
| 15 | Θεὸν Παρθένε | σὺν | σὸν |
| 20 | Ὕψος σῶν | τό σον | τὸ σὸν |
| 26 | Κρίναι | Κρίναι | Κρῆναι |
| 29 | Τὴν χάριν | ἰᾶσθε | ἰᾶσθαι |
| 46 | Ρώσεως | εἰκὼς | εἰκὰς |
| | ΝΟΕΜΒΡΙΟΣ | | |
| 3 | Νέον θεολόγον | ὡς διὰ Χριστὸν | Ὃς διὰ Χριστὸν |
| 9 | Τὸν θεολόγον | θαυμάσητε | θαυμάσηται |
| 9 | Θεοδόχαι | ἐκήρυξαν προφῆτα | ἐκήρυξαν προφῆται |
| 14 | Συμεὼν τὸν | δι' ὅλον, | δὲ ὅλον |
| | ΔΕΚΕΜΒΡΙΟΣ | | |
| 12 | Ὡς ἀκτῖνας | τῷ πρὸς Θεὸν | τῇ πρὸς Θεὸν |
| 12 | » | Χριστῷ τῶν | Χριστῷ τῷ Θεῷ τῶν |
| 13 | Θρόνῳ τῆς | κακῶς | κακῶν |
| 14 | Μόδεστον | ἐκλεξάμενοι | ἐκλεξάμενον |
| 18 | Ρήμασι τοῖς | τρίτον | τρίβον |
| 18 | Ὕμνοις καὶ | ζωὴν ἰσαγγέλου | ζωὴν ἰσάγγελον ἰσαγγέλου |
| 19 | Μόδεστον | ὑβρίσαντος | ὑβρίσαντα |
| 20 | Ὠδαῖς χαριστηρίοις | οἷς | οὓς |
| | ΙΑΝΟΥΑΡΙΟΣ | | |
| 10 | Μαθητεύσας | φωτός σε | φωτός τε |
| 15 | Θεοφόρος | ἐπόσητε | ἐπόθησε |
| 24 | Τὴν τῶν ἁγίων | κτίστιν | κτίστην |
| | ΦΕΒΡΟΥΑΡΙΟΣ | | |
| 18 | Προσέλθωμεν | λαμπαδηφόρε | λαμπαδηφόροι |
| 21 | Θανάτου | θανάνου | θανάτου |
| 42 | Ἀλλ' οἱ Λατῖνοι | σοφῶν | σφῶν |
| 42 | Ἀλλ' ὡς ἐκ | διαπρύσιος | διαιρέσεσι |

Athos Library
Αγιορειτική Βιβλιοθήκη

| Σελὶς | Ὠδή | Τροπάριον | ἀντὶ | γράφε |
|---|---|---|---|---|
| 43 | | Οὔτε ἡ πάλαι | χρονικήν τι | χρονικήν τε |
| 44 | | Καὶ ταῦτα | χολόδει | χολώδεις |
| 45 | | Χαῖρε σὺ | κοινότατος | καινότατος |

## ΜΑΡΤΙΟΣ

### ΗΧΟΣ Α'.

| Σελὶς | Ὠδή | Τροπάριον | ἀντὶ | γράφε |
|---|---|---|---|---|
| 7 | γ'. | Σταλάζουσι | καὶ ἐλπίδος γονὴν | εἰς ἐλπίδος |
| 8 | δ'. | Νέκρωσον | Νέκρωσον | Νέκρωσιν |
| 12 | θ'. | Στένω | θαρρούντας | θαρρούντως |

### ΗΧΟΣ Β'.

| Σελὶς | Ὠδή | Τροπάριον | ἀντὶ | γράφε |
|---|---|---|---|---|
| 12 | | Ἀκροστιχὶς | Χρονολόγε | Χρυσολόγε |
| 13 | δ'. | Ὑψαύχενα | τὰ κινοῦντά με | ταπεινοῦντά με |
| 14 | ε'. | Περιστερᾶς | χρονίῳ | χρυσίῳ |
| » | » | » | οὐ μετάφρενα | σὺ μετάφρενα |
| » | » | » | οὐρανίοις | οὐρανίους |
| 15 | ζ'. | Λαβὼν | ἀπολύεις | ἀπολύσεις |
| 16 | η'. | Ἐν ἐπιπόνοις | ὀδύνης | ὀδύνας |
| » | » | Ὡς καὶ ἀρχέτυπον | Ὡς καὶ ἀρχέτ. | Ὡς εἰς ἀρχέτ. |
| » | θ'. | Νὺξ ζοφερὰ | κλάδων | κλύδων |
| 17 | » | » | γενῶν μοι | γενοῦ μοι |
| » | » | Ἥλιος | χρυσοφαεῖς | χρυσοφαεῖ |

### ΗΧΟΣ Γ'.

| Σελὶς | Ὠδή | Τροπάριον | ἀντὶ | γράφε |
|---|---|---|---|---|
| 18 | α'. | Ὕψος | τόκου | τοκετοῦ |
| » | γ'. | Ραθυμοτόκους | ραθυμοτόκους | ραθυμοτόκοις |
| » | » | » | φυσίσας | φυείσαις |
| » | » | » | ἀκάνθας | ἀκάνθαις |
| 19 | δ'. | Λοχεύτριαν | διὰ παντός. | διὰ παντός μου |
| » | | | | τοῦ βίου θεογεννήτρια |
| » | ε'. | Ὃν εἶδε | ὥς | εἰς |
| » | » | » | οὐ γὰρ | σὺ γὰρ |
| » | ς'. | ᾠδὴ ς'. | τοῖς | τοὺς |
| » | » | Μετὰ σαρκὸς | Ἀγγέλοις | ἀλλ' Ἀγγέλοις |
| 20 | » | Λαοῦ | Λαοῦ | Λαὸν |
| » | ζ'. | Στῦλος | οὐρανὸν | οὐράνιον |
| » | » | » | βάσις χρυσῆ | βάσει χρυσῇ |
| » | » | Τέμνων | σὲ φθόγγοις | δὲ φθόγγοις |
| » | » | Πατὴρ | δέδοται | δέδοσαι |
| » | » | » | πατέρων | πατέρων καὶ μητέρων |
| 21 | θ'. | Ἰσχύει | σαρκὸ | δι' ἀσθενείας σαρκός. |



### ΗΧΟΣ Δ'.

| Σελὶς | Ὠδή | Τροπάριον | ἀντὶ | γράφε |
|---|---|---|---|---|
| 23 | γ'. | Υἱὸς | Θεοῦ | Θεὸν |
| » | » | Ὡς πλάκα | καινοῦ καὶ καθαροῦ | καινὸν καὶ καθαρὸν |
| » | δ'. | Σὺ ὡς ἄλλοι | πάντως | πάντας |
| » | » | Τὸ μὲν | οὕτως | ὄντως |
| 24 | ε'. | Ἀσύριον | πάντα | ταύτῃ |
| » | ε'. | » | ἀφεύκτως | ἀφύκτως |
| » | ς'. | Ἰάτρευσον | ὅταν | ὁ τῶν |
| 25 | » | Στενάζω | κύπτομαι | κόπτομαι |
| » | » | » | πύρωθεν | πόρρωθεν |
| » | ζ'. | Οὐρανίαις | εὑρώτησιν | εὑρήτησιν |
| 26 | η'. | Ὄργανον | εὔρυνθος | εὔρυθμος |
| 27 | θ'. | Νέος | ἀφθεὶς | ὀφθεὶς |

### ΗΧΟΣ ΠΛΑΓΙΟΣ Α'.

| Σελὶς | Ὠδή | Τροπάριον | ἀντὶ | γράφε |
|---|---|---|---|---|
| 28 | β' | Κόσμος | ἐκπληρώσω | ἐκκληρώσω |
| » | γ'. | Στεφάνω | χαρὰ τῶν | χαρίτων |
| » | » | Ὁ φθόγγος | ἐνυχθεὶς | ἐνεχθεὶς |
| » | » | Λιμένα | τοὺς ἐν | τοῖς ἐν |
| 29 | ε'. | Φέρειν | ἐκπαιδεύσας | ἐπαίδευσας |
| » | » | Ὁ ἀναβαλλόμενος | πόλιν | πόλον |
| 30 | ς'. | Πολύφωτον | φοβεραὶ | φοβεροῖς |
| » | ζ'. | Λελαμπρυσμένοις | Λελαμπρυσμένοις | Λελαμπρυσμένος |

### ΗΧΟΣ ΠΛ. Β'.

| Σελὶς | Ὠδή | Τροπάριον | ἀντὶ | γράφε |
|---|---|---|---|---|
| 32 | α'. | Ὕπνον | ἐν αὐτῷ | ἐν αὐτῇ |
| » | » | Ὁ ἀπεριγράπτοις | τῷ σαρκὶ | τῇ σαρκὶ |
| 33 | γ'. | Ἵνα χωρίσῃς | νεότμητον | νεόσμηκτον |
| » | » | Σὺ χωρὶς | τοῦ Χριστοῦ | τὸν Χριστὸν |
| » | » | » | πάντα | πάντῃ |
| » | δ'. | Ἐξηγητὴν | ταύτης | ταύτας |
| » | » | Τοῦ ἀρχιποίμενος | ἑπόμενον | ἐσόμενον |
| 34 | » | Ὁ ἐν Ὑψίστος | ὁ ἐν ὑψίστος | ὁ ἐν ὑψίστοις |
| » | ε'. | Ὁ προγενέσεως | πάτερ ἅγιε | πάγχρυσε ἅγιε |
| 35 | » | Τὸ προαιώνιον | ὅπως ἔδωσε | ὅπως ἴδωσι |
| » | » | Μόνη | γλυκασμοῦ | γλυκασμὸν |
| 36 | ς'. | Ρητορεύων | οὐ θεία | σὺ θεία |
| » | ζ'. | Οὐκ ἐπὶ πλέον | δυνώμενος | δυνάμενος |
| 37 | η'. | Σὲ τὸν ποιμένα | ἀμνὸν | ἀμνοῦ |
| » | » | » | οὐ σχόντες | συσχόντες |
| » | » | Ὄρη καὶ νάπαι | βουνὰ | βουνοὶ |

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΗΧΟΣ ΒΑΡΥΣ

| | | | | |
|---|---|---|---|---|
| 40 | ε΄. | Ρώμη | ρώμη | ρύμη |
| » | » | Νέκταρος | λάρυγγος | λάρυγγας |
| » | » | » | στόμα σου | στόματα |
| » | η΄. | Νοῦν | θείων | θείαν |
| » | » | Ὅλον σου | ἐπλούτι- | ἐπλούτισας |
| 43 | θ΄. | Σοῦ ὡς χρυσῆς | δυνῶδες | δυσῶδες |

## ΗΧΟΣ ΠΛ. Δ΄.

| | | | | |
|---|---|---|---|---|
| 43 | δ΄. | Ἁμαρτωλῶν | πρηστηρίων | πρηστηρίαν |
| 46 | » | Ἰλιγγιῶν | δὲ καλέσας | σὲ καλέσας |
| 47 | ε΄. | Σοῦ τῷ στόματι | σειρήνειον | σειρήνιος |
| 49 | ζ΄. | Ἐξουσίαν | σύνδεσον | σύνδησον |
| 50 | η΄. | Καταπεπυκασμένον | κεκτημένου | κεκτημένον |
| » | » | » | τεθολότας | τεθηλότας |
| 51 | θ΄. | Ἰδεῖν | ἐπολαύων | ἐπαπολαύων |

Σημ. Κατὰ τὴν ἐκτύπωσιν τῶν ἄνω Κανόνων, παρεισέφρυσαν ἀρκετὰ λάθη, λόγῳ ἀπουσίας τοῦ Διευθυντοῦ κατα τὴν ἐκτύπωσιν, διὰ τοῦτο ζητοῦμεν συγγνώμην. Παρακαλοῦνται ὅθεν οἱ εὐσεβεῖς συνδρομηταὶ ὅπως διορθώσωσι ταῦτα εἰς τὸ κείμενον ἵνα μὴ παρατηρεῖται τοῦτο λελανθασμένον.

## ΑΠΡΙΛΙΟΣ

| | | | |
|---|---|---|---|
| 5 | Τῶν ἀνάκτων | ποιότητος | πιότητος |

## ΜΑΪΟΣ

| | | | |
|---|---|---|---|
| 6 | Πηγὴ | ἀρυομένος | ἀρυομένοις |
| 9 | Κογχύλη | ὤφθεις | ὤφθης |
| 16 | Ὦτα θειά σου | ἠδία | ἠδεῖα |
| 16 | Καλάμους | ἐμπαρέντας | ἐμπαγέντας |
| 17 | Ὁ τοῖς ὕδασι | ἐναπίπνηκται | ἐναπέπνικται |
| 31 | Θεοτόκε | αρθένοι | παρθένοι |
| 41 | Ἐν τῇ ἀγάπῃ | ἀπήληφας | ἀπείληφας |

## ΙΟΥΛΙΟΣ

| | | | |
|---|---|---|---|
| 7 | Πηλίνη γλώσσῃ | πηλίνῃ γλώσσῃ | πηλίνῃ σε γλώσσῃ |
| 7 | Ὥσπερ ἑωσφόρος | παρθενικῶς | παρθενικῆς |
| 8 | Ἐν σώματι | ἔζησας ἄϋλος | ἔζησας ὡς ἄϋλος |
| 8 | » » | οἶδας αὐτῶν | οἶδας αὐτοῦ |
| 11 | Ὡς ἐκ ζάλης | προσφυγὴν | προσφυγὼν |
| 14 | Τὸν ποταμον | θολεροὺς ξήρανον | θολεροὺς ποταμοὺς ξήρανον |
| 15 | Ἱλέῳ σου | ἔν ὄμματι | ἐν ὄμματι |
| 15 | Ὁ κόλποις | ὁμότιμον πνεῦμα | ὁμόδοξον πνεῦμα |



| | | | |
|---|---|---|---|
| 20 | Ὑψαύχενα | ἐπηρμένην ψυχὴν | ἐπηρμένην ἔχων ψυχὴν |
| 21 | Ἐν μήτρᾳ | εὐαγγελίσω | εὐηγγελίσω |
| 23 | Οὐκ ἐφικνεῖκαι | τοῦ ὕψους σου Προφῆτα | τοῦ ὕψους τῆς δόξης σου Προφῆτα |
| 23 | Ἀπεγνωσμένος | σοὶ προσεπερρίπτω | σοὶ προσεπιρρίπτω |
| 33 | Ψυχὴ μετανόησον | κατανύξι | κατανύξει |
| 27 | Ἡ πρώην οὐ | καλλίτεκτος | καλλίτεκνος |
| 27 | Πέμπτην φέρει σοι | σοὶ ἱκέτης | σὸς ἱκέτης |
| 27 | Τέτοκας ὑπὲρ | ὑμνολογῶσι | ὑμνολογῶ σε |
| 28 | Νεφέλη χριστιανοὺς | φωτοειδὴς πυρὸς | φωτοειδὴς στύλος πυρὸς |
| 29 | Ἄκαρπος ἁμιλλώμενος | Ἄσαρκος ἁμιλλώμενος | Ἀσάρκοις ἁμιλλώμενος |
| 30 | Ὁ ἐξ ἀκάρπου | παραγωγῶν | παραγαγὼν |
| 30 | Ὄμβρος ἐπὶ σὲ | ἐπαναψυχῶν | ἐπαναψύχων |
| 31 | Ἰησοῦν τὸν Κύριον | ἐν βαρβάρῳ ἰλύϊ | ἐν βορβόρῳ καὶ ἰλύϊ |
| 31 | Σὲ πηγὴν | Κύριε δυσωπῶ | Κόρη δυσωπῶ |
| 31 | » » | ἄγκυραν στερεὰν | ἄγκυραν στερρὰν |
| 35 | Ἀγγέλων βίον | τῷ χοϊ νοῦ | τῷ χοΐ νῦν |
| 36 | Ὕδατα τῶν παθῶν μου | σταλάζοντα ὕδατα | στεγάζοντα ὕδασι |
| 38 | Ὑπέρκεινταί σου | νόμον οὐχ ὑπόκεινται | νόμοις οὐχ ὑπόκειται |
| 43 | Λῦσον δεσμοῦ με | τὴν κώφωσιν | τὴν κώφευσιν |

## ΙΟΥΛΙΟΣ

| | | | |
|---|---|---|---|
| 10 | Συμεὼν θεοδόχε | χαρὰ ἐβόησας | χαρᾷ ἐβόησας |
| 12 | Χαίρων ἀγκάλαις | νησιάσαντα | νηπιάσαντα |
| 13 | Χαῖρε κεχαριτωμένη | χαριζόμενος | χαριζόμενον |
| 17 | Τῷ πρέσβει | ᾧ προσενέχθης | ᾧ προσηνέχθης |
| 18 | Ἐπιπνοίᾳ | εὐλογητός σοι | εὐλογητὸς εἶ |
| 26 | Θαλάσσῃ με | πταισμά-μάτων | πταισμάτων |
| 37 | Ἡ σὴ πόλις | μὴ φυλάψῃς | μὴ φυλάξῃς |

## ΑΥΓΟΥΣΤΟΣ

| | | | |
|---|---|---|---|
| 6 | Ἱερὸν | πρεσβεύων | πρεσβεύουσαν |
| 7 | **Μάρτυς** | χαίρουσαι | **χαίρουσα** |
| 13 | **Ἀνύμφευτε** | δυσώσει | **δυσώπει** |

Athos Library
Αγιορειτική Βιβλιοθήκη